1. *δὲ καὶ ὁ* A. *δὲ ὁ* G. 11. Post *οὕτως* indicavi lacunam. Leguntur quidem in margine A creaturarum preces ad singulas horas pertinentes, sed ita sunt habitae ut describi plane non potuerint.
13. *ἐνῶς* A. 15. *ψϟ'*] *ψϟε'* A. 17. *ἐγέννησε* A. *ἐγέννησεν ὁ* G.

Enos secundum Hebraicae literae mentem, quasi homo, ita et salvator veri hominis filius est iuxta naturalem rationem, ait Africanus.

Annorum quingentorum et triginta duorum circulus primus hoc anno completur: erat autem aetatis Seth secundus supra trecentesimum, Enos vero nonagesimus octavus.

Anno sexcentesimo Adamus peccati sui poenitens futura circa egregoros, diluvium, poenitentiam, divinam incarnationem, ac preces ab omnibus creaturis archangeli Uriel poenitentibus praepositi ministerio, per singulas diei noctisque horas deo praesentatas ex revelatione sibi facta percepit.

Anno sexcentesimo vicesimo quinto Enos natus est Cainan. Hic centum et septuaginta annorum aetatis genuit Maleleel.

Anno ab Adamo creato septingentesimo nonagesimo Cainan accepit uxorem Maleth.

Anno septingentesimo nonagesimo quinto Cainan centum et septuaginta annos natus genuit Maleleel. Maleleel porro anno vitae suae centesimo sexagesimo quinto, mundi vero nongentesimo sexagesimo, genuit Iared.

Anno nongentesimo tricesimo Adamus, relictis filiis triginta tribus, filia-

τριάκοντα τρεῖς καὶ θυγατέρας εἴκοσιν ἑπτά. οὗτος ἡγεμόνευσε τοῦ γένους τῶν ἀνθρώπων τὰ ὅλα τῆς ζωῆς αὐτοῦ ἔτη.

Τῷ αὐτῷ ϡλʹ ἔτει καὶ Κάϊν ἀπέθανεν, ἐμπεσόντος ἐπ' αὐ- B τὸν τοῦ οἴκου. λίθοις γὰρ καὶ αὐτὸς τὸν Ἄβελ ἀνεῖλε. πληρωθέντος οὖν ἐνιαυτοῦ μετὰ θάνατον τοῦ Ἀδὰμ τέθνηκεν.

Σὴθ ἡγεμόνευσε μετὰ τὸν Ἀδὰμ τῶν τηνικαῦτα ἀνθρώπων. οἱ δὲ ἐκ γένους αὐτοῦ διακόσιοι ἐγρήγοροι τῷ χιλιοστῷ τῆς κοσμογονίας ἔτει, τεσσαρακοστοῦ ὄντος τοῦ Ἰάρεδ, αὐτοῦ δὲ τοῦ Σὴθ ἑπτακοσιοστοῦ ἑβδομηκοστοῦ, πλανηθέντες κατέβησαν, καὶ ἔλαβον ἑαυτοῖς γυναῖκας ἐκ τῶν θυγατέρων τῶν ἀνθρώπων, καὶ ἐγέννησαν τοὺς γίγαντας τοὺς ὀνομαστούς, ὥς φησιν ἡ γραφή. ἐπειδὴ δέ τινες ἀντιλέγουσι περὶ τούτων, συνεῖδον ἐφεξῆς ὀλίγα τινὰ καὶ περὶ αὐτῶν παραθέσθαι, ἔκ τε τοῦ πρώτου βι- C βλίου τοῦ Ἐνὼχ καὶ αὐτοῦ Μωϋσέως καὶ Πέτρου τοῦ κορυφαίου τῶν ἀποστόλων.

Τῷ ϡξʹ ἔτει ἐγέννησε Μαλελεὴλ τὸν Ἰάρεδ.

Ἰάρεδ γενόμενος ἐτῶν ἑκατὸν ἑξήκοντα δύο ἐγέννησε τὸν Ἐνὼχ τῷ χιλιοστῷ ἑκατοστῷ εἰκοστῷ δευτέρῳ ἔτει τοῦ κόσμου.

[Ἔτος Ἰάρεδ τῷ χιλιοστῷ τοῦ κόσμου.]

1. εἴκοσιν ἑπτά A. εἴκοσι τρεῖς G. 7. χιλιοστῷ] 1058 p. 16 d. 1177 p. 19 d. 1170 p. 12 c. rursus 1000 p. 41 a. 8. τοῦ ἰάρεδ A. τῷ Ἰάρεδ G. 10. ἑαυτοῖς m. ἑαυτοὺς G. Vide p. 12 c. 19. „Ἔτος — κόσμου redundant vel alia desunt." m.

bus viginti tribus, obdormivit. Hic cunctis vitae suae annis humani generis imperium gessit.

Eodem anno nongentesimo tricesimo Cain, ruina domus in eum lapsa, interiit; lapidibus enim fratrem Abel confecerat. Anno itaque post Adami mortem evoluto, mortuus est.

Adamo e vivis sublato, hominum tunc in terris degentium dominium Seth obtinuit: millesimo vero mundi conditi anno, Iared quadragesimo, ipsius Seth septingentesimo septuagesimo, ducenti ex eius stirpe egregori seducti descenderunt, et ex filiabus hominum sibi delegerunt uxores, nominatissimosque illos, de quibus scriptura loquitur, procrearunt Gigantes. At cum in adversa opinione nonnulli sint, pauca quaedam de his, tum ex Enoch primo, tum ex ipsius Mosis, ac denique ex coryphaei apostolorum Petri libris delibare decrevi.

Anno nongentesimo sexagesimo Maleleel genuit Iared.

Iared centum et sexaginta duobus annis natus, anno mundi vicesimo secundo supra millesimum et centesimum genuit Henoch.

Annus Iared millesimo mundi coaequus.

**Ἐκ τοῦ πρώτου βιβλίου Ἐνὼχ περὶ τῶν ἐγρηγόρων.**

D Καὶ ἐγένετο ὅτε ἐπληθύνθησαν οἱ υἱοὶ τῶν ἀνθρώπων ἐγεννήθησαν αὐτοῖς θυγατέρες ὡραῖαι, καὶ ἐπεθύμησαν αὐτὰς οἱ ἐγρήγοροι, καὶ ἀπεπλανήθησαν ὀπίσω αὐτῶν, καὶ εἶπον πρὸς ἀλλήλους, ἐκλεξώμεθα ἑαυτοῖς γυναῖκας ἀπὸ τῶν θυγατέρων τῶν ἀνθρώπων τῆς γῆς. καὶ εἶπε Σεμιαζᾶς ὁ ἄρχων αὐτῶν πρὸς αὐτούς, φοβοῦμαι μὴ οὐ θελήσητε ποιῆσαι τὸ πρᾶγμα τοῦτο, καὶ ἔσομαι ἐγὼ μόνος ὀφειλέτης ἁμαρτίας μεγάλης. καὶ ἀπεκρίθησαν αὐτῷ πάντες καὶ εἶπον, ὀμόσωμεν ἅπαντες ὅρκῳ καὶ ἀναθεματίσωμεν ἀλλήλους τοῦ μὴ ἀποστρέψαι τὴν γνώμην ταύτην, μέχρις οὗ ἀποτελέσωμεν αὐτήν. τότε πάντες ὤμοσαν ὁμοῦ καὶ
P. 12 ἀνεθεμάτισαν ἀλλήλους. ἦσαν δὲ οὗτοι διακόσιοι οἱ καταβάντες ἐν ταῖς ἡμέραις Ἰάρεδ εἰς τὴν κορυφὴν τοῦ Ἑρμονιεὶμ ὄρους καὶ ἐκάλεσαν τὸ ὄρος Ἑρμώμ, καθότι ὤμοσαν καὶ ἀνεθεμάτισαν ἀλλήλους ἐν αὐτῷ. καὶ ταῦτα τὰ ὀνόματα τῶν ἀρχόντων αὐτῶν·

α' Σεμιαζᾶς ὁ ἄρχων αὐτῶν.
β' Ἀταρκούφ.
B γ' Ἀρακιήλ.
δ' Χωβαβιήλ.
ε' Ὁραμμαμή.
ς' Ῥαμιήλ.
ζ' Σαμψίχ.
η' Ζακιήλ.
θ' Βαλκιήλ.
ι' Ἀζαλζήλ.

1. *Ἐνὼχ*] Cap. VII. p. 171. In libro Enoch sequor interpretationem Sylvestri de Sacy, quae addita est Laurencii editioni. 3. *θυγατέραις* A. 6. *Σεμιαζᾶς*] *σεμιαζὰς* A. 7. *θελήσητε* A. *θελήσετε* G. 11. *ὤμοσαν* Am. *ὅμωσαν* G. 13. *τοῦ* addidi ex A. 14. *ἑρμώμ* A. *Ερμὼν* G. 14. *ὤμοσαν καὶ ἀνεθ*— Am. *ὅμοσαν καὶ ἀναθ*— G. 16. *Σεμιαζᾶς*] *σεμιαζὰς* A. Proxima nomina longe aliter scripta sunt in libro Enoch.

## Ex libro primo Enoch, de egregoris.

Hominum vero in immensum crescente numero, puellae natae sunt illis speciosissimae, in quas exarserunt egregori, et earum amore capti in varios errores abducti sunt. Mutuis itaque sermonibus sese adhortantes „eligamus," inquiunt, „nobis uxores ex hominum terrae filiabus." Dixit autem princeps eorum Semiazas: „vereor ne hoc adimplere nolitis, et ego solus gravis huius peccati reus agar." Responderunt autem ei omnes, dixeruntque: „iusiurando firmemus cuncti propositum hocce nostrum, dirisque invicem devoveamus nos, a sententia, donec opere perficiatur, nusquam discessuros." Iuramento tunc devinxere se cuncti, maledictisque sibi invicem imprecati sunt. Erant autem hi numero ducenti, qui in diebus Iared in montis Ermonim verticem profecti sunt; Ermon autem montem dixerunt ex iusiurando, quo se invicem constrinxerunt et maledictis quibus se sponte subiecerunt. Haec porro sunt principum illorum nomina:

1. Semiazas universorum dux.
2. Atarcuph.
3. Araciel.
4. Chobabiel.
5. Horammame.
6. Ramiel.
7. Sampsich.
8. Zaciel.
9. Balciel.
10. Azalzel.

ια' Φαρμαρός. ις' Σαρινᾶς.
ιβ' Ἀμαριήλ. ιζ' Εὐμιήλ.
ιγ' Ἀναγημάς. ιη' Τυριήλ. V. 10
ιδ' Θαυσαήλ. ιθ' Ἰουμιήλ.
ιε' Σαμιήλ. κ' Σαριήλ.

οὗτοι καὶ οἱ λοιποὶ πάντες ἐν τῷ χιλιοστῷ ἑκατοστῷ ἑβδομη- C κοστῷ ἔτει τοῦ κόσμου ἔλαβον ἑαυτοῖς γυναῖκας καὶ ἤρξαντο μιαίνεσθαι ἐν αὐταῖς ἕως τοῦ κατακλυσμοῦ. καὶ ἔτεκον αὐτοῖς γένη τρία· πρῶτον γίγαντας μεγάλους. οἱ δὲ γίγαντες ἐτέκνωσαν Ναφηλείμ, καὶ τοῖς Ναφηλεὶμ ἐγεννήθησαν Ἐλιούδ. καὶ ἦσαν αὐξανόμενοι κατὰ τὴν μεγαλειότητα αὐτῶν, καὶ ἐδίδαξαν ἑαυτοὺς καὶ τὰς γυναῖκας ἑαυτῶν φαρμακείας καὶ ἐπαοιδίας. πρῶτος Ἀζαὴλ ὁ δέκατος τῶν ἀρχόντων ἐδίδαξε ποιεῖν μαχαίρας καὶ θώρακας καὶ πᾶν σκεῦος πολεμικὸν καὶ τὰ μέταλλα τῆς γῆς καὶ τὸ χρυσίον πῶς ἐργάσωνται, καὶ ποιήσωσιν αὐτὰ κόσμια ταῖς γυναιξί, καὶ τὸν ἄργυρον. ἔδειξε δὲ αὐτοῖς καὶ τὸ στίλβειν καὶ D τὸ καλλωπίζειν καὶ τοὺς ἐκλέκτους λίθους καὶ τὰ βαφικά. καὶ ἐποίησαν ἑαυτοῖς οἱ υἱοὶ τῶν ἀνθρώπων καὶ ταῖς θυγατράσιν αὐτῶν καὶ παρέβησαν καὶ ἐπλάνησαν τοὺς ἁγίους, καὶ ἐγένετο ἀσέβεια πολλὴ ἐπὶ τῆς γῆς· καὶ ἠφάνισαν τὰς ὁδοὺς αὐτῶν. ἔτι δὲ καὶ ὁ πρώταρχος αὐτῶν Σεμιαζᾶς ἐδίδαξεν εἶναι ὀργὰς κατὰ τοῦ

2. ὁ εὐμιήλ A. 3. ἀναγημάς A. Ἀναγημᾶς G. 10. Ναφηλεὶμ καὶ] ἀφηλεὶμ καὶ A. 13. Ἀζαήλ] „Supra Ἀζαλζήλ." m. Ἀζαήλ etiam p. 24. 25. In libro Enoch Azazyel dicitur. ἀρχόντων καὶ G. καὶ om. A. 21. καὶ ὁ A. καὶ ὁ δὲ G.

11. Pharmarus. 16. Sarinas.
12. Amariel. 17. Eumiel.
13. Anagemas. 18. Tyriel.
14. Thausaël. 19. Iumiel.
15. Samiel. 20. Sariel.

Isti caeterique cuncti acceperunt sibi uxores anno mundi millesimo centesimo septuagesimo, et ad diluvium usque in eas insanierunt; ex eis vero nati in tria genera sunt divisi, quorum primum Gigantes, homines proceri. Gigantes autem Naphelim procreaverunt, ex Naphelim porro Eliudaei orti sunt. Caeterum iuxta corporis eorum molem auctus est quoque numerus, ac sese uxoresque suas veneficia et incantationes mutuo docuerunt. Primus Azaël in ordine principum decimus, qui gladios, thoracas, et omne bellicum instrumentum, et terrae metalla conflare, aurum quoque et argentum qua tractarent arte muliebrem mundum composituri, adinvenit; qua polirent etiam, et electis lapidibus nitorem adiicerent, et colores fucarent, instruxit. Ista sibi filiabusque suis comparaverunt filii hominum, et violato dei mandato sanctos in errorem impulerunt, ac tandem perversis iustitiae semitis ingens terram universam pervagata est impietas. Animo insuper odia fovere, et herbarum radicibus aliis damna parare Semiazas eorum dux

νοὸς, καὶ ῥίζας βοτανῶν τῆς γῆς. ὁ δὲ ἑνδέκατος Φαρμαρὸς ἐδί-
δαξε φαρμακείας, ἐπαοιδίας, σοφίας καὶ ἐπαοιδῶν λυτήρια. ὁ
ἔνατος ἐδίδαξεν ἀστροσκοπίαν. ὁ δὲ τέταρτος ἐδίδαξεν ἀστρο-
P. 13 λογίαν. ὁ δὲ ὄγδοος ἐδίδαξεν ἀεροσκοπίαν. ὁ δὲ τρίτος ἐδίδαξε
τὰ σημεῖα τῆς γῆς. ὁ δὲ ἕβδομος ἐδίδαξε τὰ σημεῖα τοῦ ἡλίου.
ὁ δὲ εἰκοστὸς ἐδίδαξε τὰ σημεῖα τῆς σελήνης. πάντες οὗτοι ἤρ-
ξαντο ἀνακαλύπτειν τὰ μυστήρια ταῖς γυναιξὶν αὐτῶν καὶ τοῖς τέ-
κνοις αὐτῶν. μετὰ δὲ ταῦτα ἤρξαντο οἱ γίγαντες κατεσθίειν τὰς
σάρκας τῶν ἀνθρώπων· καὶ ἤρξαντο οἱ ἄνθρωποι ἐλαττοῦσθαι
ἐπὶ τῆς γῆς. οἱ δὲ λοιποὶ ἐβόησαν εἰς τὸν οὐρανὸν περὶ τῆς κα-
κώσεως αὐτῶν λέγοντες εἰσενεχθῆναι τὸ μνημόσυνον αὐτῶν ἐνώ-
πιον κυρίου. καὶ ἀκούσαντες οἱ τέσσαρες μεγάλοι ἀρχάγγελοι
Μιχαὴλ καὶ Οὐριὴλ καὶ Ῥαφαὴλ καὶ Γαβριὴλ παρέκυψαν ἐπὶ τὴν
γῆν ἐκ τῶν ἁγίων τοῦ οὐρανοῦ· καὶ θεασάμενοι αἷμα πολὺ ἐκ-
B κεχυμένον ἐπὶ τῆς γῆς καὶ πᾶσαν ἀσέβειαν καὶ ἀνομίαν γενομένην
ἐπ' αὐτῆς, εἰσελθόντες εἶπον πρὸς ἀλλήλους ὅτι τὰ πνεύματα
καὶ αἱ ψυχαὶ τῶν ἀνθρώπων στενάζουσιν ἐντυγχάνοντα καὶ λέ-
γοντα ὅτι εἰσαγάγετε τὴν κρίσιν ἡμῶν πρὸς τὸν ὕψιστον, καὶ
τὴν ἀπώλειαν ἡμῶν ἐνώπιον τῆς δόξης τῆς μεγαλωσύνης, ἐνώ-
πιον τοῦ κυρίου τῶν κυρίων πάντων τῇ μεγαλωσύνῃ. καὶ εἶπον τῷ
κυρίῳ τῶν αἰώνων, σὺ εἶ ὁ θεὸς τῶν θεῶν καὶ κύριος τῶν κυρίων
καὶ ὁ βασιλεὺς τῶν βασιλευόντων καὶ θεὸς τῶν αἰώνων, καὶ ὁ θρό-

3. ἔνατος] ἔννατος G. ἀστροσκοπίαν m. ἀστροκοπίαν G. 8. ταῦτα add. A. 10. Conf. p. 24 b. 13. παρέκυψαν] Legebatur καὶ παρέκυψαν. Conf. p. 24 c. 14. ἐκκεχυμένον m. ἐκκεχυμμένον G. 16. ἐπ' αὐτῆς add. A. 18. πρὸς τὸν A. πρὸς G. 19 et 20. μεγαλωσ— A. μεγαλοσ— G. 22. καὶ θεὸς A. καὶ ὁ θεὸς G. . αἰώνων] ἀνθρώπων p. 24 c. ὁ θρόνος A. ὁ om. G.

aperuit: Pharmarus, princeps undecimus, veneficia, incantationes, praestigias, et incantationum impedimenta; nonus, astrorum cursus; quartus, astrologiam; octavus, aëris inspectionem; tertius, terrae; septimus, solis; vicesimus, lunae signa exposuit; singuli denique arcana haec uxoribus filiisque suis revelare, Gigantesque postmodum carnes humanas vocare coeperunt. Hinc hominum numerus minor in dies fieri, ac paene deficere visus: tum reliqui quique tantae nequitiae pertaesi vocem extulerunt in caelum, et sui memoriam ad dei conspectum deferri precati sunt. His auditis, quatuor archangeli magni, Michaël, Uriel, Raphaël et Gabriel, de sanctis caeli prospexerunt in terram: et viso plurimo sanguine super terram effuso, et universa impietate et iniquitate cognita, regressi dixerunt ad invicem: spiritûs et animae hominum suspirant dicentes, iudicium internecionemque nostram ad gloriam maiestatis, ad dominorum omnium dominum in maiestate, deferte. Et dixerunt domino saeculorum: „Tu es deorum deus, et dominorum dominus, et regum rex, et saeculorum deus, et thro-

*νος τῆς δόξης σου εἰς πάσας τὰς γενεὰς τῶν αἰώνων, καὶ τὸ ὄνομά σου ἅγιον καὶ εὐλογημένον εἰς πάντας τοὺς αἰῶνας, καὶ* C *τὰ ἑξῆς. τότε ὁ ὕψιστος ἐκέλευσε τοῖς ἁγίοις ἀρχαγγέλοις, καὶ ἔδησαν τοὺς ἐξάρχους αὐτῶν καὶ ἔβαλον αὐτοὺς εἰς τὴν ἄβυσσον, ἕως τῆς κρίσεως, καὶ τὰ ἑξῆς. καὶ ταῦτα μὲν ὁ Ἐνὼχ μαρτυρεῖ.*

*Ὁ δὲ θεόπτης Μωϋσῆς ἐν τῇ Γενέσει φησὶ „καὶ ἐγένετο ἡνίκα ἤρξαντο οἱ ἄνθρωποι πολλοὶ γίνεσθαι ἐπὶ τῆς γῆς, καὶ θυγατέρες ἐγεννήθησαν αὐτοῖς. ἰδόντες δὲ οἱ υἱοὶ τοῦ θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων ὅτι καλαί εἰσιν, ἔλαβον ἑαυτοῖς γυναῖκας ἀπὸ πασῶν ὧν ἐξελέξαντο." εἶτα „καὶ μετ᾽ ἐκεῖνο ὡς ἂν εἰσεπορεύοντο οἱ υἱοὶ τοῦ θεοῦ πρὸς τὰς θυγατέρας τῶν ἀνθρώπων καὶ ἐγεννῶσαν ἑαυτοῖς, ἐκεῖνοι ἦσαν οἱ γίγαντες οἱ ἀπ᾽ αἰῶ-* V. 11 *νος, ἄνθρωποι οἱ ὀνομαστοὶ" καὶ τὰ ἑξῆς.*

*Ὁ δὲ κορυφαῖος καὶ ἀπόστολος Πέτρος ἐν ἐπιστολῇ δευτέρᾳ* D *περὶ αὐτῶν οὕτω φησίν, εἰ γὰρ ὁ θεὸς ἀγγέλων ἁμαρτησάντων οὐκ ἐφείσατο, ἀλλὰ σειραῖς ζόφου ταρταρώσας παρέδωκεν εἰς κρίσιν κολαζομένους τηρεῖν, καὶ ἀρχαίου κόσμου οὐκ ἐφείσατο, ἀλλ᾽ ὄγδοον Νῶε δικαιοσύνης κήρυκα ἐφύλαξε, κατακλυσμὸν κόσμῳ ἀσεβῶν ἐπάξας.*

*Ταῦτά τοι πρὸς ὠφέλειαν τῶν βουλομένων ἐκ τῶν θείων γραφῶν παρατέθεικα. ἄξιον δὲ καὶ Ζωσίμου τοῦ Πανοπολίτου φιλοσόφου χρῆσίν τινα παραθέσθαι περὶ αὐτῶν ἐκ τῶν γεγραμ-*

4. *ἔβαλον* m. *ἔβαλλον* G. 6. *Μωϋσῆς*] Genes. VI, 1. 8. *δὲ* add. A. 10. *εἶτα καὶ* A. *εἶτα δὲ* A. 12. *ἦσαν οἱ* A. *οἱ* om. G. 13. *οἱ ὀνομαστοὶ* A. *οἱ* om. G. 14. *δευτέρᾳ*] Cap. 2, 4. 15. *οὕτω* addidi ex A. 18. *κατακλοισμὸν* A. 20. *τοι*] Vulgo *μοι*.

**nus gloriae tuae in omnes saeculorum generationes et nomen tuum sanctum et in omnia saecula benedictum: et quae deinceps. Tunc altissimus sanctis archangelis imperavit, et vinctos eorum antesignanos usque ad iudicium angeli detruserunt in abyssum, et quae sequuntur. Et haec quidem Enoch testatur.**

**Dei vero contemplator Moses scribit in Genesi: „cum coepissent homines multiplicari super terram, et filios procreassent, videntes filii dei filias hominum quod essent pulchrae, acceperunt sibi uxores ex omnibus quas elegerant." Consequenter vero: „postquam ingressi sunt filii dei ad filias hominum, illaeque genuerunt, visi sunt Gigantes, a saeculo viri famosi." Et reliqua.**

**Porro coryphaeus et apostolus Petrus de iisdem epistola secunda dicit: „si enim deus angelis peccantibus non peperit, sed rudentibus inferni detractos in tartarum tradidit cruciandos in iudicium reservatos: et originali mundo non pepercit, sed octavum Noë iustitiae praeconem custodivit, diluvium mundo impiorum inducens."**

**Ex divinis scripturis haec in medium adduxi studiosorum gratia: caeterum operae quoque pretium est Zosimi Panopolitae philosophi, divino**

μένων αὐτῷ πρὸς θεοσέβειαν ἐν τῷ ἐνάτῳ τῆς Ἰμοὺθ βίβλῳ, ἔχουσαν ὧδε „φάσκουσιν αἱ ἱεραὶ γραφαὶ ἤτοι βίβλοι, ὦ γύναι, ὅτι ἔστι τι δαιμόνων γένος ὃ χρῆται γυναιξίν. ἐμνημόνευσε δὲ P. 14 καὶ Ἑρμῆς ἐν τοῖς φυσικοῖς, καὶ σχεδὸν ἅπας λόγος φανερὸς καὶ ἀπόκρυφος τοῦτο ἐμνημόνευσε. τοῦτο οὖν ἔφασαν αἱ ἀρχαῖαι καὶ θεῖαι γραφαὶ, ὅτι ἄγγελοί τινες ἐπεθύμησαν τῶν γυναικῶν καὶ κατελθόντες ἐδίδαξαν αὐτὰς πάντα τὰ τῆς φύσεως ἔργα, ὧν χάριν, φησὶ, προσκρούσαντες, ἔξω τοῦ οὐρανοῦ ἔμειναν, ὅτι πάντα τὰ πονηρὰ καὶ μηδὲν ὠφελοῦντα τὴν ψυχὴν ἐδίδαξαν τοὺς ἀνθρώπους. ἐξ αὐτῶν φάσκουσιν αἱ αὐταὶ γραφαὶ καὶ τοὺς γίγαντας γεγενῆσθαι. ἔστιν οὖν αὐτῶν ἡ πρώτη παράδοσις Χημεῦ περὶ τούτων τῶν τεχνῶν. ἐκάλεσε δὲ ταύτην τὴν βίβλον Χημεῦ, ἔνθεν καὶ ἡ τέχνη χημεία καλεῖται" καὶ τὰ ἑξῆς.

B Τούτων οὕτως ἐχόντων περὶ τῶν ἐκ τοῦ Σὴθ ἐγρηγόρων δέον γινώσκειν ὅτι παρὰ μὲν τῇ θεοπνεύστῳ γραφῇ πρὸ τοῦ κατακλυσμοῦ περὶ βασιλείας τῆς οἱασοῦν οὐ φέρεται· δῆλον γὰρ ὡς οἱ τοῦ γένους προπάτορες Ἀδάμ τε καὶ Σὴθ καὶ Ἐνὼς καὶ οἱ ἀμφ' αὐτοὺς ἐπισημότεροι, οὗτοι ἐξῆρχον τῶν πολλῶν ἕως τελείας κατακρατήσεως τῶν γιγάντων, οὓς νομίζομεν τυραννεῖν τῶν ἀσθενεστέρων ἀνθρώπων, οἵτινες οὐκ ἦσαν αὐτοῖς ὅμοιοι,

1. ἐνάτῳ] ἐννάτῳ G. Ἰμοὺθ] ἰμοῦθ A. 4. ἑρμῆς A. ὁ Ἑρμῆς G. 5. αἱ addidi ex A. 7. πάντα add. A. 8. φησὶν A. φασὶν G. 11 et 12. χημεῦ A. Χημᾶ G. βίβλον Χῦμα m. 13. ἔνθεν καὶ A. ἔνθεν δὲ G. χημεία] χυμεία m. 14. τούτων A. τούτων οὖν G. 17. τε καὶ A. τε om. G. ἐνῶς A. 18. τελείας καὶ A. 19. καταχρατήσεως A. καταρτήσεως G. νομίζομεν m. νομιζομένους G.

cultui magis ac magis augendo, ex eiusdem scriptis libro Imuthi nono testimonium his verbis conceptum adiungere: referunt sacrae scripturae, hoc est libri, o mulier, daemonum genus quoddam esse in mulierum consuetudinem venire solitum: horum mentionem agit Mercurius in physicis, ac omne ferme tam certae quam obscurae auctoritatis volumen de illis nonnihil edisserit. Hoc itaque veteres et sacrae scripturae affirmant, angelos quosdam mulierum cupidine tactos, in terras dilapsos naturae opera eas edocuisse, propterea quod prava quaeque et inutilia eis revelassent, caelo extorres perpetuo exilio damnatos ferunt. Ex his Gigantes ortos eaedem scripturae testantur, primumque artium huiusmodi documentum est chemia: librumque hunc vocavit Chema, unde et chimiae nomen factum, et quae sequuntur.

His ita constitutis de egregoris e Seth stirpe oriundis, ante diluvium de nullo regno divinis in scpriturie exstare memoriam observandum. Constat enim primos humani generis autores Adam, Seth et Enos, aliosque ipsis coniunctos prae reliquis conspicuos ad stabilitum usque Gigantum supra caeteros imperium, potestatem obtinuisse; Gigantes vero in reliquos hominum corporis mole viribusque sibi impares usque

μέχρι τοῦ ἐπὶ Νῶε κατακλυσμοῦ, δι' οὓς καὶ ἐφθάρη ἡ γῆ. ἐπειδὴ δὲ Βήρωσσος ὁ τῆς Χαλδαϊκῆς ἀρχαιολογίας συγγραφεὺς ἀκμάσας κατὰ τοὺς χρόνους Ἀλεξάνδρου τοῦ Μακεδόνος, ὥς φησι, καὶ εὑρὼν ἐν Βαβυλῶνι πολλῶν ἀναγραφὰς φυλασσομέ- C νας ἐπιμελῶς, αἳ περιεῖχον ἐτῶν μυριάδας που δεκαπέντε καὶ μικρὸν πρὸς, ἱστορίας τινὰς περὶ οὐρανοῦ τε καὶ γῆς καὶ θαλάσσης καὶ βασιλέων ἀρχαιότητος καὶ τῶν πράξεων αὐτῶν, περί τε θέσεως τῆς Βαβυλωνίας γῆς καὶ καρποφορίας αὐτῆς καὶ ζώων τινῶν ἐκ τῆς ἐρυθρᾶς θαλάσσης φανέντων παρὰ φύσιν τῷ εἴδει, καὶ ἄλλα τινὰ μυθώδη ταῦτα, κομπολογίᾳ τινὶ συνέγραψεν, ἅτινα πάντα κατὰ τὸν ἀληθῆ λόγον πλάσματα δαιμόνων εἶναι δοκεῖ, ἀναγκαῖον ἡγοῦμαι καὶ τούτων τὸν χρόνον ἐν κανονίῳ παραθέσθαι ἀπὸ τοῦ χιλιοστοῦ πεντηκοστοῦ ἐνάτου ἔτους τοῦ κόσμου ὄντα, καίπερ πληροφορούμενος ὅτι δοξάσαι θέλων τὸ τῶν D Χαλδαίων ἔθνος καὶ δεῖξαι πάντων τῶν ἐθνῶν ἀρχαιότερον ὁ Βήρωσσος καὶ οἱ κατ' αὐτὸν, ὁ Ἀλέξανδρος, φημὶ, ὁ Πολυΐστωρ λεγόμενος καὶ Ἀβυδηνὸς, ταῦτα γεγράφασι. τὸ γὰρ τὴν καθ' ἡμᾶς οἰκουμένην πρὸ τοῦ κατακλυσμοῦ μᾶλλον ἀοίκητον ἡγεῖσθαι, ἐν ᾗ τῶν Βαβυλωνίων ἡ χώρα καὶ ἡ Αἴγυπτος κεῖται, καταλληλότερον εἶναι δοκεῖ ἔκ τε τῆς θείας γραφῆς καὶ ἔκ τινων V. 12

1. δι' οὓς A. δι' οὗ G. 2. Βήρωσσος] Vulgo Βηρωσσός. 3. ὥς φησι] Conf. p. 28 b. 5. μυριάδας] Vulgo μυριάδων. 9. φανέντων Niebuhrius. Vulgo θανέντων. Conf. p. 28 c. 29 a. 12. τούτων A. τοῦτον G. 13. ἐνάτου] Vulgo ἐννάτου, quod ubique correxi. 15. Βήρωσσος] Vulgo Βηρωσσός. 17. λεγόμενος om. G. Ἀβυδηνὸς m. Ἀβυδινὸς G. 19. ἐκείνης ἐν ᾗ m.

ad Noei diluvii, quo terra delata est, tempestatem, manifestam exercuisse tyrannidem aestimamus. At quoniam Berosus Chaldaicarum antiquitatum scriptor, qui, ut ipse refert, circa Alexandri Macedonis tempus floruit, plurium auctorum monumenta diligenter asservata, quae res gestas annorum myriadibus quindecim, et nonnihil amplius continerent, quasdamque de caelo, terra, mari, regum ac facinorum eorundem antiquitate, de Babylonicae terrae situ ac ubertate, de animalium quorumdam rubro mari enatorum forma praeter naturam usitata, ac de aliis quibusdam fabulosis narrationes continentia, quae quidem ordine compendioque conscripsit, se invenisse testatur (haec autem, ut verum fatear, daemonum figmenta sunt anilesque nugae). Propterea omnem temporis seriem ab hoc labente anno mundi millesimo quinquagesimo nono in laterculum referre ac coordinare necessarium duxi; nec enim me fugit Berosum ac eius sequaces, Alexandrum dico, cognomento Polyhistorem, et Abydenum, ceu Chaldaeorum gentem laudaturos, ac caeteris nationibus antiquiorem demonstraturos, haec scriptis consignare voluisse. Ea siquidem sententia, quae concessam nobis terrae portionem, paucioribus ante diluvium incolis refertam quam ea, in qua Babyloniorum regio ac Aegyptus sita est, existimat, divinae scripturae, paternis assertionibus, ac ipsi denique rerum connexae

πατρικῶν μαρτυριῶν καὶ τῆς φυσικῆς τῶν πραγμάτων ἀκολουθίας· καὶ ἐκ μὲν τῆς γραφῆς οὕτω λεγούσης „καὶ ἐξέβαλε τὸν
P. 15 Ἀδὰμ, καὶ κατῴκισεν αὐτὸν ἀπέναντι τοῦ παραδείσου τῆς τρυφῆς". ἡ δὲ Βαβυλωνίων γῆ καὶ ἡ καθ' ἡμᾶς οἰκουμένη πᾶσα πόῤῥω που κεῖται τῆς κατ' ἀνατολὰς Ἐδὲμ, ἔνθα τὸν παράδεισον κεῖσθαι φαμέν. καὶ ἵνα τῷ τοιούτῳ λόγῳ μάρτυρά τινα θεοφόρον διδάσκαλον παραστήσωμεν, παρέστω ἡμῖν ὁ θεῖος Ἐφραῒμ, ἡ ὠκεανόβρυτος γλῶσσα, φάσκων ἐν τοῖς εἰς τὸν παράδεισον δογματικοῖς αὐτοῦ λόγοις οὕτως „πάντων τῶν ὑψωμάτων τῶν ὡραίων ὑψηλότερος ὁ παράδεισος. ὁ δὲ κατακλυσμὸς πρὸς τὰ ἴχνη αὐτοῦ ἔφθασεν. οἱ δὲ πρὸ τοῦ κατακλυσμοῦ ἄν-
B θρωποι ἀνὰ μέσον τοῦ ὠκεανοῦ καὶ τοῦ παραδείσου ᾤκησαν, ἡ δὲ γενεὰ τοῦ Κάϊν εἰς γῆν καλουμένην Ὀδ, ἥτις μεθερμηνεύεται τρέμουσα, οἱ δὲ τοῦ Σὴθ εἰς τὴν ὑψηλοτέραν ἐντεταλμένοι ὑπὸ τοῦ Ἀδὰμ μὴ συμμίγνυσθαι εἰς τὴν γενεὰν τοῦ Κάϊν τοῦ ἀδελφοκτόνου. ἦν δὲ ἡ γενεὰ αὐτοῦ χθαμαλοὶ τῇ ἡλικίᾳ διὰ τὴν κατάραν Κάϊν· οἱ δὲ τοῦ Σὴθ γίγαντες καὶ ὡς ἄγγελοι θεοῦ ἐν τῇ ὑψηλῇ χώρᾳ. ἐλθοῦσαι δὲ αἱ θυγατέρες τοῦ Κάϊν διὰ μουσικῶν αὐλῶν καὶ κινυρῶν κατήγαγον αὐτοὺς ἐκ τῆς χώρας αὐτῶν, καὶ ἔσχον αὐτὰς, καὶ πληθυνθείσης τῆς ἀνομίας αὐτῶν γέγονεν
C ὁ κατακλυσμός. καὶ ἐξήγαγεν ὁ θεὸς τὴν κιβωτὸν Νῶε εἰς ὄρος

2. τῆς γραφῆς] Genes. III, 24. ἐξέβαλεν G. ἐξέβαλλεν A. 3. κατῴκησεν A. 5. κεῖται τῆς m. κεῖται ποῦ τῆς G. 6. θεοφόρον A. θεοφόρων G. 12. ᾤκησαν m. οἰκοῦσαν G. 13. Ὀδ] Ναῒδ m. 14. τρέμουσα] κατῴκει add. m. 15. συμμίγνοισθαι A. 18. θυγατέραις A.

seriei nulla non ex parte consonat; divinae quidem scripturae dicenti: „et eiecit Adam, et collocavit eum in regione paradisi voluptatis." Babyloniorum autem regio, vel ea quam habitamus terrae pars, ab Edem, orientali plaga, in qua paradisum exstare dicimus, non modico distat intervallo. Atque ut huius dicti deiferorum patrum testem aliquem producamus, prodeat nobis divinus Ephraim, lingua, inquam, illa pelago eloquentiae scaturiens, dogmaticis suis de paradiso sermonibus hoc pacto disserens. Amoenis omnibus locis excelsis paradisus elevatior: ad eius vero radices diluvii pertinuerunt aquae. Homines diluvio antiquiores inter paradisum et oceanum sedes habitationi commodas obtinebant; Cain autem soboles omnis terram Od, quae tremula exponitur, incolebat; Seth vero filii, ne cum Cain fratricidae progenie commiscerentur, in excelsiore terrae parte ab Adamo iussi sunt consistere. Erat autem omnis illa Cain progenies ob traductum cum sanguine a patre maledictum corporis mole brevior ac depressa forma, ex adverso vero filii Seth, ceu proceri Gigantes, et angeli dei, in excelsa morabantur regione. Porro filiae Cain ad eos profectae musicis tibiis, et cinyris illectos felici loco et excelsa regione deorsum egerunt, nupseruntque illis, crescenteque eorum nequitia factum est diluvium. Et eduxit dominus arcum Noë in montem Ararat, et ab eo tempore

Ἀραράτ. καὶ ἔκτοτε ᾤκησαν οἱ ἄνθρωποι εἰς τὴν γῆν ταύτην. τοῦτο δηλοῖ ὅτι ἡ νῦν οἰκοῦσα γῆ τότε ἀοίκητος ἦν. διὰ γὰρ τῆς εὐσπλαγχνίας τοῦ θεοῦ ᾤκησαν οἱ πρὸ τοῦ κατακλυσμοῦ εἰς τὰ πλησίον τοῦ παραδείσου, ἀνὰ μέσον ὠκεανοῦ καὶ τοῦ παραδείσου. τὸ δὲ σκότος τὸ ἐξώτερον, περὶ οὗ εἶπεν ὁ Χριστὸς, ἔσωθεν τοῦ παραδείσου ἐστίν· ὁ δὲ παράδεισος σὺν τῷ ὠκεανῷ τὸν κόσμον κυκλοῖ· ἡ δὲ Ἐδὲμ κατὰ ἀνατολάς ἐστιν· οἱ δὲ φωστῆρες ἡλίου καὶ σελήνης ἔσωθεν τοῦ παραδείσου ἀνατέλλουσιν, ἔξωθεν δὲ δύνουσιν παρερχόμενοι δι' αὐτοῦ" καὶ τὰ ἑξῆς.

Τοῖς μὲν οὖν εὐπειθέσιν ἀρκεῖν οἶμαι ταῦτα πρὸς πᾶσαν πληροφορίαν, ὅτι οἱ πρὸ τοῦ κατακλυσμοῦ ἄνθρωποι τὴν μεταξὺ D ὠκεανοῦ καὶ τοῦ παραδείσου γῆν ᾤκουν, καὶ οὔτε Βαβυλὼν ἦν ἐπὶ τῆς γῆς οὔτε Χαλδαίων βασιλεία, ὡς τῷ Βηρώσσῳ καὶ τοῖς ἑπομένοις αὐτῷ δοκεῖ πρὸς ἀνατροπὴν τῶν θείων γραφῶν, οὔτε Αἰγυπτίων δυναστεία, ὡς τῷ Μανεθῷ ψευδομένῳ καὶ μεγαλύνοντι τὸ τῶν Αἰγυπτίων ἔθνος ἔδοξε γράφειν. εἰ δέ τις οὐκ ἀρκεῖται τοῖς προτεθεῖσι, τελείως πειθέσθω δι' ὧν ὑποκατιὼν ὁ θεόπτης Μωϋσῆς ἐν τοῖς μετὰ τὸν κατακλυσμὸν οὕτω φησὶ „Χοὺς δὲ ἐγέννησε τὸν Νεβρώδ. οὗτος ἤρξατο εἶναι γίγας ἐπὶ τῆς γῆς. οὗτος ἦν γίγας κυνηγὸς ἔναντι κυρίου. διὰ τοῦτο ἐροῦσιν P. 16 ὡς Νεβρὼδ γίγας καὶ ἐγένετο ἡ ἀρχὴ τῆς βασιλείας αὐτοῦ

2. τῆς add. A. 3. ᾤκησαν m. οἰκοῦσαν G. 12. βαβυλῶν A. 13. βηρώσσῳ A. Βηρωσσῷ G. 17. προτεθεῖσι A. προστεθεῖσι G. 18. Μωϋσῆς] Genes. X, 8. 19. Χοὺς] Χοῦς G. νεβρὼδ hic et infra ter A. Νεμβρὼδ G. 20. ἦν A. ὁ G.

terram hanc homines incoluerunt. Ex quo colligitur terram hanc habitatam aliquamdiu prius incultam fuisse, cum ex dei tolerantia, iuxta paradisum, inter ipsum et oceanum homines moram trahere permitterentur. Exteriores vero tenebrae de quibus Christus loquutus, intra paradisum sunt: paradisus autem et oceanus mundum ambiunt: ad Orientalem plagam situm obtinet Edem: sol et luna gemina lumina ex paradiso oriuntur, ac eodem peragrato foras in occubitum tendunt, et quae deinceps.

Et mente quidem sanis haec abunde sufficere arbitror, ut ante diluvium inter oceanum et paradisum homines credantur terram incoluisse; ita tamen ut neque Babylon in terra, neque Chaldaeorum regnum, ut Beroso et eius discipulis ad evertendam scripturarum auctoritatem placet, neque Aegyptiorum principatus, ut a mendace et iactabundis buccis Aegyptiorum gentem Manetho extollente confictum est, extiterit. Haec tamen leviora, quam quae mereantur assensum, ratus aliquis convincetur abunde ex subiunctis, quae inspector dei Moses, recensita post diluvium rerum gestarum serie, hoc pacto commemorat: „Chus genuit Nembrod: ipse coepit esse Gigas in terra: ipse robustus erat venator coram domino. Ob hoc dicunt: quasi Nembrod Gigas. Fuit autem principium regni eius

*Βαβυλὼν, Ὀρὲχ καὶ Ἀρχὰδ καὶ Χαλάνη ἐν τῇ γῇ Σενααρ. ἐκ τῆς*
*γῆς ἐκείνης ἐξῆλθεν Ἀσσοὺρ, καὶ ᾠκοδόμησε τὴν Νινευὶ καὶ τὴν*
*Ῥοβὼθ πόλιν καὶ τὴν Χαλάχ. αὕτη ἡ πόλις ἡ μεγάλη." φανε-*
*ρὸν δὲ ἐκ τούτων ὅτι ἡ ἀρχὴ τῆς τῶν Βαβυλωνίων βασιλείας*
*ἤτοι Χαλδαίων ἀπὸ Νεβρὼδ τοῦ μετὰ τὸν κατακλυσμὸν εἰς ἔτη*
*ἑξακόσια τριάκοντα ἀκμάσαντος γέγονε. καὶ χρὴ πᾶσαν ἱστορίαν*
*Χαλδαϊκὴν ἢ Αἰγυπτιακὴν πρὸ τοῦ κατακλυσμοῦ τῇ γραφῇ ἀπαγ-*
B *γελλομένην μὴ ἀποδέχεσθαι τοὺς προσέχοντας ὀρθῶς ταῖς θείαις*
V. 13 *γραφαῖς, εἰ καί τινα περὶ κατακλυσμοῦ καὶ λάρνακος, ἤτοι κι-*
*βωτοῦ, κλέψαντες ἐκ τῶν θεοπνεύστων γραφῶν ἰδιοποιήσαντο,*
*δι' ὧν οἱ ἁπλούστεροι καὶ τοῖς λοιποῖς ληρήμασι προσέχοντες εὐ-*
*χερῶς βλάπτονται, λέγω δὲ περὶ μυριάδων ἐτῶν διὰ σάρων καὶ*
*νήρων καὶ σώσσων καταλεγομένων. ἐν οἷς καὶ περὶ ἀννιδοτίων*
*φάσκουσι ζώων τινῶν ἰχθυομόρφων ἐν μέρει καὶ ἀνθρωπομόρ-*
*φων, ἡμέρας μὲν ἐν τῇ γῇ διαιτωμένων καὶ μηδεμίαν τροφὴν*
*προσφερομένων, νυκτὸς δὲ ἐν τῷ πελάγει καταδυνόντων, παρα-*
*διδόντων τε τοῖς ἀνθρώποις γράμματα καὶ μαθημάτων καὶ τε-*
*χνῶν ἐμπειρίας καὶ πόλεων συνοικισμοὺς καὶ ἱερῶν ἱδρύσεις καὶ*
C *νόμων εἰσηγήσεις σπερμάτων τε συναγωγάς· καὶ ἀπὸ τότε φασὶ*

**1.** *βαβυλῶν* **A.** *ὀρὲχ* **A.** *Ορὰχ* **G. 2.** *Ἀσσοὺρ* **m.** *Ἀσοὺρ* **G.** *ἀσοῦρ* **A.** *νινευῆ* **A. 3.** *ῥοβῶθ* **A.** *Χαλάχ* **Am.** *Χαλάγ* **G. Post** *Χαλάχ* **librarii culpa excidisse videntur** *καὶ τὴν Δασὴ ἀνὰ μέσον Νινευὶ καὶ ἀνὰ μέσον Χαλάχ. ἡ μεγάλη*] *ἡ* **delendum. 4.** *τῆς τῶν* **A.** *τῆς* **om. G. 7.** *ἢ* **A.** *καὶ* **G. 8.** *προσέχοντας* **m.** *μὴ προσέχοντας* **G. 12.** *λέγω δὲ* **A.** *λέγοντες* **G.** *διὰ σάρων* **m.** *δι' ἃς ἄρων* **G. 13.** *νήρων*] **Scribebatur** *νείρων*. *ἀννιδοτίων* **A.** *ἀννοδοτίων* **G. 16.** *καταδυνόντων* **A.** *καταδυόντων* **G. 18.** *συν-φκισμοὺς* **A. 19.** *φασὶ*] *φησὶ* **A.** *τότε — χρόνους*] **„Leg.** *τοῦ τε — χρόνου.*" **Anonymus.**

**Babylon, Orach et Archad et Chalane in terra Sennaar. De terra illa egressus est Assur et aedificavit Niniven et urbem Roboth et Chalach: haec est civitas magna." Sane liquet ex his, Babyloniorum, sive mavis Chaldaeorum regni exordium a Nembrod, qui retro diluvium annis sexcentis et triginta floruit, ductum: et eos qui sacris scripturis ex aequo animum advertunt, Chaldaicam, sive Aegyptiam omnem historiam illis adversantem decet respuere: quamvis illi ex scripturis caelitus traditis de diluvio et arca suffurentur nonnulla, quibus animi simpliciores deliriis nonnunquam stupefacti laeduntur quam facile, ubi praestigiatores illi myriadas annorum Saris, Neiris, et Sossis conflatas comminiscuntur; in quibus et meras nugas evolvunt de annodotiis animalibus, qua piscium, qua hominum formam referentibus, de die nullo admisso cibo degentibus in terra, de nocte pelagi profundum subeuntibus, quorum ope litteras et disciplinarum artiumque experimenta, urbium habitandarum rationem, templorum aedificia, legum expositionem, seminum fructuumque colligendorum modum reliqui homines acceperint, quibus necdum adhuc tempus per annos metiendi**

χρόνους μηδὲν παρὰ ἀνθρώποις ἐφευρεθῆναι. ἅτινα πάντα καὶ ἄλλα πλεῖστα πολλῆς ἀδολεσχίας γέμοντα ὁρῶντες καὶ ταῖς θείαις ἡμῶν γραφαῖς ἀνακόλουθα οἱ τὰς Χριστιανικὰς ἱστορίας συγγράψαντες, θαυμάζω πῶς κατεδέξαντο ὅλως κανονικῇ στοιχειώσει ὑποβαλεῖν ἀνάξια πάσης ὄντα μνήμης, οὓς κατ' ὄνομα λέγειν περισσὸν ἡγοῦμαι αἰδοῖ τῶν ἀνδρῶν, δι' οὓς ἀναγκάζομαι κἀγὼ τῇ αὐτῇ στοιχειώσει χρήσασθαι, ἵνα μὴ δόξῃ ἀτελὲς εἶναι τὸ πόνημα. τῆς οὖν Χαλδαϊκῆς ἀρχῆς ἀπὸ Νεβρὼδ ἀποδεδειγμένης συναποδέδεικται δηλονότι καὶ τὰ περὶ τῶν Αἰγυπτιακῶν δυναστειῶν ὑπὸ Μανεθῶ τοῦ Σεβεννύτου πρὸς Πτολεμαῖον τὸν Φιλά- D
δελφον συγγεγραμμένα πλήρη ψεύδους καὶ κατὰ μίμησιν Βηρώσσου πεπλασμένα κατὰ τοὺς αὐτοὺς σχεδόν που χρόνους, ἢ μικρὸν ὕστερον· πλὴν καὶ αὐτὰ ἀνωφελῆ ὄντα στοιχειωθήσεται ἐκ τῶν παρὰ πολλοῖς ἱστορικοῖς κανονισθέντων.

Τῷ χιλιοστῷ πεντηκοστῷ ὀγδόῳ ἔτει τοῦ κόσμου οἱ ἐγρήγοροι κατῆλθον καὶ διήρκεσαν ἐν τῇ παραβάσει ἕως τοῦ κατακλυσμοῦ.

Ὁ δεύτερος κύκλος τῶν πεντακοσίων τριάκοντα δύο ἐτῶν ἐπληρώθη, καὶ ἤρξατο ὁ τρίτος τῷ χιλιοστῷ ἑξηκοστῷ πέμπτῳ ἔτει τοῦ κόσμου, διακοσιοστῷ ἑβδομηκοστῷ τοῦ Μαλελεήλ. P. 17

Ὁ ἀκριβῶς ἐφιστάνων τοῖς ὑποκειμένοις δυσὶ κανονίοις αὐ-

9. καὶ τὰ περὶ A. καὶ περὶ G. 10. ὑπὸ A. ἀπὸ G. 11. Βηρώσσου A. Βηρωσσοῦ G. 18. Ὁ δεύτερος κύκλος anonymus. Legebatur δύο κύκλους. δύο κύκλοι — ἐπληρώθησαν m.

usum fuisse communem constat: quae singula et alia plura nugis referta, et sacris scripturis penitus absona, ac ideo quae memorarentur indigna conspicatus, ab iis qui Canonicas historias conscripserunt, verae et probatae tractationi demiror inserta: quorum quidem nomina, viros reveritus, ad rem nostram pertinere non arbitror, quantumvis ne credatur opus imperfectum, eorum vestigiis inhaerere, et dispositione uti adstrictum me sentiam. Sane demonstratis imperii Chaldaici fundamentis a Nembrod primo positis, simul etiam quae a Manethone Sebennyta ad Ptolomaeum Philadelphum scripta mendaciis scaturire, et ad instar Berosi, eius nimirum aetate, vel tempore ab eo non admodum dissito conficta, statim percipias: illa tamen, quamvis nulli accessioni futura, quod a pluribus in historiae seriem relata, ex iisdem Historicis transsumpta sint, a nobis pariter suis reponentur locis.

Millesimo quinquagesimo octavo mundi anno descenderunt egregori; nec a violanda dei lege abstinuerunt, donec diluvio mundus periit.

Hucusque gemini quingentorum triginta duorum annorum circuli dignoscuntur evoluti: succedit tertius anno mundi millesimo sexagesimo quinto, Maleleel ducentesimo septuagesimo, renovandus.

Qui duabus tabulis infra locandis mentem attentius adiecerit, duorum

τόθεν ἕξει πᾶσαν πληροφορίαν ὅτι ἐπίπλαστός ἐστιν ἡ τούτων ἐπί-
νοια ἀμφοτέρων, ὡς προείρηται, τοῦ τε Βηρώσσου καὶ τοῦ
Μανεθῶ τὸ ἴδιον ἔθνος θέλοντος δοξάσαι, τοῦ μὲν τὸ τῶν Χαλ-
δαίων, τοῦ δὲ τὸ τῶν Αἰγυπτίων. θαυμαζέτω δὲ πῶς οὐκ
ᾐσχύνθησαν ἀφ᾽ ἑνὸς καὶ τοῦ αὐτοῦ ἔτους ἀρχὴν θέσθαι ταῖς
τερατώδεσιν αὐτῶν συγγραφαῖς, ἀλλ᾽ ὁ μὲν Βήρωσσος διὰ σά-
ρων καὶ νήρων καὶ σώσσων ἀνεγράψατο, ὧν ὁ μὲν σάρος τρισχι-
B λίων καὶ ἑξακοσίων ἐτῶν χρόνον σημαίνει, ὁ δὲ νῆρος ἐτῶν ἑξα-
κοσίων, ὁ δὲ σῶσσος ἑξήκοντα. καὶ συνῆξε σάρους ἑκατὸν εἴκοσι
διὰ βασιλέων δέκα, ἤτοι χρόνον ἐτῶν μυριάδων τεσσαράκοντα
τριῶν καὶ δύο χιλιάδων. ταῦτα δὲ ἔτη τινὲς τῶν καθ᾽ ἡμᾶς ἱστο-
ρικῶν ἡμέρας ἐλογίσαντο στοχαστικῶς μεμψάμενοι τὸν Παμφί-
λου Εὐσέβιον, ὡς μὴ νοήσαντα τὰ ἔτη τῶν σάρων ἡμέρας. μά-
την δὲ αὐτὸν ἐν τούτῳ μέμφονται. πῶς γὰρ τὸ μὴ ὂν εἶχε νοῆ-
V. 14 σαι πολυμαθὴς ὢν καὶ εἰδὼς τὴν Ἑλληνικὴν δόξαν πολλοὺς αἰῶ-
νας ὁμολογοῦσαν, ἤτοι μυριάδας ἐτῶν παρεληλυθέναι ἀπὸ τῆς
C κοσμικῆς γενέσεως κατὰ τὴν παρ᾽ αὐτοῖς μυθικὴν τοῦ ζωδιακοῦ
ἐπὶ τὰ ἐναντία κίνησιν ἀπὸ τῆς ἀρχῆς τοῦ κριοῦ καὶ πάλιν εἰς
αὐτὴν ἀποκατάστασιν; ποίαν δὲ αὐτοὶ ἀνάγκην εἶχον συμβιβάζειν
τὸ ψεῦδος τῇ ἀληθείᾳ;

2. βηρώσσου A. Βηρωσσοῦ G. 5. „Legendum μὴ θέσθαι: nam non statuunt. Vid. p. 34, 37." Anonymus. 6. Βήρωσσος] Vulgo Βηρωσσός. σάρων] ἀσάρων A. 8. χρόνον A. χρόνων G. 9. σῶσσος m. Σώσσων G.

istius modi scriptorum, quos memoravimus, commentitiam percipiet scriptionem, Berosi dico et Manethonis, illius Chaldaeorum, huius Aegyptiorum gentem propriam pro viribus extollere contendentis. Miretur porro lector etiam obvius, quod portentosis suis scriptis eundem annum principium commune statuere non sint reveriti: sed et Berosus Saris, Neris et Sossis annorum numerum composuerit, quorum quidem Sarus ter millium et sexcentorum, Nerus sexcentorum, Sossus annorum sexaginta spatium complectitur. Saros autem centum et viginti, decem regum aetate, hoc est myriadum quadraginta trium et duorum millium annorum collegit summam. Annos porro illos Historicorum nonnulli dies tantum coniiciunt, ex quo Eusebium Pamphili causati, qui Sarorum annos dies esse non animadvertit. Nullo tamen consilio inscitiae accusant. Qui namque quod non erat, vir alioquin eruditus, assereret? Vir ille, dico, qui Graecorum sententiam, plura saecula, annorumque portentosas myriadas ex fabulosa Zodiaci per partes adversas in idem signum conversione, ab arietis, inquam, termino ad eandem metam revolutione, iam a mundi natalibus praeteriisse asserentem probe dignosceret? Qua vero necessitate pressi mendacium veritati coacervare excogitaverunt?

## ΑΦΡΙΚΑΝΟΥ.

### Περὶ τῆς τῶν Αἰγυπτίων καὶ Χαλδαίων μυθώδους χρονολογίας.

Αἰγύπτιοι μὲν οὖν ἐπὶ τὸ κομπωδέστερον χρόνων περιττὰς περιόδους καὶ μυριάδας ἐτῶν κατὰ θέσιν τινὰ τῶν παρ᾽ αὐτοῖς D ἀστρολογουμένων ἐξέθεντο, ἅς τινες τῶν ταῦτα ἀκριβοῦν δοξάντων συστέλλοντες σεληνιαίους εἶπον ἐνιαυτούς, οὐδὲν ἔλαττον ἐπὶ τὸ μυθῶδες ἀπονενευκότες συμπίπτουσι ταῖς ὀκτὼ καὶ ἐννέα χιλιάσιν ἐτῶν, ἅς Αἰγυπτίων οἱ παρὰ Πλάτωνι ἱερεῖς εἰς Σόλωνα καταριθμοῦντες οὐκ ἀληθεύουσιν. καὶ μετ᾽ ὀλίγα· τὰ γὰρ Φοινίκων τρισμύρια ἔτη ἢ τὸν τῶν Χαλδαίων λῆρον, τὸ τῶν τεσσαράκοντα ὀκτὼ μυριάδων, τί δεῖ καὶ λέγειν; ἐκ τούτων γὰρ Ἰουδαῖοι τὸ ἀνέκαθέν γεγονότες ἀπὸ Ἀβραὰμ ἀρξάμενοι ἀτυφότερόν τε καὶ ἀνθρωπίνως μετὰ τοῦ ἀληθοῦς διὰ τοῦ Μωϋσέως P. 18 πνεύματος διδαχθέντες, ἔκ τε τῶν λοιπῶν Ἑβραϊκῶν ἱστοριῶν, ἀριθμὸν ἐτῶν πεντακισχιλίων πεντακοσίων εἰς τὴν ἐπιφάνειαν τοῦ σωτηρίου λόγου τὴν ἐπὶ τῆς μοναρχίας τῶν Καισάρων κηρυσσομένην παραδεδώκασιν.

Χαλδαίων α′ ἐβασίλευσεν Ἄλωρος σάρους δέκα.

Χαλδαίων β′ ἐβασίλευσεν Ἀλάσπαρος σάρους τρεῖς.

4. ἐπὶ τὸ Scaliger p. 8. ἐπὶ τῶν G. περιττὰς Scaliger. περὶ τὰς G. 5. κατὰ θέσιν Scaliger. κατάθεσιν G. 12. δεῖ καὶ A. καὶ om. G. 13. γεγονότες ἀπὸ Ἀβραὰμ τὸ ἀνέκαθεν ἀρξάμενοι m. 14. Μωϋσέως] Μωσέως G.

## EX AFRICANO.

### De commentitia Aegyptiorum Chaldaeorumque Chronologia.

Aegyptii certe de suae aetatis antiquitate iactantius eloquuti, per annorum revolutiones et myriades prorogatam quandam seriem ex astrologicis experimentis statuerunt: quas quidem ii, qui se penitius inspexisse arbitrantur, contrahentes fabulis nihilo secius addicti, annos huiusmodi lunares putandos commenti sunt, et confictis octo vel novem annorum millenariis, quae Soloni velut auctori Aegyptiorum sacerdotes apud Platonem quondam adscripserunt, a veritate probavere se longe dissitos. Et quibusdam interiectis. A Phoenicibus pariter myriades annorum tres iactatas, Chaldaeorumque deliria, nec non quadraginta et octo alias myriades, quid memorare necesse est? A Chaldaeis enim per Abrahamum patrem orti Iudaei, vero Mosis spiritu imbuti, qua decet homines a fastu alienos, suique memores, modestia, ex relictis sibi Hebraeorum monumentis annorum quinquies millium et quingentorum numerum usque ad salutaris Verbi adventum sub Caesarum imperio mundo evulgatum posteris tradiderunt.

Chaldaeorum I. regnavit Alorus Saris decem.

Chaldaeorum II. regnavit Alasparus Saris tribus.

Χαλδαίων γ´ ἐβασίλευσεν Ἀμήλων σάρους δεκατρεῖς.
B Χαλδαίων δ´ ἐβασίλευσεν Ἀμένων σάρους δώδεκα.
Χαλδαίων ε´ ἐβασίλευσε Μετάλαρος σάρους ὀκτωκαίδεκα.
Χαλδαίων ς´ ἐβασίλευσε Δάωνος ἔτη ἐνενήκοντα ἐννέα.
Χαλδαίων ζ´ ἐβασίλευσεν Εὐεδώραχος σάρους ὀκτωκαίδεκα.
Χαλδαίων η´ ἐβασίλευσεν Ἀμφὶς σάρους δέκα.
Χαλδαίων θ´ ἐβασίλευσεν Ὀτιάρτης σάρους ὀκτώ.
C Χαλδαίων ι´ ἐβασίλευσε Ξίσουθρος σάρους ὀκτωκαίδεκα.

## Περὶ τῆς τῶν Αἰγυπτίων ἀρχαιολογίας.

Μανεθῶ ὁ Σεβεννύτης ἀρχιερεὺς τῶν ἐν Αἰγύπτῳ μιαρῶν ἱερῶν μετὰ Βήρωσσον γενόμενος ἐπὶ Πτολεμαίου τοῦ Φιλαδέλφου γράφει τῷ αὐτῷ Πτολεμαίῳ ψευδηγορῶν καὶ αὐτὸς ὡς ὁ Βήρωσσος, περὶ δυναστειῶν ς´, ἤτοι θεῶν τῶν μηδέποτε γεγονότων ζ´,
D οἵ, φησί, διαγεγόνασιν ἐπὶ ἔτη ͵αϡπε´. ὧν πρῶτος, φησί, θεὸς
V. 15 Ἥφαιστος ἔτη ͵θ ἐβασίλευσε. ταῦτα τὰ ͵θ ἔτη πάλιν τινὲς τῶν καθ᾽ ἡμᾶς ἱστορικῶν ἀντὶ μηνῶν σεληνιακῶν λογισάμενοι καὶ μερίσαντες τὸ τῶν ἡμερῶν πλῆθος τῶν αὐτῶν ͵θ σεληνίων παρὰ τὰς τριακοσίας ἑξήκοντα πέντε ἡμέρας τοῦ ἐνιαυτοῦ συνῆξαν ἔτη

1. ἀμηλῶν A. 2. ἀμενῶν A. 8. ξίξουθρος A. Ξιξούθρος G. Correxi Ξίσουθρος. ὀκτωκαίδεκα m addidit ex p. 30 b. 11. βήρωσσον A. Βηρωσσὸν G. 12. Βήρωσσος] Vulgo Βηρωσσός. 13. ς´ A. ἑκκαίδεκα G. ζ´ A. ἑπτὰ G. 14. ͵αϡπε´ anonymus comparata p. 41 b. ͵αϡπε´ A. χίλια ἐννακόσια ὀγδοήκοντα πέντε G. 15. bis ͵θ A. ἐννακισχίλια G. τὰ om. A. 17. ͵θ σεληνίων A. ἐννακισχιλίων σελήνην G. 18. συνῆξαν m. συνῆξας G.

Chaldaeorum III. regnavit Amelon Saris tredecim.
Chaldaeorum IV. regnavit Amenon Saris duodecim.
Chaldaeorum V. regnavit Metalarus Saris octodecim.
Chaldaeorum VI. regnavit Daonus annis nonaginta novem.
Chaldaeorum VII. regnavit Evedorachus Saris octodecim.
Chaldaeorum VIII. regnavit Amphis Saris decem.
Chaldaeorum IX. regnavit Otiartes Saris octo.
Chaldaeorum X. regnavit Xixuthrus Saris octodecim.

## De Aegyptiorum antiquitate.

Manetho Sebennytes Beroso posterior, impurorum sacrorum in Aegypto pontifex tempore Ptolemaei Philadelphi, de sexdecim dynastiis, hoc est deis septem, qui nusquam extiterunt, contextis mendaciis ad eundem scribens: horum tempus, inquit, mille nongentos octoginta quinque annos exaequavit: quorum primus, ait, deus Vulcanus millibus novem regnavit. Istos nihilominus annos I X ∞. Historicorum nostrorum nonnulli lunarium mensium vice computantes, annorumque lunarium eorumdem ex lunae circulorum novem millibus conflatorum, per anni solaris trecentos sexaginta quinque dies multitudine distributa, annos septingentos viginti quatuor cum medio, additis etiam quatuor diebus, collegerunt: hacque via mirandum

ψκζ̆δʹ, ξένον τι δοκοῦντες κατωρθωκέναι, γελοίων δὲ μᾶλλον εἰπεῖν ἄξιον τὸ ψεῦδος τῇ ἀληθείᾳ συμβιβάζοντες.

*Πρώτη δυναστεία.* P. 19

Αἰγυπτίων αʹ ἐβασίλευσεν Ἥφαιστος ἔτη ψκδʹ ‿δʹ.
Αἰγυπτίων βʹ ἐβασίλευσεν Ἥλιος Ἡφαίστου ἔτη πʹϛʹ.
Αἰγυπτίων γʹ ἐβασίλευσεν Ἀγαθοδαίμων ἔτη νϛʹ‿ιβʹ.
Αἰγυπτίων δʹ ἐβασίλευσε Κρόνος ἔτη μʹ‿.
Αἰγυπτίων εʹ ἐβασίλευσεν Ὄσιρις καὶ Ἶσις ἔτη λέ.
Αἰγυπτίων ϛʹ ἐβασίλευσεν ** ἔτη *
Αἰγυπτίων ζʹ ἐβασίλευσε Τύφων ἔτη κθʹ. B
Αἰγυπτίων ηʹ ἐβασίλευσεν Ὧρος ἡμίθεος ἔτη κεʹ.
Αἰγυπτίων θʹ ἐβασίλευσεν Ἄρης ἡμίθεος ἔτη κγʹ.
Αἰγυπτίων ιʹ ἐβασίλευσεν Ἄνουβις ἡμίθεος ἔτη ιζʹ.
Αἰγυπτίων ιαʹ ἐβασίλευσεν Ἡρακλῆς ἡμίθεος ἔτη ιεʹ.
Αἰγυπτίων ιβʹ ἐβασίλευσεν Ἀπόλλων ἡμίθεος ἔτη κεʹ.
Αἰγυπτίων ιγʹ ἐβασίλευσεν Ἀμμών ἡμίθεος ἔτη λʹ. C
Αἰγυπτίων ιδʹ ἐβασίλευσε Τιθόης ἡμίθεος ἔτη κζʹ.

1. ψκζ̆δʹ (h. e. 727¾) A. ἑπτακόσια εἴκοσι καὶ ἥμισυ καὶ τέσσαρας (τέσσαρα m.) ἡμέρας G. 3. πρώτη δυναστεία non hoc loco, sed post Ἥφαιστος habet A. 4. ψκδʹ‿δʹ (h. e. 724¾) A. ψκδʹ ἥμισυ καὶ τέσσαρας ἡμέρας G. 5. πʹϛʹ (h. e. 80⅙) anonymus. πϛʹ G. 6. νϛʹ‿ιβ (h. e. 56 7/12) A. νϛʹ καὶ ἥμισυ καὶ δέκα ἡμέρας G. 7. μʹ‿ A. μʹ καὶ ἥμισυ G. 9. Lacunarum indicia et ἔτη om. A. 11. Ὧρος m. Ορος G. 14. ἡρακλὴς A. 15. Ἀπόλλων] ἀπολῶ A. Ἀπολλῶ G. 16. ἀμμῶν A.

quippiam se constituisse rati, risu potius excipiendum mendacium veritati superstruxisse deprehensi sunt.

Prima Dynastia.

Aegyptiorum I. regnavit Vulcanus annis 724 cum medio et 4 diebus.
Aegyptiorum II. Sol, Vulcani filius, regnavit annis 86.
Aegyptiorum III. regnavit Agathodaemon annis 56 cum medio et 10 diebus.
Aegyptiorum IV. regnavit Saturnus annis 40 cum medio.
Aegyptiorum V. regnavit Osiris et Isis annis 35.
Aegyptiorum VI. regnavit * annis *
Aegyptiorum VII. regnavit Typhon annis 29.
Aegyptiorum VIII. regnavit Orus semideus annis 25.
Aegyptiorum IX. regnavit Mars semideus annis 23.
Aegyptiorum X. regnavit Anubis semideus annis 17.
Aegyptiorum XI. regnavit Hercules semideus annis 15.
Aegyptiorum XII. regnavit Apollo semideus annis 25.
Aegyptiorum XIII. regnavit Amon semideus annis 30.
Aegyptiorum XIV. regnavit Tithoes semideus annis 27.

Αἰγυπτίων ιε' ἐβασίλευσε Σῶσος ἡμίθεος ἔτη λβ'.
Αἰγυπτίων ις' ἐβασίλευσε Ζεὺς ἡμίθεος ἔτη κ'.

## Γενέσεως κόσμου ἔτη καὶ ἐγρηγόρων παράβασις.

Τῷ χιλιοστῷ ἑκατοστῷ εἰκοστῷ δευτέρῳ ἔτει τοῦ κόσμου D ἐγέννησεν Ἰάρεδ τὸν Ἐνώχ. Ἐνὼχ γενόμενος ἐτῶν ἑκατὸν ἑξήκοντα πέντε ἐγέννησε τὸν Μαθουσάλα, τῷ χιλιοστῷ διακοσιοστῷ ὀγδοηκοστῷ ἑβδόμῳ ἔτει τοῦ κόσμου. τῷ χιλιοστῷ τεσσαρακοστῷ δευτέρῳ ἔτει τοῦ κόσμου Σὴθ ἀπέθανε. τῷ χιλιοστῷ ἑκατοστῷ ἑβδομηκοστῷ ἑβδόμῳ ἔτει τοῦ κόσμου οἱ ἐγρήγοροι φανερῶς ἐμοίχευσαν.

## Ἀφρικανοῦ περὶ τῶν ἐγρηγόρων.

Πλήθους ἀνθρώπων γενομένου ἐπὶ τῆς γῆς ἄγγελοι τοῦ οὐρανοῦ θυγατράσιν ἀνθρώπων συνῆλθον. ἐν ἐνίοις ἀντιγράφοις εὗρον, οἱ υἱοὶ τοῦ θεοῦ. μυθεύεται δέ, ὡς οἶμαι, ἀπὸ τοῦ P. 20 Σὴθ, ὑπὸ τοῦ πνεύματος οἱ υἱοὶ θεοῦ προσαγορεύονται, διὰ τοὺς ἀπ' αὐτοῦ γενεαλογουμένους δικαίους τε καὶ πατριάρχας ἄχρι τοῦ σωτῆρος. τοὺς δ' ἀπὸ Κάϊν ἀνθρώπων ἀποκαλεῖ V. 16 σποράν, ὡς οὐδέ τι θεῖον ἐσχηκότας διὰ πονηρίαν γένους καὶ διὰ τὸ τῆς φύσεως ἀνόμοιον, ἐπιμιχθέντων αὐτῶν, τὴν ἀγανάκτη-

5. Ἰάρεδ] Genes. V, 18. 9. ἑκατοστῷ addidi ex A. Vid. ad p. 11 b. 12. Πλήθους m. Πλῆθος G. 14. ὡς οἶμαι ὑπὸ τοῦ πνεύματος, ὅτι οἱ υἱοὶ θεοῦ ἀπὸ τοῦ Σὴθ προσαγορεύονται m. 17. ἀποκαλεῖ m. ἀποκαλεῖν G. 19. τὸ addidi ex A. εἰς ἀγανάκτησιν κινῆσαι m.

Aegyptiorum xv. regnavit Sosus semideus annis 32.
Aegyptiorum xvi. regnavit Iupiter annis 20.

## Creationis mundi anni et egregororum transgressio.

Millesimo centesimo vicesimo secundo mundi anno Iared genuit Enoch. Enoch centum sexaginta quinque annos natus, genuit Mathusala millesimo ducentesimo octogesimo septimo mundi anno. At millesimo quadragesimo secundo mundi anno Seth obiit. Millesimo septuagesimo septimo mundi anno egregori palam adulterati sunt.

## Ex Africano de egregoris.

Aucta super terram hominum multitudine angeli caeli filiabus hominum commixti sunt: in quibusdam exemplaribus legi, „filii dei." Indicat, ut reor, spiritus sanctus a Seth patre dei filios vocari, ob enatos ex eius stirpe usque ad salvatorem iustos et patriarchas: Cain vero progeniem, ceu nil divinum referentem, ob generis pravitatem ac confusae naturae dissimilitudinem, hominum semen appellat: eisdemque indignationis suae signa deum inflixisse narrat. At si de angelis sermonem fieri sentiamus, magis

σιν ποιήσασθαι τὸν θεόν. εἰ δὲ ἐπ' ἀγγέλων νοοῖτο ἔχειν τούτους, τῶν περὶ μαγείας καὶ γοητείας, ἔτι δὲ ἀριθμῶν κινήσεως, τῶν μετεώρων ταῖς γυναιξὶ τὴν γνῶσιν παραδεδωκέναι, ἀφ' ὧν ἐποιήσαντο παῖδας τοὺς γίγαντας, δι' οὓς τῆς κακίας ἐπιγενομένης ἔγνω πᾶν ἀφανίσαι ζώων γένος ὁ θεὸς ἐν κατακλυσμῷ ἄπιστον.

Τῷ χιλιοστῷ διακοσιοστῷ ὀγδοηκοστῷ ἑβδόμῳ ἔτει ἐγέννησεν B Ἐνὼχ τὸν Μαθουσάλα. Μαθουσάλα γενόμενος ἑκατὸν ἑξήκοντα ἑπτὰ ἐτῶν ἐγέννησε τὸν Λάμεχ.

Τῷ χιλιοστῷ τετρακοσιοστῷ πεντηκοστῷ τετάρτῳ ἔτει τοῦ κόσμου, τινὰ δὲ τῶν ἀντιγράφων τῷ ἑκατοστῷ ὀγδοηκοστῷ ἑβδόμῳ ἔτει αὐτοῦ Μαθουσάλα φέρουσι τὴν γέννησιν Λάμεχ· οἷς καὶ ὁ Ἀφρικανὸς ἀκολουθήσας τῷ δισχιλιοστῷ διακοσιοστῷ ἑξηκοστῷ δευτέρῳ ἔτει τοῦ κόσμου τὸν ἐπὶ Νῶε καταλυσμὸν ἐστοιχείωσεν, ὅπερ οὐ δοκεῖ ἡμῖν ὑγιῶς ἔχειν. δοκεῖ δέ μοι ὁ Ἀφρικανὸς τῷ ͵βσξβ' ἔτει τοῦ κόσμου τὸν κατακλυσμὸν στοιχειῶσαι διὰ τὸ τοὺς ἐννακοσίους ἑξήκοντα ἐννέα χρόνους τῆς ζωῆς C Μαθουσάλα ἀρχομένους ἀπὸ τοῦ ͵ασπζ' ἔτους τοῦ κόσμου λήγειν εἰς τὸ ͵βσνς' ἔτος τοῦ κόσμου ἐντὸς τῶν ͵βσξβ' ἐτῶν.

Ὁ δὲ Εὐσέβιος περὶ τοῦ Μαθουσάλα φησὶν ὅτι τοῦτον ὑπερβῆναι τὸν κατακλυσμὸν ὁ τῆς ζωῆς αὐτοῦ ἀριθμὸς παρίστησιν. εἴδομεν δέ τινα τῶν ἀντιγράφων ἔχειν, ἐπέζησε δὲ ἔτη ψπβ'.

2. τῶν A. τοὺς G. ἐσχολακότας συνιέναι χρὴ οὓς τῶν ἄστρων κινήσεως, καὶ τῶν μετεώρων τὴν γνῶσιν ταῖς γυναιξὶ παραδεδωκέναι λέγει, ἀφ' ὧν m. ἔτι A. ἔτει G. 4. ἐποιήσαντο A. ἐποίησαν τοὺς G. 8. ὁ Ἐνὼχ G. ὁ om. A. 18. ͵ασπξ' A. 21. ὁ τῆς ζωῆς — οὐκ εἶδε τὸν κατακλυσμόν addidi ex margine A. Vide Eusebium p. 54. 56. ed. Mediol. et Georgium infra p. 114 a.

et praestigiis deditos accipi necesse est, qui astrorum et numerorum motum, rerumque sublimium, vel meteororum notitiam mulieribus tradiderunt, quorum congressu conceperunt illae Gigantes, a quibus scelerum omnium colluvie in universum orbem propagata, perfidum omne viventium genus diluvio perdere deus decrevit.

Millesimo ducentesimo octogesimo septimo anno Enoch genuit Mathusala. Mathusala centum sexaginta septem annos natus genuit Lamech.

Millesimo quadringentesimo quinquagesimo quarto mundi anno, exemplarium vero quaedam in centesimum octogesimum septimum ipsius Mathusala Lamech ortum referunt, quibus Africanus assentitur. Bis millesimo ducentesimo sexagesimo secundo mundi anno Noeum diluvium adscripsit Africanus, cuius sanam esse sententiam non arbitramur. Eo vero 2262 mundi anno diluvium reponere videtur, quod nongenti sexaginta novem vitae Mathusala anni, anno mundi 1287 ducentes initium, finem vero anno mundi 2256 sortiti, intra 2262 annorum limites conclusi videantur.

Eusebius autem Mathusala annis 14 diluvium superasse scribit. Et

κατὰ τόνδε τρόπον οὐκ εἶδε τὸν κατακλυσμόν. καὶ ταῦτα μὲν ὁ Εὐσέβιος· ὅπερ ἐάν τις ἀληθὲς εἶναι δῷ, εὑρεθήσεται ὁ Μαθουσάλα ἐννακοσίων τεσσαράκοντα ἐννέα ἐτῶν τελευτήσας, καὶ ἔσται ὁ Ἰάρεδ ὁ τούτου πάππος πολυχρονιώτερος αὐτοῦ ζήσας ἔτη ἐννακόσια ἑξήκοντα δύο. ὁμολογούμενον δέ ἐστι πᾶσιν ὅτι πάντων ἀνθρώπων μακροβιώτατος ὢν ὁ Μαθουσάλα καὶ ὅτι ἐν D τῷ κατακλυσμῷ τέθνηκε. διὸ μᾶλλον ἄν τις τῷ ἑκατοστῷ πεντηκοστῷ τρίτῳ ἔτει τοῦ Ἐνὼχ ὑπολάβοι τὸν Μαθουσάλα γεννηθῆναι, τοῦτ᾽ ἔστι τῷ χιλιοστῷ διακοσιοστῷ ἑβδομηκοστῷ τρίτῳ ἔτει τοῦ κόσμου. τούτοις γὰρ προστιθέμενα τὰ ἐννακόσια ἑξήκοντα ἐννέα ἔτη τῆς τοῦ Μαθουσάλα ζωῆς ποιεῖ ͵βσμβʹ, οἷς καὶ ὁ κατακλυσμὸς συντρέχει, καθ᾽ ὃν τέθνηκεν ὁ Μαθουσάλα.

Τῷ χιλιοστῷ τριακοστῷ τεσσαρακοστῷ ἔτει Ἐνὼς ἀπέθανεν.

Τῷ ͵αυκγʹ ἔτει ἀπεκαλύφθη τῷ Ἐνὼχ τὰ περὶ τοῦ κατακλυσμοῦ.

P. 21 Τῷ ͵αυληʹ ἔτει ἔλαβε Μαθουσάλα γυναῖκα.

Τῷ ͵αυνδʹ Λάμεχ ἐγεννήθη τῷ Μαθουσάλα.

Λάμεχ γενόμενος ἐτῶν ρπηʹ γεννᾷ τὸν Νῶε, τῷ ͵αχμβʹ ἔτει τοῦ κόσμου. ἔζησε δὲ Λάμεχ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Νῶε ἔτη φξεʹ καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι αὐτοῦ ἔτη ψνγʹ. καὶ ἀπέθανε τῷ ͵βσζʹ ἔτει τοῦ κόσμου πρὸ λεʹ ἐτῶν τοῦ κατακλυσμοῦ. οὗτος ὀλιγοχρονιώτατος πάντων τῶν πρὸ τοῦ κατακλυσμοῦ γέγονε, πλὴν Ἄβελ τοῦ δικαίου. καὶ πρῶτος τελευτᾷ πρὸ τοῦ

13. ἑνῶς A. 19. ἔτει add. A. λαμεχ A. ὁ Λάμεχ G.

haec quidem Eusebius: quae si quis vera concesserit, nongentorum quadraginta novem annorum vita functus comperietur Mathusala, eiusque avus Iared, cuius aetas nongentos sexaginta duos annos attigit, longiorem eo vitam duxisse arguetur: cum tamen diutissimam prae reliquis hominibus Mathusala peregisse et diluvio periisse, apud omnes pro confesso habeatur. Rectius itaque centesimo quinquagesimo tertio Enoch anno, hoc est mundi millesimo ducentesimo septuagesimo tertio Mathusala lucem primum adspexisse alius suspicabitur: his namque nongenti sexaginta novem vitae Mathusala coniuncti, bis mille ducentos quadraginta duos reddunt, in quos diluvium, quo Mathusala sublatus est, incurrit.

Anno millesimo trecentesimo quadragesimo Enos mortuus est.

Anno millesimo quadringentesimo vicesimo tertio accepit Enoch de diluvio revelationem.

Anno millesimo quadringentesimo tricesimo octavo Mathusala uxorem duxit.

Anno 1454 Lamech genitus est Mathusalae.

Lamech annorum 188. mundi 1642. generat Noe. Vixit Lamech a Noe nato annis 565. fueruntque dies eius cuncti 753. annorum: mundi 2207. ante diluvium 35. annis mortem oppetiit. Hic, si iustum Abel exceperis, brevissimae omnium ante diluvium vitae extitit: et proprio patre Mathusala

ἰδίου πατρὸς Μαθουσάλα. ὁ γὰρ Μαθουσάλα ἐν τῷ κατακλυσμῷ τέθνηκε, περὶ οὗ Ἀφρικανός. οὗτος ἁπάντων πλείονα χρό- B
νον βιοῖ, τῶν τε πρὸ αὐτοῦ καὶ τῶν ἑξῆς εἰς ἡμᾶς, εἰς ἔτη τὰ σύμπαντα ἐννακόσια ἑξήκοντα ἐννέα. τάχα τι σημαίνει τὸ πολυχρόνιον αὐτοῦ διὰ τὴν ὑπερκόσμιον ὀγδοάδα κυριακὴν ἡμέραν. V. 17
ὄγδοος γὰρ ἀπὸ τοῦ πρώτου τυγχάνει. ὃ δ' ὑστερεῖ, τοῦτο πρὸς ἀναπλήρωσιν τῆς χιλιάδος, πρῶτον ὑπάρχον πλήρωμα, ἀνεπλήρωσεν ὁ σωτήρ. εἶτά φησιν, εἰσὶ τρεῖς ὁμωνυμίαι πως ἀπὸ Κάϊν τοῖς ἀπὸ Σήθ, ὡς Ἐνὼχ καὶ Μαθουσάλα καὶ Λάμεχ.

Τῷ ͵αυπη' ἔτει Ἐνὼχ μετετέθη ἐν τῷ παραδείσῳ, καθὼς καὶ ἡ θεία φάσκει γραφή, ὅτι ἐγένοντο πᾶσαι αἱ ἡμέραι Ἐνὼχ ἔτη τξε'. καὶ εὐηρέστησεν Ἐνὼχ τῷ θεῷ καὶ οὐχ ηὑρίσκετο, ὅτι C
μετέθηκεν αὐτὸν ὁ θεός.

Τῷ ͵αφλε' ἔτει Κάϊν ἀπέθανεν.

Τῷ ͵αχλ' ἔτει Λάμεχ ἔλαβε γυναῖκα.

Τῷ ͵αχμβ' ἔτει Νῶε ἐγεννήθη τῷ Λάμεχ.

Τῷ ͵αχϟ' ἔτει Μαλελεὴλ ἀπέθανεν.

Τῷ ͵αϡκε' ἔτει Ἰάρεδ ἀπέθανεν.

Τῷ ͵βρκα' ἔτει τοῦ κόσμου ἐγρηγόρων ἀπόφασις.

Τῷ ͵βρκθ' ἔτει Νῶε ἔλαβε γυναῖκα.

Τῷ ͵βρμ ἔτει ἐντολὴ τοῦ θεοῦ πρὸς Νῶε περὶ κατασκευῆς τῆς κιβωτοῦ.

1. Vulgo ὁ γὰρ Μαθουσάλας. 6. τοῦτο] τούτῳ m. 7. ὑπάρχον A. ὑπάρχων G. 11. γραφῇ] Genes. V, 23. 13. μετετέθηκεν A. 15. ͵αχλθ' m. Addidi ἔτει. 16. ἔτει add. A. 21. Lemma in marg. A Πότε ἔλαβεν ὁ Νῶε ἐντολὴν τοῦ λαβεῖν γυναῖκα, καὶ περὶ κατασκευῆς τῆς κιβωτοῦ.

prior lucem deseruit. Mathusala namque diluvio periit, de quo Africanus. Hic prae omnibus cum maioribus, tum posterioribus longiorem vitam annis nimirum nongentis sexaginta novem duxit. Forsan eius vitae diuturnitas non nihil menti obiicit, quod caelestem octonarium diem, videlicet dominicum spectat. A primo siquidem ille numeratur octavus: prima vero millenarii perfectio (31 intellige) quam addidit salvator, ad complementum illi deficit. Tum subiungit. Tres sunt quaedam filiorum Cain filiis Seth appellationes communes: Enoch, Mathusala et Lamech.

Anno 1488 Enoch, prout sacra scriptura testatur, translatus est in paradisum. Cuncti dies Enoch fuerunt annorum 365 et placuit Enoch deo, et non apparuit, quia tulit eum deus.

Anno 1535 Cain mortuus est.
Anno 1639 Lamech duxit uxorem.
Anno 1642 Noe genitus est Lamech.
Anno 1690 Maleleel obiit.
Anno 1925 Iared mortuus est.
Anno mundi 2121 lata est in egregoros sententia.
Anno 2129 Noe accepit uxorem.
Anno 2140 mandatum dei ad Noe de arca construenda.

Τῷ ‚βρμα' ἔτει τοῦ κόσμου Νῶε ἦν ἐτῶν φ'. καὶ ἐγέννησε
D τρεῖς υἱούς. τῷ αὐτῷ ἔτει Σὴμ ἐγεννήθη τῷ Νῶε.

Τῷ ‚βρμδ' ἔτει Χὰμ ἐγεννήθη.

Τῷ ‚βρμζ' ἔτει Ἰάφεθ ἐγεννήθη. εἶτά φησιν ἡ γραφὴ „καὶ εἶπε κύριος ὁ θεός, οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις εἰς τὸν αἰῶνα, διὰ τὸ εἶναι αὐτοὺς σάρκας. ἔσονται δὲ αἱ ἡμέραι αὐτῶν ἑκατὸν εἴκοσιν ἔτη."

## Ἀφρικανοῦ.

Ἔγνω πᾶν ὁ θεὸς ἀφανίσαι ζώων γένος ἐν κατακλυσμῷ, ἀπειλήσας ρκ' ἔτη οὐχ ὑπερβήσεσθαι τοὺς ἀνθρώπους. μηδὲ νομι-
P. 22 ζέσθω ζήτημα διὰ τὸ πλείονα χρόνον τινὰς ὕστερον βιῶναι· τὸ γὰρ διάστημα τοῦ χρόνου γέγονεν ἑκατὸν ἔτη μέχρι τοῦ κατακλυσμοῦ κατα τῶν ἁμαρτωλῶν τῶν τότε· ἦσαν γὰρ εἰκοσαετεῖς. τῷ Νῶε διὰ δικαιοσύνην εὐαρεστήσαντι κιβωτὸν ὑπέθετο κατασκευάσαι θεός· καὶ γενομένης εἰσῆλθον εἰς αὐτὴν αὐτός τε Νῶε καὶ οἱ υἱοί, ἡ γυνὴ καὶ αἱ νύμφαι, καὶ ἀπὸ παντὸς ζώου ἀπαρχὴ εἰς διαμονὴν τοῦ γένους. ἦν δὲ ἐτῶν ἑξακοσίων ὁ Νῶε, ὅτε ὁ κατακλυσμὸς ἐγένετο. ὡς δὲ ἔληξε τὸ ὕδωρ, ἡ κιβωτὸς ἱδρύθη ἐπὶ τὰ ὄρη Ἀραράτ,
B ἅτινα ἴσμεν ἐν Παρθίᾳ, τινὲς δὲ ἐν Κελαιναῖς τῆς Φρυγίας εἶναί

4. ἔτει add. A. γραφὴ] Genes. VI, 3. 8. Ἀφρικανοῦ A. Ἀφρικανός G. 12. σήμαινε (corr. σημείωσαι) ἑρμηνείαν περὶ τῶν ρκ' ἐτῶν margo A. 18. Ποῦ ἱδρύθη καὶ κιβωτός margo A. ἱδρύθη] ἱδρύνθη A. 19. κελαίναις A.

Anno mundi bis millesimo centesimo quadragesimo primo numerabat Noe aetatis suae quingentos. Hic liberos tres suscepit. Eodem anno Sem natus est Noe.

Anno bis millesimo centesimo quadragesimo quarto Cham natus est.

Anno bis millesimo centesimo quadragesimo septimo Iaphet ortus est. Tum scriptura subdit: et dixit dominus deus: „non permanebit spiritus meus in hominibus istis in aeternum, quia carnes sunt: eruntque dies illorum centum vigiati annorum".

## Africanus.

Universum animantium genus aquis diluvii consummare decrevit deus, vicesimum et centesimum annum homines non superaturos minatus. Nullus porro dubius haesitet, aut quaestionem anxius moveat, spatium hoc vitae quosdam praetergressos contemplatus. Aetatis quippe, durationisque vitae spatium post solos centum annos diluvio instante terminandum, peccatoribus vicesimum iam annum agentibus, in scelerum poenam, velut lata sententia fuit praefixum. Noe vero ob singularem iustitiam sibi gratum arcam construere iussit deus: eaque absoluta ingressi sunt in eam ipse Noe, et filii, uxor, et nurus, et selectae quaedam ad generis eorum cuiusvis conservandi fiduciam animantium primitiae. Imminente porro diluvio annos vitae sexcentos Noe iam attigerat: aquis vero subsidentibus, in montibus Ararat, quos esse Parthiae novimus, quidam licet Celaenis, vel in nigra Phry-

φασιν· εἶδον δὲ τὸν τόπον ἑκάτερον. ἐπεκράτησε δὲ ὁ κατακλυσμὸς ἐνιαυτόν· καὶ τότε ἐξηράνθη ἡ γῆ. οἱ δὲ ἐξῆλθον τῆς κιβωτοῦ κατὰ συζυγίας, ὡς ἔστιν εὑρεῖν, καὶ οὐχ ὃν εἰσῆλθον τρόπον κατὰ γένη, εὐλογοῦνταί τε πρὸς τοῦ θεοῦ. τούτων μὲν οὖν ἕκαστον τῶν διαφερόντων τι σημαίνει.

Τῷ ͵βσς´ ἔτει τοῦ κόσμου Λάμεχ ἐτελεύτησεν.

Τῷ ͵βσκη´ ἔτει Σὴμ ἔλαβε γυναῖκα ἑαυτῷ.

Τῷ ͵βσλγ´ Χὰμ ἔλαβεν ἑαυτῷ γυναῖκα. C

Τῷ ͵βσλς´ Μαθουσάλα ἐτελεύτησεν.

Τῷ ͵βσλζ´ Ἰάφεθ ἔλαβεν ἑαυτῷ γυναῖκα. ἡ κιβωτὸς ἐπλη- V. 18
ρώθη τῷ ͵βσμα´ ἔτει τοῦ κόσμου.

Τούτῳ τῷ ͵βσμα´ ἔτει ὄντι ἀπὸ τοῦ Ἀδὰμ καὶ τῆς ὅλης
κοσμογονίας, φ´ δὲ καὶ ϟθ´ τῆς ζωῆς Νῶε τοῦ δικαίου, ἐτελειώθη
ἡ κιβωτὸς ἐν ὅλοις ἔτεσιν ἑκατὸν κατασκευασθεῖσα ὑπ᾽ αὐτοῦ
θείῳ προστάγματι, περὶ ἧς μόνος πρὸ πάντων ἀνθρώπων ὁ θεό-
πτης Μωϋσῆς ἐκ θεοῦ μυηθεὶς ἀκριβῶς ἔγραψε τήν τε ἡμέραν
τοῦ μηνὸς καὶ ἐνιαυτοῦ καθ᾽ ὃν εἰσελθὼν Νῶε ἐν αὐτῇ πανοικὶ,
σὺν πάσῃ γενέσει τῶν ζώων, μόνος σὺν τοῖς μετ᾽ αὐτοῦ διεσώ-
θη, ὡς μόνος εὐαρεστῶν τῷ θεῷ ἐν τῇ γενεᾷ αὐτοῦ· τοῦτ᾽ ἔστι D
τῷ ͵βσμβ´ ἔτει τοῦ κόσμου, χ´ δὲ τῆς ζωῆς Νῶε, τῇ κζ´ τοῦ δευ-
τέρου μηνὸς Ἰαρ παρ᾽ Ἑβραίοις καλουμένου, παρὰ δὲ Αἰγυπτί-

1. φασιν] Vulgo φησιν. 2. ἐξῆλθον A. ἐξελθόντες G. 16. Μωϋσῆς] Vulgo Μωσῆς. ἐκ θεοῦ μυηθεὶς A. ἐνθυμηθεὶς G. 18. μετ᾽ αὐτοῦ A. μεθ᾽ αὐτοῦ G. 19. γενεᾷ] γενέᾳ A. γενέσει G. Vide Genes. VI, 9. 21. παρὰ δὲ A. παρ᾽ G.

gia contendant exstare, (locus uterque mihi de visu notus est), arca constitit. Aquarum haec inundatio anno integro stetit, ac demum exsiccata est terra. Combinata demum mas et femina, prout reperiri contigit, non ordine quo iuxta genus distincta fuerant ingressa, ex arca prodierunt animantia, quae subinde a deo prospera benedictionum accessione cumulantur: et eorum quidem, quae nobis conducunt, non nihil ista significant.

Anno mundi 2206 Lamech defunctus est.

Anno 2228 Sem uxorem sibi copulavit.

Anno 2233 Cham pariter uxorem duxit.

Anno 2236 Mathusala e vivis excessit.

Anno 2237 Iaphet coniugem accepit, et absoluta est arca anno mundi 2241.

Currente hoc ab Adam et a mundi incunabulis 2241 anno, iusti Noe vitae 599. integris in ea dei iussu construenda evolutis centum annis, consummata est arca, de qua solus prae cunctis tractatam instituens dei contemplator Moses mensis et anni diem, quo Noe cum tota familia et omnium animantium speciebus in eam ingressus, ceu solus in generatione sua deo gratus servatus est, diligentissime scripto commendavit; hoc est mundi 2242 anno, vitae Noe 600 secundi mensis Iar Hebraeis vocati die

οις Παχὼν κε', ἤτοι τοῦ κατὰ Ῥωμαίους Μαΐου κ' ἡμέρᾳ, πρώτῃ τῆς ἑβδομάδος, ὥς τισιν ἔδοξε, σελήνης δὲ κζ'. ἐν ᾗ ἔκλεισεν ὁ θεὸς τὴν κιβωτὸν ἔξωθεν, ὡς τὰ ἱερὰ λόγια φάσκει, καὶ ἀνεῴχθησαν οἱ καταρράκται τοῦ οὐρανοῦ καὶ αἱ πηγαὶ τῆς ἀβύσσου ἐρράγησαν ἐπὶ ἡμέρας τεσσαράκοντα, ἤγουν μέχρι τῆς πέμπτης τοῦ τετάρτου μηνὸς καθ' Ἑβραίους Θαμνεί, τῷ Ἐπιφεὶ κατ' Αἰγυπτίους μηνὶ ἑνδεκάτῳ, ἑβδόμῳ δὲ παρὰ Ῥωμαίοις, τῷ καὶ
P. 23 Ἰουλίῳ, πέμπτῃ φασὶν ἡμέρᾳ τῆς ἑβδομάδος, κατὰ δὲ σελήνην ἑβδόμῃ· ὃ καὶ παραδοξότατον ἦν, ἐν ἀκμῇ τῆς θερινῆς ὥρας τοιούτους ὄμβρους ὑπερφυῶς ἐπιρραγῆναι τῷ κόσμῳ δι' ὑπερβολὴν ἁμαρτίας. πνεύματος δὲ τῇ γῇ κατὰ θείαν ἐπιπνεύσαντος πρόσταξιν μετὰ τὰς ἑκατὸν πεντήκοντα ἡμέρας ἤρξατο ἐλαττοῦσθαι τὸ ὕδωρ ἀπὸ εἰκοστῆς τετάρτης τοῦ παρ' Ἑβραίοις ἑβδόμου μηνὸς Θεελείφ, δευτέρου δὲ κατ' Αἰγυπτίους Φαωφὶ ἐννεα-
B καιδεκάτῃ, ἤτοι κατὰ Ῥωμαίους δεκάτῳ μηνὶ Ὀκτωβρίῳ, τρίτῃ τῆς ἑβδομάδος ἡμέρᾳ, σελήνης, ὥς φασι, νεομηνίᾳ, ἕως ια' Ἑβραϊκοῦ μηνὸς Σαβὰτ τῆς νεομηνίας, ἤτοι κε' τοῦ Τυβίτ, τοῦ καὶ Ἰανουαρίου μηνὸς πρώτου κατὰ Ῥωμαίους, ἡμέρᾳ δευτέρᾳ τῆς ἑβδομάδος, σελήνης δεκάτῃ, ἐκάθισεν ἡ κιβωτὸς ἐπὶ τὰ ὄρη τὰ Ἀραράτ, τοῦτ' ἔστι τῆς Ἀρμενίας. καὶ ὤφθησαν αἱ κεφαλαὶ τῶν ὀρέων, καὶ μεθ' ἡμέρας μ' ἐξαπέστειλε Νῶε διὰ θυρίδος τῆς κιβωτοῦ τὸν κόρακα ἰδεῖν εἰ κεκόπακε τὸ ὕδωρ, τῇ ἑνδε-

1. ῥωμαίοις (sic) A. 2. τῆς add. A. 3. λόγια] Genes. VII. 6. κατ' ἑβραίοις (sic) θαμνεῖ A. ἐπιφεῖ A. 7. ἑβδόμῳ — Ἰουλίῳ] ἕκτῳ — Ιουνίῳ m. 14. κατ' Αἰγυπτίους] κατ' αἰγυπτίοις A. τοῖς Αἰγυπτίοις G. φαωφῖ A. 17. κε'] κζ' m. τοῦ καὶ A. τοῦτ' ἔστι G.

27. Aegyptiorum Pachon 25. Maii Romanorum 20. primo hebdomados die, ut nonnullis placitum est, lunae 27. quo, sacro testante sermone, de foris arcam deus conclusit, et caeli catarractae sunt apertae, et per quadraginta dies abyssi fontes irrupuerunt usque ad quarti mensis Thamnei Hebraeis vocati diem sextum, Epiphi Aegyptiorum mense undecimo, Ramanorum sexto, qui et Iulius dictus est, quinto, ut aiunt, hebdomados, septimo vero lunae die: quodque mirum dictu et creditu, vigente ipsa messis tempestate, tales ac tam copiosi imbres praeter naturae cursum, humanorum tamen criminum excessu provocati, orbem inundaverunt universum. Diebus vero centum et quinquaginta exactis, vento, dei iussu terram perflante, Theeliph septimi Hebraeorum mensis vicesimo quarto, Phaophi Aegyptiorum septimi decimo nono, id est, Romanorum Octobri mense decimo, tertio hebdomados die, luna, prout ferunt, renovata; usque ad Sabat undecimi mensis Hebraici novilunium alterum, Tybit Aegyptiaci vicesimo septimo, Ianuario nempe Romanorum mense primo, secundo hebdomados die, lunae 10, in montibus Ararat, qui sunt Armeniae, arca consedit. Tunc primum conspecta sunt montium cacumina: et quadraginta diebus elapsis emisit Noe per arcae fenestram corvum, num

κάτῃ τοῦ δωδεκάτου μηνὸς Ἀδὰρ, πέμπτῃ τοῦ Φαμενὼθ, ἐν ἀρχῇ τοῦ Μαρτίου κατὰ Ῥωμαίους τρίτου μηνὸς, ἡμέρᾳ τῆς ἑβδομάδος ἑβδόμῃ, κατὰ δὲ σελήνην εἰκοστῇ· καὶ ἀπελθὼν οὐχ ὑπέστρεψεν ὁ κόραξ. καὶ μεθ' ἡμέρας ἑπτὰ ἀπέστειλε τὴν περιστερὰν, καὶ μὴ εὑροῦσα ἀνάπαυσιν ὑπέστρεψε πρὸς αὐτόν· καὶ μετ' ἄλλας ἑπτὰ ἡμέρας, τῇ ὀκτωκαιδεκάτῃ τοῦ μηνὸς Ἀδὰρ, C δωδεκάτῃ τοῦ Φαμενὼθ, Μαρτίου δὲ αὖθις ἀπέστειλε αὐτὴν ἐκ τῆς κιβωτοῦ, καὶ ὑπέστρεψε πρὸς ἑσπέραν ἔχουσα φύλλον ἐλαίας ἐν τῷ στόματι ἐν ἡμέρᾳ ἑβδομάδος ἑβδόμῃ, σελήνης δὲ εἰκοστῇ ἑβδόμῃ. μετὰ ἄλλας ἑπτὰ ἡμέρας πάλιν ἀπέλυσε τὴν περιστερὰν τῇ εἰκοστῇ πέμπτῃ τοῦ αὐτοῦ δωδεκάτου παρ' Ἑβραίοις μηνὸς Ἀδὰρ, ἤτοι τῇ εἰκοστῇ πρώτῃ τοῦ Φαμενὼθ, Μαρτίου δὲ δεκάτῃ καὶ ὀγδόῃ, καὶ οὐ προσέθετο τοῦ ἐπιστρέψαι.

Κατὰ δὲ τὴν ἀρχὴν τοῦ κοσμικοῦ ‚βσμγ' ἔτους, τῷ ἑξακοσιοστῷ πρώτῳ ἔτει τῆς ζωῆς Νῶε, τῇ νεομηνίᾳ τοῦ πρώτου μηνὸς Νισὰν, ἤτοι τῇ εἰκοστῇ ἐνάτῃ τοῦ κατ' Αἰγυπτίους ἑβδόμου μη- D νὸς Φαμενὼθ, Μαρτίου εἰκοστῇ πέμπτῃ, ἐν ἡμέρᾳ πρώτῃ τῆς ἑβδομάδος, κατὰ σελήνην δωδεκάτῃ, ἐξέλιπε τὸ ὕδωρ ἀπὸ τῆς γῆς· ἐν δὲ τῷ δευτέρῳ μηνὶ Ἰὰρ εἰκοστῇ ἑβδόμῃ, ἤτοι Παχὼν εἰκοστῇ πέμπτῃ, ἐξηράνθη ἡ γῆ· καὶ ἐξῆλθεν ἐκ τῆς κιβωτοῦ Νῶε καὶ οἱ σὺν αὐτῷ, ἐν ἡμέρᾳ πρώτῃ τῆς ἑβδομάδος. τούτων V. 19

1. 6. 12. Ἀδὰρ] ἄδαρ A. 1. πέμπτῃ] ἑβδόμῃ m. φαμενῶθ A. constanter. 3. σελήνην m. σελήνης G. 6. μετ'] μετὰ A. 7. δωδεκάτῃ] ιδ' m. Μαρτίου δὲ] ι' add. m. 10. μετὰ δὲ G. δὲ om. A. 13. ὀγδόῃ] ἑβδόμῃ m. 15. Νισὰν m. νισσᾶν A. Νισσὰν G. 19. Ἰὰρ] ἄρ A. παχῶν A. 21. πρώτῃ add. A.

cessassent aquae exploraturus, duodecimi mensis Adar undecimo, Phamenoth septimo, sub Martii Romanorum tertii mensis exordium, hebdomados septimo die, lunae vicesimo: et evolans corvus, citius revolavit. Diebus aliis septem emensis columbam emisit, nec inventa quietis sede retro cessit. Tum post alios septem dies mensis Adar octavo et decimo, Phamenoth decimo quarto, Martii vero decimo, rursum eandem ex arca emisit, et olivae ramum rostro deferens sub vesperam reversa est ad arcam, septimo hebdomados die, lunae vicesimo septimo. Septem demum exspectatis diebus, duodecimi eiusdem Hebraeorum mensis Adar die vicesimo quinto, Phamenoth videlicet vicesimo primo, Martii vero decimo septimo, columbam iterum liberavit, quae pariter ac prius non est regressa.

Sub mundialis vero anni 2243 principio, vitae Noe sexcentesimo primo, primi mensis Nisan Kalendis, id est Phamenoth septimi Aegyptiorum mensis vicesimo nono, Martii vicesimo quinto, hebdomados die primo, lunae duodecimo, e terrae superficie aqua defecit; secundi vero mensis Iar vicesimo septimo, sive Pachon vicesimo quinto, exsiccata est terra: Noe vero et qui cum eo ex arca egressi sunt hebdomados die, id est pri-

ἡμῖν ἐκ τῶν διὰ Μωϋσέως θεοπνεύστων γραφῶν κατειλημμένων
περιττὸν ἂν εἴη προσέχειν Χαλδαϊκαῖς καὶ Αἰγυπτιακαῖς ἱστορίαις
τοὺς ἀδιστάκτως πιστεύοντας ὅτι ὁ κοσμικὸς ἐπὶ Νῶε κατακλυσμὸς
γέγονε τῷ ͵βσμβʹ ἔτει τοῦ κόσμου. αὗται γὰρ χρόνων ἀπείρους
P. 24 εἰσάγουσαι μυριάδας πρὸς ἀνατροπὴν τῆς ἀληθείας πάντα κατα-
σκευάζουσιν, εἰ καὶ δοκοῦσιν ἐν μέρει περί τε κατακλυσμοῦ καὶ
γιγάντων, καὶ αὐτοῦ Νῶε, τοῦ καὶ Ξισούθρου λεγομένου παρ᾽
αὐτοῖς, συμφωνεῖν τῇ θεοπνεύστῳ γραφῇ, ἐξ ὧν καὶ ἐσφετερίσαντο
πᾶν νόημα χρηστὸν οἱ ταῦτα συντάξαντες. ἀλλ᾽ ἐπειδὰν καὶ τὰ
δηλητήρια ἀγνοούμενα θάνατον οἶδε πολλάκις τοῖς ἀπείροις αὐτῶν
μετέχουσι προξενεῖν, ἀναγκαῖον ἡγοῦμαι μικρὰς χρήσεις παραθέ-
σθαι ἐκ παραλλήλου τῶν ἐγκειμένων ἡμῖν ἀπὸ τῶν θείων γρα-
φῶν, οὐ πρὸς πίστωσιν αὐτῶν, μὴ γένοιτο· πρὸς ἔλεγχον δὲ
B τῆς ἐκείνων ψευδηγορίας. πρὸ δὲ τούτων ἡ περὶ τῶν ἐγρηγόρων
ἀκόλουθος ἱστορία ἐκ τοῦ πρώτου λόγου Ἐνὼχ ὡς καὶ συγγενε-
στέρα ταῖς ἡμετέραις γραφαῖς ἐκτεθήσεται, εἰ καὶ ἀπόκρυφός
ἐστι καὶ ἔν τισιν ἀμφίβολος, ἔχουσά πως ὧδε.

## *ΕΚ ΤΟΥ ΛΟΓΟΥ ΕΝΩΧ.*

### *Τὰ λοιπὰ περὶ ἐγρηγόρων.*

*Τότε ἐβόησαν οἱ ἄνθρωποι εἰς τὸν οὐρανὸν, λέγοντες, εἰσα-*

1. ἐκ τῶν add. A. 5. τῆς add. A. 7. τοῦ καὶ A. τοῦ δὲ G. λόγον ποιεῖν, τὰ δὲ m. 8. συμφωνεῖν A. συμφωνεῖ G. ὧν] ἧς m. 14. ἐκείνων add. A. 18. ΕΝΩΧ] Vide supra p. 13 a.

mo. His nobis in scriptura Mosi caelitus inspirata consignatis, eis, qui certa fide suadentur, generale Noeum diluvium 2242 mundi anno contigisse, Chaldaicis et Aegyptiacis nugis superfluum est mentem advertere. Illae namque infinitis annorum myriadibus in medium productis, quadam licet ex parte de diluvio, de Gigantibus, ac de ipso Noe nonnullas interserant relationes, veritati nihilominus evertendae machinam omnem admovere conspiciuntur. Xisuthri vero, sic apud eos vocati gesta divinis consonant scriptis, ex quibus qui ea collegerunt, veram omnem sententiam mutuati sunt. Verum enim vero quoniam inexpertis ignorata venena mortem solito saepius promercantur, alienorum a nostris auctorum pauca quaedam dicta divinis scripturis apud nos hucusque servatis ex adverso comparanda proferre operae pretium duco; non ut fidem illis conciliem, avertat hoc deus, sed ut falsi convincam et mendacium evertam omnino. Prae cunctis autem consequens egregororum historia incerta licet et dubia fide nutet, ut nostris tamen historiis reliquis coniunctior, ex primo tractatu Enoch depromenda occurrit. Sic vero habet.

## EX LIBRO ENOCH.

### De egregoris reliqua.

Tunc homines in caelum exclamaverunt dicentes: deferte ad altissi-

γάγετε τὴν κρίσιν ἡμῶν πρὸς τὸν ὕψιστον, καὶ τὴν ἀπώλειαν ἡμῶν ἐνώπιον τῆς δόξης τῆς μεγάλης, ἐνώπιον τοῦ κυρίου τῶν κυρίων πάντων τῇ μεγαλωσύνῃ. καὶ ἀκούσαντες οἱ τέσσαρες μεγάλοι C ἀρχάγγελοι Μιχαὴλ καὶ Οὐριὴλ καὶ Ῥαφαὴλ καὶ Γαβριὴλ παρέκυψαν ἐπὶ τὴν γῆν ἐκ τῶν ἁγίων τοῦ οὐρανοῦ. καὶ θεασάμενοι αἷμα πολὺ ἐκκεχυμένον ἐπὶ τῆς γῆς καὶ πᾶσαν ἀνομίαν καὶ ἀσέβειαν γινομένην ἐπ' αὐτῆς, εἰσελθόντες εἶπον πρὸς ἀλλήλους ὅτι τὰ πνεύματα καὶ αἱ ψυχαὶ τῶν ἀνθρώπων ἐντυγχάνουσι στενάζοντα καὶ λέγοντα, εἰσαγάγετε τὴν δέησιν ἡμῶν πρὸς τὸν ὕψιστον. καὶ προσελθόντες οἱ τέσσαρες ἀρχάγγελοι εἶπον τῷ κυρίῳ, σὺ εἶ θεὸς τῶν θεῶν καὶ κύριος τῶν κυρίων καὶ βασιλεὺς τῶν βασιλευόντων καὶ θεὸς τῶν ἀνθρώπων, καὶ ὁ θρόνος τῆς δόξης σου εἰς πάσας τὰς γενεὰς τῶν αἰώνων, καὶ τὸ ὄνομά σου ἅγιον καὶ εὐλογημένον εἰς πάντας τοὺς αἰῶνας· σὺ γὰρ εἶ ὁ ποιήσας τὰ D πάντα καὶ πάντων τὴν ἐξουσίαν ἔχων, καὶ πάντα ἐνώπιόν σου φανερὰ καὶ ἀκάλυπτα, καὶ πάντα ὁρᾷς, καὶ οὐκ ἔστιν ὃ κρυβῆναί σε δύναται. ὁρᾷς ὅσα ἐποίησεν Ἀζαὴλ, καὶ ὅσα εἰσήνεγκεν, ὅσα ἐδίδαξεν, ἀδικίας καὶ ἁμαρτίας ἐπὶ τῆς γῆς, καὶ πάντα δόλον ἐπὶ τῆς ξηρᾶς. ἐδίδαξε γὰρ τὰ μυστήρια καὶ ἀπεκάλυψε τῷ αἰῶνι τὰ ἐν οὐρανῷ. ἐπιτηδεύουσι δὲ τὰ ἐπιτηδεύματα αὐτοῦ, εἰδέναι τὰ μυστήρια οἱ υἱοὶ τῶν ἀνθρώπων. τῷ Σεμιαζᾷ τὴν ἐξουσίαν ἔδωκας ἔχειν τῶν σὺν αὐτῷ ἅμα ὄντων, καὶ ἐπορεύθησαν πρὸς τὰς

3. μεγαλωσύνῃ A. μεγαλοσύνῃ G. 5. παρέκυψαν] Addebatur οἱ τέσσαρες, quae recte om. p. 13 a. 12. ἀνθρώπων] αἰώνων p. 13 b. 17. σε δύναται add. A. καὶ ὅσα A. καὶ om. G. 19. τῷ A. 20. τὰ ἐν G. 21. τολμῶσιν οἱ υἱοὶ m.

mum causam nostram, et ad gloriam magnam coram domino dominorum omnium in maiestate iacturam, qua ruimus. His auditis quatuor magni archangeli, Michaël, Uriel, Raphaël et Gabriel, de caeli sanctis prospexerunt in terram, et conspectis super terram sanguinis rivis effusis, sceleribus et impietate copiosa super eam quaquaversum propagata, regressi sibi invicem nunciaverunt spiritus et animas hominum suspirantes affligi et dicere: inducite ad altissimum orationem nostram. Tum deum interpellantes quatuor archangeli dixerunt: tu es deus deorum, et dominus dominorum, regum rex, et hominum deus: thronus gloriae tuae in omnes saeculorum generationes perseverat, et nomen tuum sanctum et benedictum per omnia saecula. Tu enim omnia condidisti, et omnium tua est potestas, cuncta tibi sunt aperta et manifesta, prospicis universa, nec est quod te possit latere. Vides quae fecerit Azaël, illata ab eo damna, invectam ab eo criminum luem, quas fraudes, quae crimina super terram induxerit, artes, dolosque, quibus aridam corrupit. Secreta quaevis palam fecit, et abscondita a saeculis et in caelis occlusa revelavit. Genium eius student assequi, et arcana quaeque perscrutari non verentur hominum filii. Omnium sibi coniunctorum et familiarium Semiazae contulisti potestatem. Illi vero

P. 25 *θυγατέρας τῶν ἀνθρώπων τῆς γῆς, καὶ συνεκοιμήθησαν μετ' αὐτῶν, καὶ ἐν ταῖς θηλείαις ἐμιάνθησαν, καὶ ἐδήλωσαν αὐταῖς πάσας τὰς ἁμαρτίας, καὶ ἐδίδαξαν αὐτὰς μίσητρα ποιεῖν, καὶ νῦν ἰδοὺ αἱ θυγατέρες τῶν ἀνθρώπων ἔτεκον ἐξ αὐτῶν υἱοὺς γίγαντας.*
V. 20 *κίβδηλα ἐπὶ τῆς γῆς τῶν ἀνθρώπων ἐκκέχυται, καὶ ὅλη ἡ γῆ ἐπλήσθη ἀδικίας. καὶ νῦν ἰδοὺ τὰ πνεύματα τῶν ψυχῶν τῶν ἀποθανόντων ἀνθρώπων ἐντυγχάνουσι, καὶ μέχρι τῶν πυλῶν τοῦ οὐρανοῦ ἀνέβη ὁ στεναγμὸς αὐτῶν, καὶ οὐ δύναται ἐξελθεῖν ἀπὸ προσώπου τῶν ἐπὶ τῆς γῆς γινομένων ἀδικημάτων. καὶ σὺ αὐτὰ οἶδας πρὸ τῶν αὐτὰ γενέσθαι καὶ ὁρᾷς αὐτοὺς καὶ ἐᾷς αὐτούς, καὶ οὐδὲν λέγεις. τί δεῖ ποιῆσαι αὐτοὺς περὶ τούτου;*

B *Τότε ὁ ὕψιστος εἶπε καὶ ὁ ἅγιος ὁ μέγας ἐλάλησε, καὶ ἔπεμψε τὸν Οὐριὴλ πρὸς τὸν υἱὸν Λάμεχ λέγων, πορεύου πρὸς τὸν Νῶε καὶ εἰπὸν αὐτῷ, τῷ ἐμῷ ὀνόματι κρύψον σεαυτόν, καὶ δήλωσον αὐτῷ τέλος ἐπερχόμενον, ὅτι ἡ γῆ ἀπόλλυται πᾶσα. καὶ εἰπὸν αὐτῷ ὅτι κατακλυσμὸς μέλλει γίνεσθαι πάσης τῆς γῆς, ἀπολέσαι πάντα ἀπὸ προσώπου τῆς γῆς. δίδαξον τὸν δίκαιον τί ποιήσει, τὸν υἱὸν Λάμεχ, καὶ τὴν ψυχὴν αὐτοῦ εἰς ζωὴν συντηρήσει καὶ ἐκφεύξεται δι' αἰῶνος καὶ ἐξ αὐτοῦ φυτευθήσεται φύτευμα καὶ σταθήσεται πάσας τὰς γενεὰς τοῦ αἰῶνος. καὶ τῷ Ῥαφαὴλ εἶπε, πορεύου Ῥαφαήλ, καὶ δῆσον τὸν Ἀζαήλ, χερσὶ καὶ ποσὶ συμπόδισον αὐτόν, καὶ ἔμβαλε αὐτὸν εἰς τὸ σκότος, καὶ ἄνοιξον τὴν*

3. *αὐτὰς* add. A. *μίσητρα* m. *μίσιτρα* G. 4. *τῶν ἀνθρώπων* add. A. 5. *τῆς γῆς* A. *τῆς* om. G. 11. *αὐτοὺς περὶ* A. *αὐτοὺς* om. G. 13. *Λάμεχ* A. *τοῦ Λάμεχ* G. 22. *ἔμβαλε* A. *ἔμβαλλε* G.

ad filias hominum terrae diverterunt, et cum eis dormierunt: polluti sunt cum mulieribus, nihil non facinorosum eis aperuerunt et exosa quaeque perpetrare edocuerunt. En insuper ut prolem Gigantaeam eis pepererunt hominum filiae: tetra corruptionis labes terram omnem grassata est, et iniquitati nullus impervius locus factus est. En adstant spiritus animarum hominum morte iam functorum, et ad portas usque caeli suspiria eorum pertinuerunt, nec propter scelerum in terris commissorum gravitatem discedere queunt. Tu tamen, antequam fiant, illa nosti, vides, permittis, nec verbum eloqueris. Quid rei nunc agendum?

Respondit altissimus, et sanctus excelsus loquutus est: et misit Uriel ad filium Lamech, dicens: vade ad Noe et dic ei: circumvela te nominis mei virtute, et eventurum finem illi denuncia: terra peribit funditus universa. Et dic ei: totius terrae futurum est diluvium: ut e superficie terrae cuncta dispereant et deleantur. Edoce iustum quid agat filium Lamech, et animum eius instrue, ut servetur incolumis et per saeculum perniciem evadat: eius siquidem industria nova planta pullulabit et coletur, et per omnes saeculi generationes consistet. Et Raphaël dixit: vade Raphaël et Asaël liga, manus et pedes eius vinculis constringe et in

ἔρημον τὴν οὖσαν ἐν τῇ ἐρήμῳ Δουδαὴλ, καὶ ἐκεῖ πορευθεὶς βάλε C
αὐτόν· καὶ ὑπόθες αὐτῷ λίθους ὀξεῖς καὶ λίθους τραχεῖς, καὶ ἐπι-
κάλυψον αὐτῷ σκότος, καὶ οἰκησάτω ἐκεῖ εἰς τὸν αἰῶνα, καὶ τὴν ὄψιν
αὐτοῦ πώμασον, καὶ φῶς μὴ θεωρείτω· καὶ ἐν τῇ ἡμέρᾳ τῆς κρί-
σεως ἀπαχθήσεται εἰς τὸν ἐμπυρισμὸν τοῦ πυρός· καὶ ἴασαι τὴν
γῆν ἣν ἠφάνισαν οἱ ἐγρήγοροι, καὶ τὴν ἴασιν τῆς πληγῆς δήλω-
σον, ἵνα ἰάσωνται τὴν πληγὴν, καὶ μὴ ἀπόλωνται πάντες οἱ υἱοὶ
τῶν ἀνθρώπων, ἐν τῷ μυστηρίῳ ὃ εἶπον οἱ ἐγρήγοροι καὶ ἐδίδα-
ξαν τοὺς υἱοὺς αὐτῶν, καὶ ἠρημώθη πᾶσα ἡ γῆ ἐν τοῖς ἔργοις
τῆς διδασκαλίας Ἀζαήλ· καὶ ἐπ' αὐτῇ γράψον πάσας τὰς ἁμαρ-
τίας. καὶ τῷ Γαβριὴλ εἶπε, πορεύου Γαβριὴλ ἐπὶ τοὺς γίγαντας, D
ἐπὶ τοὺς κιβδήλους, ἐπὶ τοὺς υἱοὺς τῆς πορνείας,' καὶ ἀπόλεσον
τοὺς υἱοὺς τῶν ἐγρηγόρων ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων. πέμψον
αὐτοὺς εἰς ἀλλήλους, ἐξ αὐτῶν εἰς αὐτοὺς, ἐν πολέμῳ καὶ ἐν
ἀπωλείᾳ, καὶ μακρότης ἡμερῶν οὐκ ἔσται αὐτοῖς, καὶ πᾶσα ἐρώ-
τησις οὐκ ἔστι τοῖς πατράσιν αὐτῶν, ὅτι ἐλπίζουσι ζῆσαι ζωὴν
αἰώνιον, καὶ ὅτι ζήσεται ἕκαστος αὐτῶν ἔτη πεντακόσια. καὶ τῷ
Μιχαὴλ εἶπε, πορεύου Μιχαὴλ, δῆσον Σεμιαζᾶν καὶ τοὺς ἄλ-
λους σὺν αὐτῷ, τοὺς συμμιγέντας ταῖς θυγατράσι τῶν ἀνθρώπων
τοῦ μιανθῆναι ἐν αὐταῖς ἐν τῇ ἀκαθαρσίᾳ αὐτῶν. καὶ ὅταν κα-
τασφαγῶσιν οἱ υἱοὶ αὐτῶν, καὶ ἴδωσι τὴν ἀπώλειαν τῶν ἀγαπη- P. 26
τῶν αὐτῶν, δῆσον αὐτοὺς ἐπὶ ἑβδομήκοντα γενεὰς εἰς τὰς νάπας

2. καὶ λίθους A. καὶ om. G. 3. οἰκησάτω] οἰκεισάτω A. οἰκειωσάτω G. 6. πληγῆς] *terrae* (γῆς) Enoch. 7. ἀπόλωνται m. ἀπόλλωνται G. 9. ἠρημώθη m. ἐρημώθη G. 11. τῷ m. τὸν G. 17. τῷ m. τὸν G.

tenebras mitte, aperi deserti Dudaël desertum, et profectus illuc eum coniice: et suppositis ei lapidibus acutis et asperis induc super eum tenebras, quas in aeternum incolat, visum desuper obstrue, nec lumen respiciat, ut in die iudicii incendio consumendus abducatur: terram ab egregoris corruptam sana, plagae cicatricem manifesta, ut curetur haec eorum plaga, ne arcanis ab egregoris revelatis, quorum peritia posteri eorum sunt imbuti, et ex quibus universa terra facinorum Azaël pravitate deserta est, omnes hominum filii funditus intereant: et omnia hucusque perpetrata scelera super eam describe. Et Gabriel dixit. Tu Gabriel ad Gigantes, spurios, ex adulteriis ortos, proficiscere: filios egregororum a filiis hominum disperde: bellis excitatis partem eorum in sibi adversam excita, conserant invicem exercitus, ut caedibus et mutua internecione conficiantur, resecetur diuturnior eorum vita, nec sit patribus eorum inquirendi locus: promittant sibi licet aeternitatem vitae, et ad quingentos usque annos luminis visum. Et Michaël dixit: vade Michaël, Semiazam aliosque filiabus hominum commixtos et immunditiis earum inquinatos vinculorum nexibus coerce, et cum mactati fuerint eorum filii, dilectorumque sibi stragem viderint, abduc eos in extremos terrae recessus usque ad septuaginta ge-

τῆς γῆς, μέχρι ἡμέρας κρίσεως αὐτῶν, μέχρι ἡμέρας τελειώσεως τελεσμοῦ, ἕως συντελεσθῇ κρῖμα τοῦ αἰῶνος τῶν αἰώνων. τότε ἀπενεχθήσονται εἰς τὸ χάος τοῦ πυρὸς καὶ εἰς τὴν βάσανον καὶ εἰς τὸ δεσμωτήριον τῆς συγκλείσεως τοῦ αἰῶνος. καὶ ὃς ἂν κατακριθῇ καὶ ἀφανισθῇ ἀπὸ τοῦ νῦν μετ' αὐτῶν, δεθήσεται μέχρι τελειώσεως γενεᾶς αὐτῶν.

Καὶ μεθ' ἕτερα· καὶ νῦν οἱ γίγαντες οἱ γεννηθέντες ἀπὸ πνευμάτων καὶ σαρκὸς πνεύματα πονηρὰ ἐπὶ τῆς γῆς καλέσουσιν αὐτούς, ὅτι ἡ κατοίκησις αὐτῶν ἔσται ἐπὶ τῆς γῆς. πνεύματα πονηρὰ ἔσονται, τὰ πνεύματα ἐξεληλυθότα ἀπὸ τοῦ σώματος τῆς
B σαρκὸς αὐτῶν, διότι ἀπὸ τῶν ἀνθρώπων ἐγένοντο, καὶ ἐκ τῶν ἁγίων τῶν ἐγρηγόρων ἡ ἀρχὴ τῆς κτίσεως αὐτῶν καὶ ἀρχὴ θεμελίου. πνεύματα πονηρὰ ἐπὶ τῆς γῆς ἔσονται, τὰ πνεύματα τῶν γιγάντων νεμόμενα, ἀδικοῦντα, ἀφανίζοντα, ἐμπίπτοντα καὶ
V. 21 συμπαλαίοντα καὶ ῥιπτοῦντα ἐπὶ τῆς γῆς καὶ δρόμους ποιοῦντα, καὶ μηδὲν ἐσθίοντα, ἀλλ' ἀσιτοῦντα καὶ φάσματα ποιοῦντα καὶ διψῶντα καὶ προσκόπτοντα. καὶ ἐξαναστήσονται τὰ πνεύματα ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων καὶ τῶν γυναικῶν, ὅτι ἐξ αὐτῶν ἐξεληλύθασι· καὶ ἀπὸ ἡμέρας καιροῦ σφαγῆς καὶ ἀπωλείας καὶ θανάτου τῶν γιγάντων Ναφηλεὶμ, οἱ ἰσχυροὶ τῆς γῆς, οἱ με-
C γάλοι ὀνομαστοί, τὰ πνεύματα τὰ ἐκπορευόμενα ἀπὸ τῆς ψυχῆς αὐτῶν, ὡς ἐκ τῆς σαρκὸς ἔσονται, ἀφανίζοντα χωρὶς κρίσεως,

2. κρῖμα] Vulgo κρίμα. 5. δεθήσεται m. δεήσεται G. 7. καὶ μεθ' ἕτερα] XV, 8. p. 178. 8. ἐπὶ τῆς γῆς — γῆς. πνεύματα πονηρὰ add. A. 12. τῆς κτίσεως A. κτήσεως G. 13. τὰ πνεύματα A. τὰ πρῶτα G. 15. ῥιπτοῦντα A. ῥίπτοντα G. 16. ἀλλ' ἀσιτοῦντα anonymus. ἀλλὰ σιτοῦντα G. καὶ διψῶντα A. καὶ om. G. 20. Ναφηλεὶμ] Vulgo Ναφιλείμ. οἱ ἰσχυροὶ A. καὶ ἰσχυροὶ G.

nerationes, ad iudicii eorum terminum, ad consummationis eorum finem, usque dum saeculi saeculorum iudicium absolvatur. Tunc in ignis confusum chaos, in tormenta et aeterni carceris vincula rapientur: quivis autem cum eis condemnatus et suppliciis adiudicatus ad consummatum usque generis eorum finem compedibus vinctus concludetur.

Et aliis quibusdam interiectis. Gigantes deinceps a spiritus et carnis copula procreati visentur, spiritus nequam e corpore carnis suae deflectentes, eo quod ex hominibus nati sunt et ex sanctis egregoris ortus eorum principium ac fundamenti exordium fuit deductum: scelerati spiritus erunt super terram, inter Gigantes praecipui, hinc populabuntur, caedent et vastabunt; illinc insilient, colluctabuntur, in terram prosternent, et incursibus alios impetent: absque ullo cibo victitabunt, immittent spectra siti molestiisque cunctos oppressura. Et in filios virorum et mulierum, ceu ex eisdem prognati insilient. A primo caedis, internecionis, et Gigantum Naphilim mortis momento visi sunt robusti terrae, proceres celebres, Genii ab animis suis digressi, quasi carne compacti, cuncta absque delectu vastantes, hoc pacto cuncta susde-

οὕτως ἀφανίσουσι μέχρις ἡμέρας τῆς τελειώσεως, ἕως τῆς κρίσεως τῆς μεγάλης, ἐν ᾗ ὁ αἰὼν ὁ μέγας τελεσθήσεται, ἐφ᾽ ἅπαξ ὁμοῦ τελεσθήσεται.

*Καὶ* αὖθις· παρὰ δὲ τοῦ ὄρους ἐν ᾧ ὤμοσαν καὶ ἀνεθεμάτισαν πρὸς τὸν πλησίον αὐτῶν, ὅτι εἰς τὸν αἰῶνα οὐ μὴ ἀποστῇ ἀπ᾽ αὐτοῦ ψῦχος καὶ χιὼν καὶ πάχνη καὶ δρόσος οὐ μὴ καταβῇ εἰς αὐτὸ, εἰ μὴ εἰς κατάραν καταβήσεται ἐπ᾽ αὐτὸ, μέχρις ἡμέρας κρίσεως τῆς μεγάλης. ἐν τῷ καιρῷ ἐκείνῳ κατακαυθήσεται καὶ ταπεινωθήσεται καὶ ἔσται κατακαιόμενον καὶ τηκόμενον ὡς D
κηρὸς ἀπὸ πυρὸς, οὕτως κατακαήσεται περὶ πάντων τῶν ἔργων αὐτοῦ. καὶ νῦν ἐγὼ λέγω ὑμῖν υἱοῖς ἀνθρώπων, ὀργὴ μεγάλη καθ᾽ ὑμῶν, κατὰ τῶν υἱῶν ὑμῶν, καὶ οὐ παύσεται ἡ ὀργὴ αὕτη ἀφ᾽ ὑμῶν, μέχρι καιροῦ σφαγῆς τῶν υἱῶν ὑμῶν. καὶ ἀπολοῦνται οἱ ἀγαπητοὶ ὑμῶν καὶ ἀποθανοῦνται οἱ ἔντιμοι ὑμῶν ἀπὸ πάσης τῆς γῆς, ὅτι πᾶσαι αἱ ἡμέραι τῆς ζωῆς αὐτῶν ἀπὸ τοῦ νῦν οὐ μὴ ἔσονται πλείω τῶν ἑκατὸν εἴκοσιν ἐτῶν. καὶ μὴ δόξητε ἔτι ζῆσαι ἐπὶ πλείονα ἔτη· οὐ γάρ ἐστιν ἐπ᾽ αὐτοῖς πᾶσα ὁδὸς ἐκφεύξεως ἀπὸ τοῦ νῦν διὰ τὴν ὀργὴν, ἣν ὠργίσθη ὑμῖν ὁ βασιλεὺς πάντων τῶν αἰώνων· μὴ νομίσητε ὅτι ἐκφεύξεσθε ταῦτα.

*Καὶ* ταῦτα μὲν ἐκ τοῦ πρώτου βιβλίου Ἐνὼχ περὶ τῶν ἐγρη- P. 27
γόρων, εἰ καὶ μὴ τελείως χρὴ προσέχειν ἀποκρύφοις μάλιστα τοὺς ἁπλουστέρους, διά τε τὸ περιττά τινα καὶ ἀτριβῆ τῆς ἐκ-

2. ᾗ] ᾧ A. 7. ἐπ᾽ A. εἰς G. 9. καὶ ταπ — A. καὶ om. G. 10. οὕτως A. οὕτω G. 17. ἐπὶ add. A. 20. βιβλίου A. βίβλου τοῦ G. 21. *Νόει τί λέγεται περὶ τῶν ἀποκρύφων* margo A.

que mittent usque ad consummationis diem, ad magnum usque iudicium, quo saeculum illud magnum absolvetur, et semel ac simul ultimo claudetur fine.

Et rursus: a monte vero, in quo iuramento sese invicem adstrinxerunt, ac ubi se diris mutuo devoverunt, nusquam deficient frigora vel nives; pruina vel ros ad diem usque iudicii magni nusquam, nisi forte in perniciem, dilabentur. Ardebit et deprimetur in illo tempore, horrenda foedabitur adustione, liquefiet ad instar cerae et omnes eius fructus arescent. Nunc vero vobis filiis hominum edico. Magna vobis et filiis vestris pernicies instat: et ad integram vestram internecionem non deficiet. Dilecti vestri peribunt, et praecipuo honore digniores habiti tollentur e terra: eo quod ab hoc momento dies vitae vestrae non nisi centum et viginti annorum sint futuri: diuturniorem vitam ne vobis ipsis polliceamini; a data siquidem hoc momento sententia nullus defensionis aut effugii dabitur locus propter iram, qua saeculorum omnium rex motus est, a qua deflectendi spes vana est et fallax.

Et haec quidem ex primo libro Enoch de egregoris: quibus sane Apocryphis animo simpliciores certam fidem addere non decet; supervaca-

κλησιαστικῆς παραδόσεως ἔχειν καὶ διὰ τὸ νενοθεῦσθαι αὐτὰ ὑπὸ Ἰουδαίων καὶ αἱρετικῶν, πλὴν καὶ ὁ μακάριος Παῦλος σπανίως ἐχρήσατό τισιν ἐξ ἀποκρύφων χρήσεσιν, ὡς ὅταν φησὶν ἐν τῇ πρὸς Κορινθίους πρώτῃ ἐπιστολῇ „ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη" καὶ τὰ ἑξῆς Ἠλία ἀποκρύφων. καὶ πάλιν ἐν τῇ πρὸς Γαλάτας ἐκ τῆς Μωϋσέως ἀποκαλύψεως „οὔτε περιτομή τι ἐστὶν οὔτε ἀκροβυστία, B ἀλλὰ καινὴ κτίσις." καὶ ἐν τῇ πρὸς Ἐφεσίους ἐκ τῶν Ἱερεμίου λεγομένων ἀποκρύφων „ἔγειραι ὁ καθεύδων καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός." ταῦτα δὲ ἡμῖν εἴρηται οὐ πρὸς ἄδειαν τῶν βουλομένων ἀδιαφόρως αὐτοῖς ἐντυγχάνειν· μὴ γένοιτο· πολλοὶ γὰρ ἐβλάβησαν ἐν πᾶσιν αὐτοῖς πιστεύσαντες, ὅθεν καὶ ἡ ἁγία τοῦ θεοῦ ἐκκλησία καὶ ὁ χορὸς τῶν θεοφόρων ἡμῶν πατέρων ἐκώλυσεν ἐντυγχάνειν αὐτοῖς, ὥσπερ τῇ θείᾳ λοιπῇ γραφῇ· καὶ ἡμεῖς τὰς προγραφείσας χρήσεις ὑπὲρ τοῦ δεῖξαι μόνον τὴν τῶν ἐγρηγόρων παράβασιν καὶ τὴν τῶν γιγάντων ἀσέβειαν, περὶ ἧς καὶ ὁ θεῖος Μωϋσῆς μέμνηται, καὶ ὅτι δι' αὐτοὺς ὁ κοσμικὸς C γέγονε κατακλυσμός, παρεθέμεθα· καὶ ὥστε τοὺς τὰς Χαλδαϊκὰς καὶ Αἰγυπτιακὰς ἀρχαιολογίας γράψαντας μὴ δεῖν Χριστιανῶν ὑπολαμβάνειν, ὅτι ἀπὸ ἐνδιαθέτων ἢ ἀποκρύφων βιβλίων ἔσχον οἱανδηποτοῦν ἀφορμὴν τῆς οἰκείας ψευδηγορίας καὶ τῶν ἀπείρων

4. πρώτῃ] Cap. II, 9. εἶδεν A. οἶδεν G. 6. Διὰ τί ἔνια (ἔνια G. εἶναι A.) ἀπόβλητα νόθια margo A. 6. Γαλάτας] V, 6. τῆς] τοῦ m. 7. ἐστὶν A. ἔσται G. 8. Ἐφεσίους] V, 14. τῶν A. τοῦ G. 11. ἀδιαφόρως add. A. 13. χωρὸς A. 17. Μωϋσῆς] Vulgo Μωσῆς et paullo post Μωσέως. 19. Χριστιανοὺς m. 20. ἢ A. καὶ G. 21. ἀπείρων A. ἀπόρων G.

nea quippe et ab ecclesiastica traditione aliena continent, et a Iudaeis ac Haereticis adulterata constat. Quamvis beatus Paulus Apocryphorum dictis nonnunquam fuerit usus; ut cum in prima, quam scripsit ad Corinthios, epistola dicit: oculus non vidit, nec auris audivit, nec in cor hominis adscendit, cett., quae quidem ex Heliae desumpsit Apocryphis. Et rursum in ea, quae est ad Galatas, ex Mosis revelatione haec habet. Neque circumcisio est aliquid, neque praeputium, sed nova creatura. Et in ea quae est ad Ephesios ex Apocryphis Hieremiae adscriptis. Excitare qui dormis et exsurge a mortuis et illuminabit te Christus. Haec a nobis dicta, non quo illa legendi per nos facultas concedatur: ne fiat, o deus! plures namque fide illis praeter rationem exhibita non modicum reportarunt damnum: hac de causa sancta dei ecclesia, et dei plenorum spiritu patrum nostrorum coetus illis aeque ac sacrae scripturae adhaerere prohibuit: nec nisi commissum ab egregoris scelus, Gigantumque impietatem a Mose memoratam, mundumque propter eos generali diluvio ostensuri inundatum, scriptas superius ab eis auctoritates in medium adduximus: ac ut insuper Chaldaicarum et Aegyptiacarum antiquitatum scriptores nullus Christianos censeat; propriarum enim sibi fabularum et infinitorum annorum argumentum, iactatos quoque

ἐτῶν τὸν ἐξελεγμὸν συγγράψαι καὶ τὰς παρ' αὐτοῖς φημιζομένας βασιλείας καὶ δυναστείας, ἀλλ' ἵνα καὶ τὰς περὶ τούτων βίβλους ἀποκρύφους ζητῶν ἀρκῆται ταῖς προκειμέναις ἐξ αὐτῶν χρήσεσιν ἐνταῦθα, καὶ μὴ τὰς καθόλου πραγματείας ἀσκόπως ἀναγινώσκων τοῦ ὀρθοῦ καὶ ἀληθοῦς ἀποπέσοι σκοποῦ· καὶ γὰρ ἐν τῇ Μωϋσέως λεγομένῃ ἀποκαλύψει φέρεται περὶ αὐτῶν, ὅτι μετὰ V. 22 τὸν κατακλυσμὸν τῷ ͵βφπβʹ ἔτει τοῦ κόσμου, φθόνῳ κινούμενοι μετὰ θάνατον ἐπλάνησαν τοὺς υἱοὺς Νῶε· καὶ εὐξαμένου τοῦ D Νῶε ἵνα ἀποστῶσιν ἀπ' αὐτῶν, ὁ κύριος ἐκέλευσε τῷ ἀρχαγγέλῳ Μιχαὴλ βαλεῖν αὐτοὺς εἰς τὴν ἄβυσσον ἄχρι ἡμέρας τῆς κρίσεως· ὁ δὲ διάβολος ᾐτήσατο λαβεῖν μοῖραν ἀπ' αὐτῶν πρὸς πειρασμὸν τῶν ἀνθρώπων καὶ ἐδόθη αὐτῷ τὸ δέκατον αὐτῶν κατὰ πρόσταξιν θείαν, ὥστε πειράζειν τοὺς ἀνθρώπους πρὸς δοκιμὴν τῆς ἑκάστου πρὸς θεὸν προαιρέσεως, τὰ δὲ λοιπὰ ἐννέα μέρη ἐβλήθη εἰς τὴν ἄβυσσον. ἡμῖν δὲ ἀσύμφωνον εἶναι τοῦτο δοκεῖ, ἄνθρωπον ζῶντα ὑπὸ τῆς τοῦ τεθνεῶτος ψυχῆς πειράζεσθαι. διὸ παραινοῦμεν καὶ ἡμεῖς τοὺς ἐντυγχάνοντας ἢ ἐνταῦθα ἢ ἀλλαχοῦ τοῖς ἀποκρύφοις μὴ ἐν πᾶσιν ἕπεσθαι ταῖς ἐννοίαις P. 28 ταῖς φερομέναις ἐν αὐταῖς. λοιπὸν δέ ἐστι μετὰ ταῦτα, καθὼς καὶ ἐπηγγειλάμεθα, μικρὰς χρήσεις τῶν τὰς Χαλδαϊκὰς καὶ Αἰγυπτιακὰς ἱστορίας γραψάντων παραθέσθαι, δι' ὧν πρόδηλος ἡ τούτων ἀσυμφωνία πρός τε ἀλλήλους καὶ τὴν θείαν γραφὴν τοῖς πιστοῖς ἔσται, καὶ ἀνατροπὴ τῆς τερατώδους αὐτῶν ἐρεσχελίας.

2. ἀλλ'] καὶ m. 3. ἀρκῆται] Vulgo ἀρκεῖται. 11. ἀπ' αὐτῶν A. ἁπάντων G. 15. μέρη add. A. 23. αἱρεσχελίας A.

ab eis principatus et illa laudata regna scriptis celebrandi ex suppositis et incertis libris causam desumpserunt; quibus equidem auctoritatum fragmentis huc palam adductis curiosiori Apocryphorum librorum perscrutatori fiet satis, ne lectis forsan tractatibus integris a recto veroque sibi fine praestituto aberrasse dignoscatur. In Mosis namque vulgo dicta revelatione fertur, eos, praeterito iam diluvio, 2582 mundi anno, invidia post mortem motos in errorem filios Noe induxisse; et orante Noe, ut ab eis discederent, deo iubente, a Michaële archangelo in abyssum ad iudicii diem fuisse detrusos; omnium vero parte tentandis hominibus a diabolo postulata, dei nutu, decimam reliquos homines tentaturam et uniuscuiusque fidele ad deum propositum probaturam, cunctis aliis in abyssum demersis, ex eo tempore deputatam. Nobis vero, nisi hominem vivum a demortui anima tentari, nihil absurdius iudicatur. Hac de causa quibus tum haec, tum alia venient ex Apocryphis in manus, ne sententiis quibusvis obviam factis fidem ex integro praestent, lectores hortamur. His porro praemissis reliquum est, ut brevia quaedam Chaldaicas et Aegyptiacas historias conscribentium palam dicta proferamus, quo tum mutua ad invicem, tum ad sacram scripturam discordia, tum portentosae garrulitatis earum confutatio cunctorum obtutibus exponatur.

**ΕΚ ΤΟΥ ΑΛΕΞΑΝΔΡΟΥ τοῦ Πολυΐστορος, περὶ τῶν πρὸ τοῦ κατακλυσμοῦ βασιλευσάντων δέκα βασιλέων τῶν**
B **Χαλδαίων καὶ αὐτοῦ τοῦ κατακλυσμοῦ, καὶ περὶ τοῦ Νῶε καὶ τῆς κιβωτοῦ, ἐν οἷς καί τινα διὰ μέσου τερατώδη φάσκει, ὡς τῷ Βηρώσσῳ γεγραμμένα.**

*Βήρωσσος δὲ ἐν τῇ πρώτῃ τῶν Βαβυλωνιακῶν φησι γενέσθαι μὲν αὐτὸν κατὰ Ἀλέξανδρον τὸν Φιλίππου τὴν ἡλικίαν. ἀναγραφὰς δὲ πολλῶν ἐν Βαβυλῶνι φυλάσσεσθαι μετὰ πολλῆς ἐπιμελείας ἀπὸ ἐτῶν που ὑπὲρ μυριάδων ιε΄ περιεχούσας χρόνον· περιέχειν δὲ τὰς ἀναγραφὰς ἱστορίας περὶ τοῦ οὐρανοῦ καὶ θαλάσσης καὶ πρωτογονίας καὶ βασιλέων καὶ τῶν κατ᾽ αὐτοὺς πράξεων. καὶ πρῶτον μὲν τὴν Βαβυλωνίων γῆν φησι κεῖσθαι ἐπὶ τοῦ Τίγρι-*
C *δος καὶ Εὐφράτου ποταμοῦ μέσην. φύειν δὲ αὐτὴν πυροὺς ἀγρίους καὶ κριθὰς καὶ ὤχρον καὶ σήσαμον καὶ τὰς ἐν τοῖς ἕλεσι φυομένας ῥίζας ἐσθίεσθαι· ὀνομάζεσθαι αὐτὰς γόγγας· ἰσοδυναμεῖν δὲ τὰς ῥίζας ταύτας κριθαῖς. γίνεσθαι δὲ φοίνικας καὶ μῆλα καὶ τὰ λοιπὰ ἀκρόδρυα καὶ ἰχθύας καὶ ὄρνεα χερσαῖά τε καὶ λιμναῖα. εἶναι δὲ αὐτῆς τὰ μὲν κατὰ τὴν Ἀραβίαν μέρη ἄνυδρά τε καὶ ἄκαρπα, τὰ δὲ ἀντικείμενα τῇ Ἀραβίᾳ ὀρεινά τε καὶ ἄφορα. ἐν δὲ τῇ Βαβυλῶνι πολὺ πλῆθος ἀνθρώπων γενέσθαι ἀλλοεθνῶν κατοι-*

1. *ΑΛΕΞΑΝΔΡΟΥ*] Compara Euseb. I, 2. p. 8. 5. 6. Vulgo *Βηρωσσῷ* et *Βηρωσσός*. 9. *ιε΄* A. *δεκαπέντε* G. *ducentis et quindecim* Eusebius. 10. *καὶ ἱστορίας* m. 12. *βαβυλωνίων* A. *Βαβυλωνίαν* G. 14. *ὤχρον*] Vulgo *ὄχρον*. *σήσαμον* m. *σίσαμον* G. 15. *ἐσθίεσθαι* Scaliger. Vulgo *ἐσθίεσθον*. 18. *τὴν* add. A. 19. *ὀρεινά τε καὶ* G. *τε* om. A. *ἄφορα* A. *εὔφορα* G.

**EX ALEXANDRO Polyhistore, de Chaldaeorum decem regibus ante diluvium imperantibus, deque ipso diluvio; de Noe et arca, quibus nonnulla prodigiosa quasi a Beroso memorata interserit.**

Sane Berosus Alexandro Philippi se parem aetate libro de Babylonicis primo iactat; plurimorum vero commentaria spatium circiter myriadum annorum quindecim in Babylone summa cura refert asservari; illa vero de caelo, mari, primo rerum ortu, regibus ac eorum gestis relationes et historias continere. Et primo quidem Babyloniam terram inter Tigrin et Euphratem fluvios mediam iacere describit; tum ex ea frumentum agreste, hordeum, ochron et sesamon, ac in paludibus esthiesthon radices enasci, hasque gongas vocari, ac aequalis esse cum hordeo virtutis enarrat. Palmas item in ea reperiri, poma et reliquos frugiferarum arborum fructus, pisces et volucres, cum terrestres, tum aquatiles; ac eius sane partes ad Arabiam sitas, inaquosas et steriles, oppositas autem Arabiae, montibus resperaas et feraces. Babylone ipsa hominum alienigenaru . Chaldaeam

κησάντων τὴν Χαλδαίαν· ζῆν δὲ αὐτοὺς ἀτάκτως ὥσπερ τὰ θηρία. ἐν δὲ τῷ πρώτῳ ἐνιαυτῷ φανῆναι ἐκ τῆς ἐρυθρᾶς θαλάσσης κατὰ τὸν ὁμοροῦντα τόπον τῇ Βαβυλωνίᾳ ζῶον ἄφρενον D ὀνόματι Ὠάννην, καθὼς καὶ Ἀπολλόδωρος ἱστόρησε, τὸ μὲν ὅλον σῶμα ἔχον ἰχθύος, ὑπὸ δὲ τὴν κεφαλὴν παραπεφυκυῖαν ἄλλην κεφαλὴν ὑποκάτω τῆς τοῦ ἰχθύος κεφαλῆς, καὶ πόδας ὁμοίως ἀνθρώπου, παρακεφυκότας δὲ ἐκ τῆς οὐρᾶς τοῦ ἰχθύος· εἶναι δὲ αὐτῷ φωνὴν ἀνθρώπου, τὴν δὲ εἰκόνα αὐτοῦ ἔτι καὶ νῦν διαφυλάσσεσθαι· τοῦτο δέ, φησί, τὸ ζῶον, τὴν μὲν ἡμέραν διατρίβειν μετὰ τῶν ἀνθρώπων, οὐδεμίαν τροφὴν προσφερόμενον, παρα- V. 23 διδόναι τε τοῖς ἀνθρώποις γραμμάτων καὶ μαθημάτων καὶ τεχνῶν παντοδαπῶν ἐμπειρίαν, καὶ πόλεων συνοικισμοὺς καὶ ἱερῶν ἱδρύσεις, καὶ νόμων εἰσηγήσεις καὶ γεωμετρίαν διδάσκειν, καὶ σπέρ- P. 29 ματα καὶ καρπῶν συναγωγὰς ὑποδεικνύναι, καὶ συνόλως πάντα τὰ πρὸς ἡμέρωσιν ἀνήκοντα βίου παραδιδόναι τοῖς ἀνθρώποις. ἀπὸ δὲ τοῦ χρόνου ἐκείνου οὐδὲν ἄλλο περισσὸν εὑρεθῆναι. τοῦ δὲ ἡλίου δύναντος τὸ ζῶον τουτονὶ Ὠάννην δῦναι πάλιν εἰς τὴν θάλασσαν, καὶ τὰς νύκτας ἐν τῷ πελάγει διαιτᾶσθαι· εἶναι γὰρ αὐτὸ ἀμφίβιον. ὕστερον δὲ φανῆναι καὶ ἕτερα ζῶα ὅμοια τούτῳ, περὶ ὧν ἐν τῇ τῶν βασιλέων ἀναγραφῇ φησι δηλώσειν. τὸν δὲ Ὠάννην περὶ γενεᾶς καὶ πολιτείας γράψαι καὶ παραδοῦναι τόνδε τὸν λόγον τοῖς ἀνθρώποις.

8. ζῶον ἄφρενον] *immanem beluam* Eusebius. „ἄρρεν ὂν Is. Vossius p. 409." Anonymus. 5. ἔχον] ἔχων A. 10. οὐδεμίαν A. μηδεμίαν G. 12. συνοικισμοὺς m. συνῳκισμοὺς A. συνωκισμοὺς G. 14. ὑποδεικνύναι A. ὑποδεικνύειν G. 15. βίου A. βίον G. 17. τουτονὶ] Aut τοῦτο aut τουτί. *eam beluam Oannem* Eusebius. 18. ἐν τῷ πελάγει A. ἐκεῖ G. 19. αὐτὸ A. αὐτὸν G. τούτῳ A. τούτων G.

Incolentium multitudinem immensam ntmerari, eosque brutorum more sine lege liberam vitam ducere. Primo anno e mari rubro ad vicinum littus Babyloni contiguum, animans ratione destitutum emersisse, Oannem nomine, et ut Apollodorus retulit, toto corpore piscem, infra piscis caput, aliud ei caput enatum gerere; pedes humanos in eius corpore cerni, at piscis caudae annexos; vocem item et loquelam hominis ei fuisse, eiusque etiam num hodie pictam imaginem servari. Hoc animans interdiu quidem nullo admisso cibo versari inter homines, ac eis litterarum et disciplinarum notitiam, artium experimenta, urbium constructiones, templa erigere, ponere leges, geometricis attendere, semina fructusque colligere, ac summatim quae mores mansuefacerent omnia commonstrasse. Ab eo tempore nihil praeter haec de illo auditum. Sole occumbente animans illud Oannem ad mare declinare et in eo mergi, noctesque sub aquis agere, ceu amphibium partim hic, illic ex parte. Postremum alia animantia huic similia visa, de quibus in regum historiis evulgaturum plura pollicetur. Oannem de originibus et vitae regimine scripsisse et hanc vivendi rationem hominibus tradidisse.

B Γενέσθαι φησὶ χρόνον, ἐν ᾧ τὸ πᾶν σκότος καὶ ὕδωρ εἶναι, καὶ ἐν τούτοις ζῶα τερατώδη, καὶ εἰδιφυεῖς τὰς ἰδέας ἔχοντα ζωογονεῖσθαι. ἀνθρώπους γὰρ διπτέρους γεννηθῆναι, ἐνίους δὲ καὶ τετραπτέρους καὶ διπροσώπους· καὶ σῶμα μὲν ἔχοντας ἓν, κεφαλὰς δὲ δύο, ἀνδρείαν τε καὶ γυναικείαν, καὶ αἰδοῖά τε δισσὰ, ἄῤῥεν καὶ θῆλυ· καὶ ἑτέρους ἀνθρώπους τοὺς μὲν αἰγῶν σκέλη καὶ κέρατα ἔχοντας, τοὺς δὲ ἱππόποδας, τοὺς δὲ τὰ ὀπίσω μὲν μέρη ἵππων, τὰ δὲ ἔμπροσθεν ἀνθρώπων, οὓς ἱπποκενταύρους τὴν ἰδέαν εἶναι. ζωογονηθῆναι δὲ καὶ ταύρους ἀνθρώπων κεφαλὰς ἔχοντας καὶ κύνας τετρασωμάτους, οὐρὰς ἰχθύος ἐκ τῶν ὄπι-
C σθεν μερῶν ἔχοντας, καὶ ἵππους κυνοκεφάλους, καὶ ἀνθρώπους, καὶ ἕτερα ζῶα κεφαλὰς μὲν καὶ σώματα ἵππων ἔχοντα, οὐρὰς δὲ ἰχθύων. καὶ ἄλλα δὲ ζῷα παντοδαπῶν θηρίων μορφὰς ἔχοντα. πρὸς δὲ τούτοις ἰχθύας καὶ ἑρπετὰ καὶ ὄφεις καὶ ἄλλα ζῶα πλείονα θαυμαστὰ καὶ παρηλλαγμένα τὰς ὄψεις ἀλλήλων ἔχοντα· ὧν καὶ τὰς εἰκόνας ἐν τῷ τοῦ Βήλου ναῷ ἀνακεῖσθαι. ἄρχειν δὲ τούτων πάντων γυναῖκα ᾗ ὄνομα Ὁμόρωκα· εἶναι δὲ τοῦτο Χαλδαϊστὶ μὲν Θαλὰτθ, Ἑλληνιστὶ δὲ μεθερμηνεύεσθαι θάλασσα, κατὰ δὲ ἰσόψηφον σελήνη. οὕτως δὲ τῶν ὅλων συνεστηκότων ἐπανελθόντα Βῆλον σχίσαι τὴν γυναῖκα μέσην, καὶ τὸ μὲν ἥμισυ αὐτῆς ποιῆ-

2. εἰδιφυεῖς] ἰδιοφυεῖς Richter. de Beroso p. 49 *ex se ipsis ortae* Eusebius. διφυεῖς Scaliger. αὐτοφυεῖς Maius. ἔχοντα m. ἔχοντας G. 5. δισσὰ A. διττὰ G. 7. τοὺς δὲ τὰ ὀπίσω μὲν] καὶ τὰ μὲν ὀπίσω m. 10. ἰχθύος] Vulgo ἰχθύας. Correctum ex Eusebio. 12. ἔχοντα] ἔχοντας A. 16. ἀνακεῖσθαι. ἄρχειν A. ἀνάκειται. ἄρχει G. 17. ὁμόρωκα A. Ομορῶκα G. Ομόρκα Scaliger. *cui nomen Marghaiae* Eusebius. τοῦτο m. τούτῳ G. 18. Θαλὰτθ] *thagatthan* Eusebius. μεθερμηνεύεσθαι Scaliger. Vulgo μεθερμηνεύεται. κατὰ δὲ ἰσόψηφον σελήνη om. Eusebius.

Tempus fuisse quo cuncta tenebrae et aqua erant, et in illis animantia portentosa et sub variis naturae speciebus et formis visu mirandis vitam ac lucem accepisse. Homines duabus pennis, alios quatuor, et geminis vultibus insignes; corpus quidem unum, capita vero duo, virile et femineum; et gemina pudenda, masculum et muliebre: hominum aliorum, hos caprarum crura et cornua, illos equorum anteriores, istos posteriores et hominum anteriores, quales sunt Hippocentaurorum formae, habuisse. Tauros humanis capitibus ibidem nasci; canes caudis quadricorpores et posterioribus partibus pisces; equis canum adiuncta capita: homines et alia animantia caput et corpus equinum, piscium vero caudas habentia, nec non et alia variis quibusque formis deformia. His adiunge pisces, reptilia, serpentes et alia plura animantia quasi mutatis ab invicem speciebus varietate conspicua, quorum imagines in Beli templo appensae. Istis omnibus mulier, cui nomen Omoroca, praesidet: hoc idem Chaldaice Thalath, Graece sonat mare, et ex aequo lunam refert. His ita constitutis Belum redeuntem mediam divisisse mulierem

σαι γῆν, τὸ δὲ ἄλλο ἥμισυ οὐρανὸν, καὶ τὰ ἐν αὐτῇ ζῶα ἀφανίσαι. ἀλληγορικῶς δέ φησι τοῦτο πεφυσιολογῆσθαι. ὑγροῦ γὰρ ὄντος τοῦ παντὸς καὶ ζώων ἐν αὐτῷ γεγεννημένων, τοῦτον τὸν θεὸν ἀφελεῖν τὴν ἑαυτοῦ κεφαλὴν, καὶ τὸ ῥυὲν αἷμα τοὺς ἄλλους θεοὺς φυρᾶσαι τῇ γῇ, καὶ διαπλάσαι τοὺς ἀνθρώπους· δι᾽ ὃ νοερούς τε εἶναι καὶ φρονήσεως θείας μετέχειν. τὸν δὲ Βῆλον, ὃν Δία μεθερμηνεύουσι, μέσον τεμόντα τὸ σκότος χωρίσαι γῆν καὶ οὐρανὸν ἀπ᾽ ἀλλήλων, καὶ διατάξαι τὸν κόσμον· τὰ δὲ ζῶα οὐκ ἐνεγκόντα τὴν τοῦ φωτὸς δύναμιν φθαρῆναι. ἰδόντα δὲ τὸν Βῆλον χώραν ἔρημον καὶ καρποφόρον κελεῦσαι ἑνὶ τῶν θεῶν τὴν κεφαλὴν ἀφελόντι ἑαυτοῦ τῷ ἀπορρυέντι αἵματι φυρᾶσαι τὴν γῆν P. 30
καὶ διαπλάσαι ἀνθρώπους καὶ θηρία τὰ δυνάμενα τὸν ἀέρα φέρειν· ἀποτελέσαι δὲ τὸν Βῆλον καὶ ἄστρα καὶ ἥλιον καὶ σελήνην καὶ τοὺς πέντε πλανήτας. ταῦτά φησιν ὁ Πολυΐστωρ Ἀλέξανδρος τὸν Βήρωσσον ἐν τῇ πρώτῃ φάσκειν.

Ἐν δὲ τῇ δευτέρᾳ τοὺς δέκα βασιλεῖς τῶν Χαλδαίων καὶ τὸν χρόνον τῆς βασιλείας αὐτῶν, σάρους ἑκατὸν εἴκοσιν, ἤτοι ἐτῶν μυριάδας τεσσαράκοντα τρεῖς καὶ δύο χιλιάδας, ἕως τοῦ κατακλυσμοῦ, λέγει γὰρ ὁ αὐτὸς Ἀλέξανδρος ὡς ἀπὸ τῆς γραφῆς τῶν Χαλδαίων αὖθις παρακατιὼν ἀπὸ τοῦ ἐνάτου βασιλέως Ἀρδάτου V. 24

2. πεφυσιολογεῖσθαι A. μὲν φυσιολογεῖσθαι G. 4. ἑαυτοῦ] αὐτῆς m. αἷμα A, σῶμα G. 5. δι᾽ ὃ A. διὰ G. 14. φησιν add. A. 15. Βήρωσσον] Vulgo Βηρωσσόν. φάσκειν A. φάσκει G. 18. κατακλυσμοῦ] ἀναφέρει add. m. 20. ἀπὸ τοῦ A. τοῦ om. G. Ἀρδάτου] „Vide p. 18. et Cyrillum in Iulian. I, 1." Anonymus.

et ex eius quidem parte terram, ex alia caelum composuisse, ac inde necem animalibus illatam. Figuraliter autem ad sensum rerum naturis accommodum haec eadem traduci docet. Universa quippe mundi mole ex humida materia compacta, et animantibus ex ea formatis, deus isto caput mulieris sustulit, tum corpus in terram dilapsum alii dii terrae commiscuerunt, ac inde formati homines, qua ce causa intellectu et divina mente praediti. Belus insuper, quem Iovem interpretantur, mediis tenebris dissectis, terram et caelum ab invicem divisit, et mundum ordine composuit, animantibus lucis vim non ferentibus exstinctis. Belus vero desertam quidem regionem, at feracem conspicatus, deorum cuipiam proprium sibi caput amputare praecepit, et stillanti ex se sanguini terram admiscere ac homines et animantia quae aërem sustinerent efformare: ipse tandem astra, solem, lunam et alios quinque planetas perfecit. Haec Polyhistor Alexander Berosum sequutus primo libro refert.

Secundo vero decem Chaldaeorum reges, regnique singulorum tempus, Saros viginti supra centum, id est annorum myriadas quadraginta tres adiunctis duobus millibus ad diluvium usque recenset. Idem enim Alexander Chaldaeorum monumentis eruditus a nono rege Ardate ad decimum Xisu-

ἐπὶ τὸν δέκατον λεγόμενον παρ' αὐτοῖς Ξίσουθρον οὕτως· Ἀρδά-
B του δὲ τελευτήσαντος τὸν υἱὸν αὐτοῦ Ξίσουθρον βασιλεῦσαι σάρους ὀκτωκαίδεκα· ἐπὶ τούτου μέγαν κατακλυσμὸν γενέσθαι. ἀναγεγράφθαι δὲ τὸν λόγον οὕτως· τὸν Κρόνον αὐτῷ κατὰ τὸν ὕπνον ἐπιστάντα φάναι μηνὸς Δαισίου πέμπτῃ καὶ δεκάτῃ τοὺς ἀνθρώπους ὑπὸ κατακλυσμοῦ διαφθαρήσεσθαι. κελεῦσαι οὖν διὰ γραμμάτων πάντων ἀρχὰς καὶ μέσα καὶ τελευτὰς ὀρύξαντα θεῖναι ἐν πόλει ἡλίου Σισπάροις, καὶ ναυπηγησάμενον σκάφος ἐμβῆναι μετὰ τῶν συγγενῶν καὶ ἀναγκαίων φίλων· ἐνθέσθαι δὲ βρώματα καὶ πόματα, ἐμβαλεῖν δὲ καὶ ζῷα πτηνὰ καὶ τετράποδα, καὶ πάντα εὐτρεπισάμενον πλεῖν· ἐρωτώμενον δὲ ποῦ πλεῖ; φάναι, πρὸς τοὺς θεούς· εὐξάμενον ἀνθρώποις ἀγαθὰ γενέσθαι. τὸν δ'
C οὐ παρακούσαντα ναυπηγήσαντα σκάφος τὸ μὲν μῆκος σταδίων πέντε, τὸ δὲ πλάτος σταδίων δύο· τὰ δὲ συνταχθέντα πάντα συνθέσθαι, καὶ γυναῖκα καὶ τέκνα καὶ τοὺς ἀναγκαίους φίλους ἐμβιβάσαι.

Γενομένου δὲ τοῦ κατακλυσμοῦ καὶ εὐθέως λήξαντος τῶν ὀρνέων τινὰ τὸν Ξίσουθρον ἀφιέναι. τὰ δὲ οὐ τροφὴν εὑρόντα οὔτε τόπον ὅπου καθίσαι πάλιν ἐλθεῖν εἰς τὸ πλοῖον. τὸν δὲ Ξίσουθρον πάλιν μετά τινας ἡμέρας ἀφιέναι τὰ ὄρνεα· ταῦτα δὲ πάλιν εἰς τὴν ναῦν ἐλθεῖν τοὺς πόδας πεπηλωμένους ἔχοντα. τὸ

1. οὕτως] Vide Eusebium I, 8, p. 14. 3. ἐπὶ] καὶ ἐπὶ m. 4. ἀναγεγράφθαι A. ἀναγράφεσθαι G. 5. δαισίου A. Δαισία G. Δεσίου m. Conf. p. 38 d. 6. διαφθαρήσεσθαι A. φθαρήσεσθαι G. 7. τελευτὰς ὀρύξαντα A. τελετὰς ὀρέξαντα G. 8. Σισπάροις] Σιππάροις Scaliger p. 8. *Siparis* Eusebius. Eadem diversitas p. 31 a et b. 11. πλεῖν Scaliger. Vulgo πλήν.

thrum sermonis stilum convertens, hoc pacto narrat. Ardate defuncto filius eius Saris octodecim regnum tenuit; eoque regnante contigit diluvium. Hoc autem ordine refertur. Saturnus ei per somnum visus mensis Daesii decimo quinto homines diluvio praedixit exstinguendos. Rerum itaque cunctarum principia media et extrema litteris consignata, et in terram defossa in solis urbe Sisparis reponi, tum navigium compingi iubet, eoque cum amicis et consanguineis conscenso, alto mari sese credere. Obsequitur ille, commeatum omnem parat, cibos et poculenta congerit, animantia quoque volatilia et quadrupeda convehit; mox cunctis ita dispositis rogatus quo navigat? ad deos, inquit, atque ita prospera hominibus precatus est. Divinis itaque monitis obsequutus fabrefecit navigium longitudinis stadiorum quinque, latitudinis duorum: cuncta vero comparata imposuit, uxorem, liberos, amicos adiunxit.

Ingruente tandem diluvio et confestim cessante, volucrum aliquas Xisuthrus emisit, quae non invento cibo, nec loco quo consisterent, rursum in navem sunt reversae. Spatio dierum aliquot interiecto Xisuthrus iterum dimittit aves; illae vero pedibus luto infectis redierunt; tertio vero

δὲ τρίτον ἀφεθέντα οὐκ ἔτι ἐλθεῖν εἰς τὸ πλοῖον. τὸν δὲ Ξίσου-
θρον ἐννοηθῆναι γῆν ἀναπεφηνέναι, διελόντα τε τῶν τοῦ πλοίου D
ῥαφῶν μέρος τι καὶ ἰδόντα προσοκεῖλαν τὸ πλοῖον ὄρει τινὶ ἐκβῆ-
ναι μετὰ τῆς γυναικὸς καὶ τῆς θυγατρὸς καὶ τοῦ κυβερνήτου προσ-
κυνήσαντα τὴν γῆν καὶ βωμὸν ἱδρυσάμενον καὶ θυσιάσαντα τοῖς
θεοῖς γενέσθαι μετὰ τῶν ἐκβάντων τοῦ πλοίου ἀφανῆ. τοὺς δὲ
ὑπομείναντας ἐν τῷ πλοίῳ μὴ εἰσπορευομένων τῶν περὶ τὸν Ξί-
σουθρον ἐκβάντας ζητεῖν αὐτὸν ἐπὶ ὀνόματος βοῶντας. τὸν δὲ
Ξίσουθρον αὐτὸν μὲν αὐτοῖς οὐκ ἔτι ὀφθῆναι, φωνὴν δὲ ἐκ τοῦ
ἀέρος γενέσθαι κελεύουσαν ὡς δέον αὐτοὺς εἶναι θεοσεβεῖς καὶ
παρ᾽ αὐτὸν διὰ τὴν εὐσέβειαν πορεύεσθαι μετὰ τῶν θεῶν οἰκή- P. 31
σοντα. τῆς δὲ αὐτῆς τιμῆς καὶ τὴν γυναῖκα αὐτοῦ καὶ τὴν θυ-
γατέρα καὶ τὸν κυβερνήτην μετεσχηκέναι. εἰπέ τε αὐτοῖς ὅτι
ἐλεύσονται πάλιν εἰς Βαβυλῶνα, καὶ ὡς εἵμαρται αὐτοῖς ἐκ Σι-
σπάρων ἀνελομένοις τὰ γράμματα διαδοῦναι τοῖς ἀνθρώποις,
καὶ ὅτι ὅπου εἰσὶν ἡ χώρα Ἀρμενίας ἐστί. τοὺς δὲ ἀκούσαντας
ταῦτα θῦσαί τε τοῖς θεοῖς καὶ πέριξ πορευθῆναι εἰς Βαβυλῶνα.
τοῦ δὲ πλοίου τούτου κατακλιθέντος ἐν τῇ Ἀρμενίᾳ ἔτι μέρος τι
ἐν τοῖς Κορκυραίων ὄρεσι τῆς Ἀρμενίας διαμένειν, καί τινας
ἀπὸ τοῦ πλοίου κομίζειν ἀποξύοντας ἄσφαλτον, χρᾶσθαι δὲ αὐ-
τὴν πρὸς τοὺς ἀποτροπιασμούς. ἐλθόντας οὖν τούτους εἰς Βαβυ- B

8. βοῶντας m. βοῶντος G. 11. αὐτὸν A. αὐτῶν G. 17. ταῦτα A. αὐτὰ G. πέριξ Scaliger. περιξὶ G. 18. κατακλιθέντος Scaliger. κατακληθέντος G. τι ἐν A. τί αὐτοῦ ἐν G. τι .... ἐν Scaliger.

exclusae navem nulla tenus repetierunt. Coniicit Xisuthrus terram aquis denudatam eminere: tum rupta compagis parte navigium aperit et ad proximum montem impelli se animadvertens, cum uxore, filia et gubernatore exscendit, terram adorat, aram exstruit, diis immolat; quibus peractis cum ipse, tum ii cum quibus exsilierat, haud amplius in terris visi. Non redeuntibus vero Xisuthri comitibus, qui remanserant in navi exscendunt quaerentes et de nomine saepius inclamantes. Xisuthrum quidem conspicuum oculis non habuerunt, vocis tamen et eius loquelae sibi notae sonum, erga deos pietatem et religionem sedulo commendantem, seque ob summum erga numen cultum cum eis deinceps moraturum, eiusdemque honoris uxorem, filiam et navarcham compotes futuros enunciantem clare perceperunt. His subiunxit ille. Ipsos rursus Babylonem profecturos, et ut in fatis est, litteras Sisparis excerptas cunctis hominibus deinceps tradituros, locumque tandem in quo consistebant Armenorum esse regionem. His auditis victimas diis obtulerunt illi ac undequaque congregati confluxerunt Babylonem. Navigii porro in Armeniam impulsi reliquiae hucusque temporis in eiusdem Corcyreis montibus perseverant, ex quibus nonnulli bitumen abrasum deportant ex expiandis quibusque infaustis eo utuntur Illos vero

λῶνα τά τε ἐκ Σισπάρων γράμματα ἀνορύξαι καὶ πόλεις πολλὰς
κτίζοντας καὶ ἱερὰ ἀνιδρυσαμένους πάλιν ἐπικτίσαι τὴν Βαβυ-
λῶνα.

Τούτων δὴ ἀπὸ Ἀλεξάνδρου τοῦ Πολυΐστορος, ὡς ἀπὸ Βη-
ρώσσου τοῦ τὰ Χαλδαϊκὰ ψευδηγοροῦντος, προκειμένων ἔξεστι
τοῖς ὀρθῶς ἐπιβάλλειν βουλομένοις τῇ τῆς Γενέσεως θείᾳ γραφῇ
καὶ τῇ προκειμένῃ Χαλδαϊκῇ τερατολογίᾳ πόσον ἀλλήλων διενη-
V. 25 νόχασι, πῶς τε ἐν τοῖς πλείοσιν ἀντιπίπτειν τοῖς θεοπνεύστοις
C ῥητοῖς, ἐξ αὐτῶν λαβοῦσα τὰς ὅλας ἀφορμάς, καὶ διὰ τῆς τοῦ
ψεύδους ἐπιμιξίας εἰδωλολατρίαν καὶ τῆς κοσμικῆς δημιουργίας
ἄλλην τινὰ κατὰ τὸν χρόνον καὶ τὸν τρόπον δύναμιν παρεισάγειν
ἐπείγεται. φεύγουσα γὰρ εἰπεῖν ὅτι ἐκ τῶν Μωϋσαϊκῶν γραφῶν
κέκλοφε τὰς ἀρχὰς τῆς συγγραφῆς τὸν Ὠάννην τὸ θαλάττιον ζῶον
προβάλλεται, ὅπερ οὐδὲ γέγονέ ποτε οὐδ' ὤφθη τινὶ οὐδ' ὑφέ-
στηκε, καθάπερ οὐδὲ σκίνδαψοι καὶ τραγέλαφοι· καὶ τοῦτό
φησι παραδοῦναι τοῖς ἀνθρώποις, γενέσθαι πω χρόνον ἐν ᾧ τὸ
*Θηβαίων ιϛʹ ἐβασίλευσε Σαῶφις βʹ ἔτη κζʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,γτμγʹ.*

*Θηβαίων ιζʹ ἐβασίλευσε Μοσχερῆς Ἡλιόδοτος ἔτη λαʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,γτοʹ.*

*Θηβαίων ιηʹ ἐβασίλευσε Μοσθῆς ἔτη λγʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,γυαʹ.*

*Θηβαίων ιθʹ ἐβασίλευσε Παμμῆς Ἀρχονδὴς ἔτη λεʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,γυλδʹ.*

*Θηβαίων κʹ ἐβασίλευσεν Ἀπάππους μέγιστος. οὗτος, ὥς φασι, παρὰ ὥραν μίαν ἐβασίλευσεν ἔτη ρʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,γυξθʹ.* C

*Θηβαίων καʹ ἐβασίλευσεν Ἐχεσκοσοκάρας ἔτος αʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,γφξθʹ.*

*Θηβαίων κβʹ ἐβασίλευσε Νίτωκρις γυνὴ ἀντὶ τοῦ ἀνδρός, ὅ ἐστιν Ἀθηνᾶ νικηφόρος, ἔτη ϛʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,γφοʹ.*

7. ἐβασίλευσεν σαώφις AB. ἐβασίλευσεν Σενσαῶφις G. 9. μοσχερῆς B. Μόσχερις G. 11. μοσθῆς B. Μουσθὶς G. 13. παμμῆς ἀρχονδῆς B. Πάμμος Ἀρχόνδης G. 14. ἦν om. B. 18. ἐχεσκοσοκάρας B. ἐχεσκὸς ὀκάρας A. Ἀχεσκὸς Ὀκάρας G. 19. ,γφξθʹ Bm. ,γφζθʹ G. 20. νιτροκὶς B.

mundi 3477 computi seriem usque ad 4070 Iosephum sectati deinceps ordinamus, modo sequente.

Aegyptiorum rex 26 Silites annis 19.

Is est eorum sex primus, qui dynastia 17 apud Manethonem collocantur, anno mundi 3477.

Thebaeorum reges.

Thebaeorum rex 16 Sensaophis secundus annis 27, anno mundi 3343.

Thebaeorum rex 17 Moscheris Heliodotus annis 31, anno mundi 3370.

Thebaeorum rex 18 Musthis annis 33, anno mundi 3401.

Thebaeorum rex 19 Pammus Archondes annis 35, anno mundi 3434.

Thebaeorum rex 20 Apappus Maximus. Hic, aiunt, 100 annis una hora minus regnavit, anno mundi 3469.

Thebaeorum rex 21 regnavit Achescus Ocaras anno 1, anno mundi 3569.

Thebaeis 22 loco imperavit Nictoris femina viri sceptris potita annis sex, haec est Minerva victrix, anno mundi 3570.

Θηβαίων κγʹ ἐβασίλευσε Μυρταῖος Ἀμμωνόδοτος ἔτη κβʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,γφϟηʹ.

D **Σικυωνίων βασιλεῖς.**

Σικυωνίων ϛʹ ἐβασίλευσεν Αἴγυδρος ἔτη λδʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,γυμβʹ.

Σικυωνίων ζʹ ἐβασίλευσε Θουρίμαχος ἔτη μεʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,γυοϛʹ.

Σικυωνίων ηʹ ἐβασίλευσε Λεύκιππος ἔτη νγʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,γφκαʹ.

Σικυωνίων θʹ ἐβασίλευσε Μέσσαπος ἔτη μζʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,γφοδʹ.

Σικυωνίων ιʹ ἐβασίλευσεν Ἔραστος ἔτη μϛʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,γχκαʹ.

P. 105 Τινὲς τὸν αὐτόχθονα Κρῆτα πρῶτον Κρήτης βασιλεῦσαί φασι, κατὰ τόνδε τὸν χρόνον ὃν ἀνωτέρω ἱστορήσαμεν, κατὰ ἄλλους ἐπὶ Νινύα, ἐπισημηνάμενοι ὅτι τε εἷς ἐστι τῶν λεγομένων Κουρήτων καὶ ὅτι Ζεὺς παρ' αὐτῷ κρυβεὶς ἐτράφη καὶ ὅτι ἡ νῆσος Κρήτη πρῶτον ἐξ αὐτοῦ προσηγορεύθη.

V. 84 **ΚΟΣΜΟΥ ΕΤΗ.**

*Γενεὰ κγʹ.*

Ἰακὼβ ἦν ἐτῶν πβʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,γυογʹ.

1. ἀμμονόδοτος B. 2. ,γφοϛʹ m. 5. ,γυμβʹ Bm. ,γυμεʹ G. 6. δὲ om. G. 8. ἦν ἔτος add. B. 10. Scribebatur Μέσαππος. μέσασπος A. 11. ,γφκαʹ B. 12. ἔραστος B. Ἐραστὸς G. 14. Κρῆτα m. ἀκρητὰν B. Κριτᾶν G. Conf. p. 125 d. 15. τόνδε B. δὲ G. ὃν] ὃ B. 17. κουρητῶν B. Κουριτῶν G. κρυβεὶς B. κρυβὸς G. 21. ἦν om. B.

Thebaeorum rex 23 Myrtaeus Ammonodotus annis 22, anno mundi 3576.

**Sicyoniorum reges.**

Sicyoniorum rex 6 Aegydrus annis 34, anno mundi 3442.
Sicyoniorum rex 7 Thurimachus annis 44, anno mundi 3476.
Sicyoniorum rex 8 Leucippus annis 53, anno mundi 3521.
Sicyoniorum rex 9 Messapus annis 47, anno mundi 3574.
Sicyoniorum rex 10 Erastus annis 46, anno mundi 3621.

Cretem inter indigenas numeratum primum Cretae regem quidam asserunt, alii secundum tempus a nobis relatum superius ad Nini aetatem illum revocant et inter Curetes dictos recensitum clam Iovem educasse ac tandem ab eo Cretam insulam primo nomen accepisse subindicant.

**ANNI MUNDI.**

Generatio xxiii.

Iacob aetatis anni 82 ab annis mundi 3473 numerantur.

Κολλυρίδας ποιήσασα Ῥεβέκκα, ὥς φησιν Ἰώσηππος, ἔδωκε B τῷ Ἰακὼβ καὶ εἰσήγαγε μεθ᾽ ἑτέρων δώρων πρὸς Ἰσαάκ. καὶ εὐλόγησεν αὐτὸν Ἰσαὰκ καὶ εὐλογῶν αὐτὸν πολυτρόπως καὶ κατέχων αὐτὸν ἐν τοῖς κόλποις αὐτοῦ ἐτελεύτησεν, ἀφυπνώσαντος τοῦ Ἀβραὰμ τῷ ιε' ἔτει τῆς ζωῆς Ἰακώβ.

Τῷ με' ἔτει Ἰακὼβ Ἡσαῦ καὶ αὐτὸς ὢν ἐτῶν με'. τοῦ δὲ κόσμου ἦν ἔτος ‚γφιβ'. ἔλαβε δύο γυναῖκας, Ἰουδὶθ, τὴν θυγατέρα Βεὴρ τοῦ Χετταίου, καὶ τὴν Βασεμὰθ, θυγατέρα Αἰλὼν τοῦ Εὐαίου, ὥς φησιν ἡ γραφή· καὶ ἦσαν ἐρίζουσαι τῷ Ἰσαὰκ καὶ τῇ Ῥεβέκκᾳ. Ἰσαὰκ δὲ ἦν ἐτῶν ρ', ὥστε μετὰ τὸ ρ' ἔτος ἔκλεψεν Ἰακὼβ τὰς τοῦ Ἡσαῦ εὐλογίας ταῖς μητρικαῖς εἰσηγήσεσι· προεῖχε δὲ αὐτὰς παρὰ τοῦ πατριάρχου Ἀβραάμ, ὡς Ἰώσηππος βεβαιοῦται, καὶ πιστὸς ὁ λόγος. C

Ἰώσηππός φησιν ὅτι ὁ Ἰακὼβ ἐτῶν ὑπάρχων ξγ' οὐκ ἔγνω ὅλως γυναῖκα, ὡς αὐτὸς ἐξεῖπε τῇ μητρὶ Ῥεβέκκᾳ.

Ὁ Ἀφρικανὸς οζ' ἐτῶν λέγει τὸν Ἰακὼβ ἐλθεῖν εἰς Μεσοποταμίαν, ὡς ἐκ τῆς γραφῆς.

Ἡ δὲ γραφὴ οὐδαμοῦ τοῦτο φαίνεται λέγουσα, ἄλλως τε, εἰ τοῦτο δῶμεν, ἔσται ὁ Ἰωσὴφ κατὰ τὸ ϞϚ' τοῦ Ἰακὼβ γεννηθεὶς, ὅπερ ἀδύνατον.

2. πρὸς B. παρὰ G. 3. ἰσαὰκ Bm. Ἀβραὰμ G. εὐλογῶν αὐτῶν B. 6. ἡσαῦ B. Ισαῦ G. 7. ‚γφιη' m. ἔλαβεν δύο B. Ἔλαβεν δὲ δύο G. Conf. Genes. XXVI, 34. Scribebatur Ἰουδήθ. ἰουδεὶν B. 8. Αἰλὼν] Ἐλὼν m. 10. τὴν ῥεβέκκα A. ρ', ὥστε] ρι' ὥστε G. μετὰ B. καὶ μετὰ G. 11. ἰακὼβ B. ὁ Ἰακὼβ G. ἡσαῦ B. Ισαῦ G. 16. οζ' ἐτῶν λέγει τὸν ἰακὼβ ἐλθεῖν B. Ἑβδομήκοντα ἑπτὰ ἐτῶν λέγεται ἐλθεῖν τὸν Ἰακὼβ G. 18. φαίνεται τοῦτο G.

Pinsas a se collyridas, scriptore Iosepho, Rebecca dedit Iacob aliaque dona simul oblaturum induxit ad Isaac. Benedixit ille Iacob, variisque votis cumulatum sinu complexus occubuit, cum prius Abraham Iacob anno decimo quinto decessisset.

Annus Iacob 45 fuit idem Esau 45, mundi vero 3518.

Esau duas uxores duxit, Iudeth, Beer Chetaei filiam, et aliam Basemath, ex Elon Evaeo natam, ut asserit scriptura, illaeque Isaac et Rebeccam rixis lacessebant. Isaac iam annum centesimum attigerat atque ita benedictiones Esau maternis hortatibus post Isaac annum centesimum Iacob surripuit; eas tamen, teste Iosepho, ac fideli relatione suffragante, a patriarcha Abraham prius obtinuerat.

Iacob sexaginta tribus annis iam provectum, ipsomet hoc matri Rebeccae referente, feminam nulla tenus cognovisse, scribit Iosephus.

Ex Africano.

Iacob septuaginta septem annis iam natum in Mesopotamiam profectum, quasi ex scripturae verbis referunt.

Nusquam scripturam hoc docere legimus; alias hoc concesso Ioseph anno patris Iacob 96 natum affirmabimus, quod omnino repugnat.

D Τῷ ογ' ἔτει τοῦ Ἰακώβ, τοῦ δὲ κόσμου ͵γφμε', κατὰ τὸν ἀκριβῆ λόγον τῆς ἑαυτοῦ ζωῆς ἀπέδρα ὁ Ἰακώβ, καὶ δουλεύσας ἔτη ζ' ἔλαβε τὴν Λείαν καὶ ἐγέννησε τὸν Ῥουβὴν τῷ π' ἔτει καὶ τὸν Συμεὼν τῷ πα', τὸν δὲ Λευὶ τῷ πβ', τὸν Ἰούδαν τῷ πγ', τὸν Δὰν τῷ πέ, τὸν Νεφθαλεὶμ τῷ πς', τὸν Γὰδ τῷ πζ', τὸν Ἀσὴρ τῷ πη', τὸν Ἰσσάχαρ τῷ πθ', τὸν Ζαβουλὼν καὶ τὴν Δεῖναν ἐκ Λείας τῷ ϟ', τὸν Ἰωσὴφ ἐκ τῆς Ῥαχὴλ τῷ ϟα'. καὶ ἔμεινε παρὰ τῷ Λάβαν ἄλλα δύο ἔτη, τῷ ϟγ' ἀπέδρα ἀπὸ τοῦ οἴκου Λάβαν. τινὲς βεβαιοῦνται ὡς ἐκ τῆς γραφικῆς ἀκολουθίας ὅτι μετὰ τὸ λαβεῖν τὴν Ῥαχὴλ τὸν Ἰακὼβ ἤρξατο τίκτειν ἡ Λεία.
P. 106 ἐπεὶ πῶς ε' ἐστιν ὁ Δὰν ἀπὸ Βαλλᾶς παιδίσκης Ῥαχήλ, καὶ ς' ὁ Νεφθαλεὶμ, ἐὰν ἀπὸ α' ἔτους Λείας ἐγένοντο, εἶτα ζ' ὁ Γὰδ ἀπὸ Ζελφᾶς, καὶ οἱ ἐφεξῆς; Ἰώσηππος λέγει ζ' ἡμέρας τὸν Ἰακὼβ δουλεῦσαι τῷ Λάβαν μετὰ τὸν γάμον Λείας, καὶ μετὰ τὰς ζ' ἡμέρας λαβεῖν τὴν Ῥαχήλ, καὶ μετὰ ταῦτα εἶναι παρὰ τῷ Λάβαν ἕως τῆς ἀναχωρήσεως αὐτοῦ.

Οὔτε κατὰ τὸν Ἀφρικανόν μοι δοκεῖ δυνατὸν εἶναι τὸν Λευὶ γεννηθῆναι τῷ πζ' ἔτει τοῦ Ἰακὼβ οὔτε κατὰ τὸν Εὐσέβιον τῷ αὐτῷ πζ'. εἰ γὰρ ὁ Ἰωσὴφ μ' ἐτῶν ἦν τῷ ρλ' ἔτει τοῦ Ἰακώβ, ἡνίκα κατῆλθε πρὸς αὐτὸν εἰς Αἴγυπτον, ἀνάγκη πᾶσα τὸν Ἰακὼβ ϟα'
B αὐτοῦ ἔτει γεννῆσαι τὸν Ἰωσὴφ ἐκ τῆς Ῥαχήλ. ὁ δὲ Λευὶ ὁμολο-

2. ὁ om. G. 3. λεῖαν Bm. Λίαν G. Ῥουβὴν m. Ῥουβὶν G. 6. ἰσσάχαρ Bm. Ἰσάχαρ G. Δεῖναν] Scribebatur Δεῖνα. δεῖνα B. 10. λεῖα AB. 11. βαλλὰς B. 12. εἶτα καὶ G. 14. τῷ B. τὸν G. 21. ἔτει add. B.

Anno Iacob 73, mundi vero 3545, prout accuratior temporis fert ratio, Iacob paterna domo excessit, et annis septem in servitute exactis Liam uxorem duxit et genuit Ruben anno aetatis 80, Symeon sequenti 81, Levi 82, Iudam 83, Dan 85, Nephthalim 86, Gad 87, Aser 88, Isachar 89, Zabulom et Dinam ex Lia 90. Ioseph ex Rachel suscepit 91. Aliisque duobus annis apud Laban mansit, e cuius domo annum agens 93 aufugit. Quidam quasi ex consentientibus scripturae verbis ducta Rachel in uxorem, Liam primum foetus suos concepisse affirmant; alias, quomodo Dan ex Bala Rachel ancilla quintus et Nephthalim sextus foret, ac deinde septimus Gad ex Zelpha et reliqui deinceps, si iam a primo Liae anno in lucem prodiissent? Iacob Lia in uxorem ducta Laban serviisse Iosephus asserit, et elapsis septem diebus accepisse Rachel ac deinde usque ad discessum apud Laban mansisse.

At nec secundum Africanum fieri posse videtur, ut Iacob annum 87 agenti natus fuerit Levi, in quam sententiam Eusebius ivisse legitur. Nam si posuerimus Ioseph annorum fuisse quadraginta patris sui Iacob centesimo et trigesimo, cum nimirum ad eum in Aegyptum divertit; eundem cum genuit Ioseph ex Rachel 91 attigisse necessario sequitur. Levi vero

ουμένως πρὸ Ἰωσὴφ θ' ἔτεσιν, ἢ τοὐλάχιστον η' προγεγενημένος ἦν οὕτως

α' Λευὶ ἔτος α' τοῦ τρίτου υἱοῦ Λείας.
β' Ἰούδας μετὰ Λευὶ τέταρτος υἱὸς Λείας.
γ' Δὰν ἐκ Βαλλᾶς παιδίσκης Ῥαχήλ. V. 85
δ' Νεφθαλεὶμ ἐκ τῆς αὐτῆς Βαλλᾶς.
ε' Γὰδ ἐκ Ζελφᾶς παιδίσκης Λείας.
ϛ' Ἀσὴρ ἐκ τῆς αὐτῆς Ζελφᾶς.
ζ' Ἰσσάραχ πέμπτος υἱὸς Λείας.
η' Ζαβουλὼν ἕκτος υἱὸς Λείας.
θ' Δεῖνα θυγάτηρ Λείας.
ι' Ἰωσὴφ πρῶτος υἱὸς Ῥαχήλ.

Ἰδοὺ δὴ φανερὸν ὅτι ἐκ τῶν ϟα' ἐτῶν τοῦ Ἰακὼβ ἀφαιρου- C μένων θ', ἀναστρεφόντων ἡμῶν ἀπὸ τοῦ Ἰωσὴφ ἐπὶ τὸν Λευὶ πβ' ὑπολειφθήσονται· καλῶς ἄρα ἡμῖν ἐστοιχείωται ὁ Λευὶ τῷ πβ' ἔτει τοῦ Ἰακὼβ γεννηθείς.

## Γενεὰ κδ'.

Λευὶ ἔτη μζ', τοῦ δὲ κόσμου ἦν ἔτος ͵γφνε'.

1. πρὸ B. παρὰ A. περὶ G. προγεγενημένος m. προγεγεννημένος B. προσγεγενημένος G. 2. οὕτως m. οὗτος G. 5. δὰν B. Δᾶν G. 5 et 6. βάλλας B. 7. ἐκ τῆς G. 7 et 8. ζελφὰς B. 11. δεῖνα B. δεῖνα A. Δίνα G. 13. ἀφαιρουμένων Bm. ἀφαιρούμενον G. 15. ἡμῖν ἄρα G.

novem aut ad minus annis octo ante Ioseph lucem adspexisse, apud omnes seriem sequentem hanc contemplaturos erit in confesso.

1. Levi tertii Liae filii primus annus.
2. Iudas quartus Liae filius Levi minor.
3. Dan ex Bala Rachel ancilla natus.
4. Nephthalim ex eadem Bala.
5. Gad ex Zelpha Liae ancilla.
6. Azer ex eadem Zelpha.
7. Isachar Liae filius quintus.
8. Zabulon Liae filius sextus.
9. Dina Liae filia.
10. Ioseph Rachel primus filius.

En ut ex Iacob annis 91, si novem subtraxerimus et a Ioseph versus Levi retro ierimus, quam manifeste 82 relinquentur. Vides quam recte Iacob anno 82 Levi primas lucis auras hausisse a nobis fuerit constitutum.

## Generatio XXIV.

Anni Levi 47 a mundi 3555 incipiunt.

### Ἀφρικανοῦ.

Ἀπὸ Ἀδὰμ τοίνυν ἐπὶ τὴν τελευτὴν Ἰωσὴφ ἐκ τῆσδε τῆς βίβλου γενεαὶ μὲν κγ', ἔτη δὲ ͵γφξγ'.

D Διαμαρτάνει προφανῶς ἔτη ρι'. τῷ γὰρ ͵γφξγ' ἔτει τοῦ κόσμου ἐγεννήθη Ἰωσὴφ, ὡς ὑπόκειται. τῷ θ' ἔτει τῆς ζωῆς τοῦ Λευὶ ἐγέννησε Ῥαχὴλ τὸν Ἰωσὴφ τῷ Ἰακώβ. ἦν δὲ τῆς ζωῆς Ἰακὼβ ἔτος ϟα', κόσμου δὲ ͵γφξγ'.

Πρῶτον ἔτος τῆς ζωῆς Ἰωσὴφ, τοῦ δὲ κόσμου ἦν ἔτος ͵γφξγ'.

Τῷ ϟγ' ἔτει Ἰακὼβ, ια' δὲ τοῦ Λευὶ καὶ γ' τοῦ Ἰωσὴφ ἀπέδρα Ἰακὼβ ἀπὸ Μεσοποταμίας, καὶ τῷ ἀδελφῷ συντυχὼν δώροις κατήλλαξε. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γφξε'.

P. 107 Ὁ Ἰακὼβ Ἰσραὴλ μετεκλήθη διαβαίνων τὸν Ἰορδάνην, καὶ ἐπευλογήθη ιβ' ἔτει τοῦ Λευί. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γφξς'.

Ἰακὼβ ἀποδεκατώσας τὰ ἑαυτοῦ τὸν Λευὶ ιη' ἐτῶν ὄντα ἀρχιερέα ἀνέδειξεν, ι' ὄντα ἀπὸ τοῦ ἐσχάτου κατὰ τὸν τῆς ἀναστροφῆς λόγον. Ῥουβὴν γὰρ διὰ τὴν παλλακὴν τοῦ πατρὸς αὐτοῦ ἐστερήθη βασιλείας καὶ ἱερωσύνης, πρωτότοκος ὢν, ἔτει κοσμικῷ ͵γφοβ'.

Ῥαχὴλ ἐν τῷ τίκτειν τὸν Βενιαμὶν ἐτελεύτησε, καὶ ἐτάφη μεταξὺ Βηθλεὲμ καὶ Ἱερουσαλὴμ εἰς τὸν ἱππόδρομον. ἦν δὲ τοῦ B Λευὶ ἔτος κα'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γφοε'. ταύτης ἐγὼ τὴν

2. ἐκ m. καὶ G. 4. διαμαρτάνη A. τῷ γὰρ B. τῷ γὰρ αὐτῷ G. 9. Ἰακὼβ] τοῦ Ιακὼβ G. 13. ἔτει add. B. 14. Ο Ιακὼβ G. 15. τῆς add. B. 16. ῥουβὶμ A. 17. ἱεροσύνης B. 19. βενιαμὴν B.

### Ex Africano.

Ab Adamo igitur usque ad obitum Ioseph ex hoc quidem libro generationes 23, anni vero 3563 numerantur.

Aberrat aperte annis 110. Anno siquidem mundi 3563 Ioseph ortus est, prout sequitur. Anno Levi 9 Iacob suscepit Ioseph ex Rachel, aetatis suae 91, mundi ter millesimo quingentesimo sexagesimo tertio.

Annus primus Ioseph fuit mundi ter millesimus quingentesimus sexagesimus tertius.

Iacob aetatis anno 93, undecimo Levi, Ioseph tertio, fugit e Mesopotamia; fratremque obviam factum donis placavit; anno mundi ter millesimo quingentesimo sexagesimo quinto.

Iacob Iordanem traiecturus Israël cognominatus est, tunc ei bene precatus est angelus anno Levi duodecimo, mundi 3566.

Iacob decimam bonorum suorum partem deo oblaturus, Levi annos 18 natum, filiorum ordine retrogrado decimum, pontificem declaravit. Ruben enim, quamvis primogenitus, ob incestuosam cum patris pellice copulam, regno sacerdotioque excidit anno mundi 3572.

Rachel, dum pareret Beniamin, mortua est et inter Bethlehem et Hierusalem ad Hippodromum sepulta. Levi vero iam 21 aetatis annum atti-

λάρνακα τῆς γῆς ὑπερκειμένην πολλάκις ἐκεῖσε παροδεύων ἐπὶ Βηθλεὲμ καὶ τὴν παλαιὰν λεγομένην λαύραν τοῦ ὁσίου Χαρίτωνος ἑώρακα.

Ἰωσὴφ ὑπὸ τῶν ἀδελφῶν διὰ φθόνον ἐπράθη ἑπτακαιδέκατον ἔτος ἄγων, μετὰ ε' ἔτος τῆς τελευτῆς Ῥαχὴλ, ἐπισήμως ὑπὸ θεοῦ ἐνυπνιαζόμενος, καὶ ὑπὸ τοῦ πατρὸς διὰ πολλὴν φρόνησιν ἀγαπώμενος. τοῦ δὲ κόσμου ἦν ἔτος ,γφοθ'.

Τῷ ,γφπθ' ἔτει τοῦ κόσμου, τοῦ δὲ Λευὶ λε', Ἰωσὴφ καθείρχθη ἐν τῷ δεσμωτηρίῳ.

Τῷ τριακοστῷ ὀγδόῳ ἔτει τῆς ζωῆς Λευὶ, ρκ' τοῦ Ἰακὼβ, C τοῦ δὲ κόσμου ,γφϟβ', Ἰωσὴφ ἐπὶ τῆς ἀρχῆς Αἰγύπτου ἀναβιβάζεται, ὅπερ ἦν τῆς μὲν τοῦ Ἰωσὴφ ἔτος λ', ὥς φησιν ἡ γραφὴ, Ἀφώφεως δὲ τῆς βασιλείας, τοῦ καὶ Φαραὼ, ἔτος ιζ'. εἰσὶν οὖν τὰ τῆς ἐν Αἰγύπτῳ εὐθηνίας ἔτη ζ' ἀπὸ τοῦ λα' ἔτους Ἰωσὴφ, λθ' τοῦ Λευὶ, ρκα' Ἰακώβ. τῷ δὲ λη' Ἰωσὴφ ἤρξατο ἡ λιμὸς καὶ μετὰ δύο ἔτη κατῆλθεν Ἰακὼβ εἰς Αἴγυπτον, ρλ' ἔτει αὐτοῦ, τοῦ δὲ Ἰωσὴφ μ'.

Τῷ ρκ' ἔτει τοῦ Ἰακὼβ ἐτελεύτησεν Ἰσαὰκ ὁ πατὴρ αὐτοῦ ζήσας ἔτη ρπ'. ἐτάφη δὲ ὑπὸ Ἰακὼβ καὶ Ἡσαῦ τῶν παίδων αὐτοῦ. V. 86

Ἡ ποιμενικὴ σκηνὴ τοῦ Ἰακὼβ ἐν Ἐδέσῃ σωζομένη κατὰ D τοὺς χρόνους Ἀντωνίνου Ῥωμαίων βασιλέως διεφθάρη κεραυνῷ,

2. λεγομένην om. G. 8. ἔτει om. G. 13. τῆς om. G. φαραῶ constanter AB. 14. τὰ τῆς B. ταύτης G. 15. ἡ λιμὸς B. ὁ λιμὸς A. Articulum om. G. Conf. p. 109 d. 119 a. 111 d. 16. ἔτει] ἔτη A. 18. ἰσαὰκ B. ὁ Ἰσαὰκ G. 19. ὑπὸ] ἀπὸ G. ἠσαῦ B. Ἰσαῦ G. 21. ῥωμαίων βασιλέως B. βασιλέως Ῥωμαίων G. κεραυνῶν G.

gerat, anno mundi 3575. Huius ego tumulum terra exstantem versus Bethlehem et antiquam B. Charitonis Lauram iter faciens conspexi.

Ioseph annum agens decimum septimum a matris Rachel obitu anno quinto, insignibus revelationibus per somnum ei datis, ac propterea ob singularem prudentiam a patre dilectus, a fratribus per invidiam venundatus est, anno mundi 3579.

Anno mundi 3589, Levi vero 35, Ioseph carceris ergastulo detentus est.

Anno aetatis Levi 38, Iacob 120, mundi 3592, Ioseph ad Aegypti imperium est evectus; erat autem Ioseph ipsius, teste scriptura, trigesimus annus, regni Aphophis, qui et Pharao dictus, anno 17. Numerantur itaque fertilitatis Aegyptiacae anni septem a Ioseph 31, Levi 39, Iacob 121. Incepit autem fames Ioseph 38, et elapsis duobus annis descendit Iacob in Aegyptum aetatis 130, Ioseph vero 40.

Anno Iacob vigesimo supra centesimum Isaac pater eius aetatis 180 defunctus est, et a filiis Iacob et Esau sepulturae mandatus.

Pastorale Iacob tentorium Edessae usque ad Antonini Romanorum Im-

ὥς φησιν ὁ Ἀφρικανὸς, ἕως τῶν χρόνων αὐτοῦ Ἀντωνίνου ἱστορήσας.

Ἰακὼβ ἀπαρεσθεὶς τοῖς ὑπὸ Συμεὼν καὶ Λευὶ πραχθεῖσιν ἐν Σικίμοις διὰ τὴν τῆς ἀδελφῆς φθορὰν εἰς τοὺς ἐπιχωρίους, θάψας ἐν Σικίμοις οὓς ἐφέρετο θεοὺς παρὰ τὴν πέτραν ὑπὸ τὴν θαυμασίαν τερέβινθον, ἥτις μέχρι νῦν εἰς τιμὴν τῶν πατριαρχῶν ὑπὸ τῶν πλησιοχώρων τιμᾶται, μετῆρεν εἰς Βαιθήλ· ταύτης παρὰ πρέμνον βωμὸς ἦν, ὥς φησιν ὁ Ἀφρικανὸς, τῆς τερεβίνθου, ἐφ᾽ ὃν τὰς ἐκτενὰς ἀνέφερον ἐν ταῖς πανηγύρεσι τῆς
P. 108 χώρας ἔνοικοι, ἡ δ᾽ οὐ κατεκαίετο δοκοῦσα πίπρασθαι. παρὰ ταύτην ὁ τάφος Ἀβραὰμ καὶ Ἰσαάκ. φασὶ δέ τινες ῥάβδον εἶναί τινος τῶν ἐπιξενωθέντων ἀγγέλων τῷ Ἀβραὰμ φυτευθεῖσαν αὐτόθι.

## Τῆς Γενέσεως.

Τῷ Ἡσαῦ ἔφη ἐν ταῖς εὐλογίαις ὁ Ἰσαάκ, ἔσται δὲ ἡνίκα ἂν καθέλῃς καὶ ἐκλύσῃς τὸν ζυγὸν αὐτοῦ ἀπὸ τοῦ τραχήλου σου. [πλημμελήσῃς εἰς θάνατον].

## Ἰωσήππου.

Τῷ ρνγ´ ἔτει τοῦ Ἰσαὰκ ἐπανῆλθεν Ἰακὼβ πρὸς αὐτὸν ἀπὸ

7. ἐντεῦθεν μετῆρεν m. βαιθὴλ B. Βεθὴλ G. 8. παρὰ πραίμνον B. παρὰ τὸ πρέμνον G. 10. πιπρᾶσθαι G. πηπρᾶσθαι B. πιμπρᾶσθαι m. 12. φυτεύθησαν B. 14. Γενέσεως] XXVII, 40. 15. ἡσαῦ B. Ισαῦ G. 16. ἐκλύσεις AB. 17. πλημμελήσῃς εἰς θάνατον seclusi. 19. ἔτει om. G. ἀπὸ] ἐκ G.

peratoris tempora servatum fulmine deiectum est, ut testis est Africanus, qui ad imperium usque Antonini deduxit historiam.

Tristatus Iacob de caede Sichimorum a Symeone et Levi sororis Dinae stuprum ulturis perpetrata, cum patrios illius gentis deos a suis coli non ferret, ad petram sub mirabili terebintho, quae usque in hunc diem ab incolis in honore est, simulacra cuncta sepelivit ac inde migravit in Bethel. Ante terebinthi istius stipitem erat exstructum altare, scribit Africanus, ad quod protensas et humiles ex ecclesiae more preces celebrioribus festis et populi conventibus fundebant regionis incolae; terebinthus autem licet arderet, nihil tamen damni patiebatur.

Ad eam Abraham et Isaac sepulcra posita. Baculum unius ex angelis hospitio receptis ab Abraham eius ibi manu plantatum quidam esse affirmant.

## Ex Genesi.

Inter benedictiones Esau enunciavit istam Isaac: veniet tempus que excutias et solvas iugum de cervicibus tuis.

## Ex Iosepho.

Anno patris Isaac 153 Iacob ad eum e Mesopotamia reversus est, et

Μεσοποταμίας. καὶ ἀναβλέψας Ἰσαὰκ καὶ ἰδὼν τοὺς υἱοὺς Ἰακὼβ ηὐλόγησε τὸν Λευὶ ὡς ἀρχιερέα καὶ τὸν Ἰούδαν ὡς βασιλέα B καὶ ἄρχοντα. ἡ Ῥεβέκκα ᾔτησε τὸν Ἰσαὰκ ἐν τῷ γήρᾳ παραινέσαι τῷ Ἡσαῦ καὶ τῷ Ἰακὼβ ἀγαπᾶν ἀλλήλους. καὶ παραινέσας αὐτοῖς προεῖπεν ὅτι ἐὰν ἐπαναστῇ τῷ Ἰακὼβ ὁ Ἡσαῦ, εἰς χεῖρας αὐτοῦ πεσεῖται. μετὰ οὖν τὸ τελευτῆσαι τὸν Ἰσαὰκ κινηθεὶς ὑπὸ τῶν υἱῶν ὁ Ἡσαῦ καὶ ἀθροίσας ἔθνη ἦλθε κατὰ τοῦ Ἰακὼβ καὶ τῶν υἱῶν αὐτοῦ εἰς πόλεμον. Ἰακὼβ δὲ ἀποκλείσας τὰς πύλας τῆς βάρεως παρεκάλει τὸν Ἡσαῦ μνησθῆναι τῶν γονικῶν ἐντολῶν. τοῦ δὲ μὴ ἀνεχομένου, ἀλλ' ὑβρίζοντος καὶ ὀνειδίζοντος, βιασθεὶς Ἰακὼβ ὑπὸ τοῦ Ἰούδα ἐνέτεινε τόξον καὶ πλήξας κατὰ τοῦ δεξιοῦ μαζοῦ τὸν Ἡσαῦ κατέβαλε. τοῦ δὲ θανόντος C ἀνοίξαντες τὰς πύλας οἱ υἱοὶ Ἰακὼβ ἀνεῖλον τοὺς πλείστους.

Ταῦτα ἐν λεπτῇ Γενέσει φέρεται.

Λευὶ ἐγέννησε τὸν Καὰθ μζ' ἔτος ἄγων. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γχβ'.

## Ἀσσυρίων βασιλεῖς.

Ἀσσυρίων θ' ἐβασίλευσε Βήλωχος ἔτη λε'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γφμα'.

Ἀσσυρίων ι' ἐβασίλευσε Βαλαιὸς ἔτη νβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γφοϛ'.

1. καὶ ἰδὼν B. εἶδεν G. 3. Vulgo γήρει. 6. τὸ om. G. μνηθεὶς G. 7. ὁ add. B. 8. υἱὸν B. 10. ἀλλ' ὀνειδίζοντος καὶ ὑβρίζοντος G. 13. οἱ om. B. 15. καὰκ B. ἦν om. B.

coniectis oculis Iacob filios animadvertit, et Levi tanquam pontifici, Iudae ceu regi principique bene precatus est. Ab Isaac iam senectute confecto postulavit Rebecca, ut Esau et Iacob ad fraternum mutuumque amorem suis monitis hortaretur. Ille conciliata inter eos pace vaticinium subiunxit ac Esau, ne in potestatem Iacob incidat, ab insultibus in fratrem deterruit. Isaac vita functo irritatus a liberis Esau, collecta populorum vicinorum manu, Iacob eiusque filios bello lacessebat. Iacob occlusis castrorum portis fratrem, ut paternorum memor esset monitorum, exorabat. Eo preces non ferente, quin imo conviciis et iniuriis precantem appetente, Iacob a Iuda provocatus tetendit arcum ac sub dextera mamilla vulneratum Esau deiecit in terram; eoque sublato portas aperuere filii Iacob et plures eorum gladiis confecerunt.

Haec in parva Genesi narrantur.

Levi aetatis 49 genuit Caath, anno mundi 3602.

## Assyriorum reges.

Assyriorum rex 9 Belochus annis 35, anno mundi 3541.

Assyriorum rex 10 Balaeus annis 52, anno mundi 3576.

D Ἀσσυρίων ια' ἐβασίλευσε Σέθως ἔτη ν'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γχλζ'.

Ἀσσυρίων ιβ' ἐβασίλευσε Μαμυθὸς ἔτη λ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γχξ'.

### Αἰγυπτίων βασιλεῖς.

Αἰγυπτίων κζ' ἐβασίλευσε Βαίων ἔτη μδ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γυϟϛ'.

V. 87 Αἰγυπτίων κη' ἐβασίλευσεν Ἀπαχνᾶς ἔτη λϛ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γφμ'.

Αἰγυπτίων κθ' ἐβασίλευσεν Ἄφωφις ἔτη ξα'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γφοϛ'.

P. 109 Τοῦτον λέγουσί τινες πρῶτον κληθῆναι Φαραώ, καὶ τῷ τετάρτῳ ἔτει τῆς βασιλείας αὐτοῦ τὸν Ἰωσὴφ ἐλθεῖν εἰς Αἴγυπτον δοῦλον. οὗτος κατέστησε τὸν Ἰωσὴφ κύριον Αἰγύπτου καὶ πάσης τῆς βασιλείας αὐτοῦ, τῷ ιζ' ἔτει τῆς ἀρχῆς αὐτοῦ ἡνίκα καὶ τὴν τῶν ὀνείρων διασάφησιν ἔμαθε παρ' αὐτοῦ, καὶ τῆς θείας συνέσεως αὐτοῦ διὰ πεῖρας γέγονεν. ἡ δὲ θεία γραφὴ καὶ τὸν ἐπὶ τοῦ Ἀβραὰμ βασιλέα Αἰγύπτου Φαραὼ καλεῖ.

### Θηβαίων βασιλεῖς.

Θηβαίων κδ' ἐβασίλευσεν Οὐοσιμάρης κραταιός, ὅ ἐστιν ἥλιος,
B ἔτη ιβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γφϟη'.

1. ν'] λβ' m. 2. ,γχλζ B. ,γχλϛ' A. ,γχκη' G. 6. ἦν om. B. 8. ἀπαχνὰς B. 9. ἦν om. B. 15. καὶ add. m. 18. Αἰγύπτου om. G. 20. Οὐοσιμάρης Iablonskius. Θυοσίμαρης A. Θυωσίμαρης B.

Assyriorum rex 11 Sethos annis 32, anno mundi 3628.
Assyriorum rex 12 Mamythus annis 30, anno mundi 3660.

### Aegyptiorum reges.

Aegyptiorum rex 27 Baeon annis 44, anno mundi 3496.
Aegyptiorum rex 28 Apachnas annis 36, anno mundi 3540.
Aegyptiorum rex 29 Aphophis annis 61, anno mundi 3576.

Hunc quidem Pharaonis nomine primo dictum et regni eius anno quarto Ioseph servi specie in Aegyptum venisse volunt. Hic universae Aegypti regni dominum Ioseph constituit anno imperii 17, percepta nimirum ab eo somniorum expositione et sumpto de divina eiusdem eruditione experimento. Divina nihilo secius scriptura alium Pharaonem Abrahae tempore vocatum testatur.

### Thebaeorum reges.

Thebaeorum rex 24 Thyosimares Robustus, qui dicitur sol, annis 12, anno mundi 3598.

*Θηβαίων κε' ἐβασίλευσε Θίνιλλος, ὅ ἐστιν αὐξήσας τὸ πάτριον κράτος, ἔτη η'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γχι'.*

*Θηβαίων κϛ' ἐβασίλευσεν Σεμφρουκράτης, ὅ ἐστιν Ἡρακλῆς Ἁρποκράτης, ἔτη ιη'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γχιη'.*

*Θηβαίων κζ' ἐβασίλευσε Χουθὴρ Ταῦρος τύραννος ἔτη ζ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γχλϛ'.*

*Θηβαίων κη' ἐβασίλευσε Μευρὴς Φιλόσκορος ἔτη ιβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γχμγ'.*

*Θηβαίων κθ' ἐβασίλευσε Χωμαεφθὰ κόσμος Φιλήφαιστος ἔτη* C *ια'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γχνε'.*

*Θηβαίων λ' ἐβασίλευσε Σοικουνιόσοχος τύραννος ἔτη ξ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γχξϛ'.*

## *Σικυωνίων βασιλεῖς.*

*Σικυωνίων ια' ἐβασίλευσε Πλημναῖος ἔτη ν'. κατὰ δὲ ἄλλους μη'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γχξζ'.*

*Σικυωνίων ιβ' ἐβασίλευσεν Ὀρθόπολις ἔτη ξγ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γψιζ'.*

*Σικυωνίων ιγ' ἐβασίλευσεν Ἐχυρεὺς ἔτη νε'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γψπ'.*

1. *θίριλλος* A. *σεθίνιλος* B. 2. *ἦν* om. B. 5. *Χουσθερταῦρος* Iablonskius. 6 et 8. *ἔτος* add. B. 9. *χωμαεφθὰ* B. *Χομαεφθὰ* G. *Φιλήφαιστος* Salmasius. *Φιλέφαιστος* G. *φιλέφεστος* A. 10. *γχνε'* Bm. *γνε'* G. 11. *συκούνιος ὀχοτύραννος* A. *σοικούνιος ὀχοτύραννος* B. *Αγκούνιος Οχοτύραννος* G. 12. *ἔτος* add. B. 15. *ἔτος* add. B. 17 et 18. *ἦν ἔτος* add. B.

Thebaeorum rex 25 Thinillus, qui dicitur augens patrium imperium, annis 8, anno mundi 3610.
Thebaeorum rex 26 Semphrucrates, qui et Hercules Arpocrates, annis 18, anno mundi 3618.
Thebaeorum rex 27 Chuter Taurus tyrannus annis 7, anno mundi 3636.
Thebaeorum rex 28 Meures Philoscorus annis 12, anno mundi 3643.
Thebaeorum rex 29 Chomaephtha, Mundus Philephaestus, annis 11, anno mundi 3655.
Thebaeorum rex 30 Ancunius Ochytyrannus annis 60, anno mundi 3666.

## Sicyoniorum reges.

Sicyoniorum rex 11 Plemnaeus annis 50, at ut alii volunt 48, anno mundi 3667.
Sicyoniorum rex 12 Orthopolis annis 63, anno mundi 3717.
Sicyoniorum rex 13 Echireus annis 55, anno mundi 3780.

D

## ΚΟΣΜΟΥ ΕΤΗ.

### Γενεὰ κέ.

Καὰθ ἔτη ξ´. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γχβ´.

Τῷ δευτέρῳ ἔτει τῆς λιμοῦ κατῆλθον οἱ ἀδελφοὶ Ἰωσὴφ εἰς Αἴγυπτον, ὅπερ ἦν τοῦ Ἰωσὴφ λθ´ ἔτος, τοῦ δὲ Ἰακὼβ ρκθ´, τοῦ δὲ Λευὶ μζ´, κόσμου δὲ ͵γχα´. προσελθόντες δὲ ἀγοράσαι σῖτον διεγνώσθησαν ὑπ᾽ αὐτοῦ ἀγνοούμενοι, καὶ αἰτιαθέντες κατασκοπεῖν ὅμηρον κατέλιπον τὸν Συμεὼν μετὰ πολλὰς ἀπολογίας· ἐν οἷς τὰ κατὰ τὸν Βενιαμὶν καὶ τὸ κόνδυ, ὅ ἐστιν εἶδος ποτηρίου, καὶ ὁ ἀναγνωρισμὸς τοῦ Ἰωσὴφ πρὸς αὐτούς.

P. 110 Τῷ α´ ἔτει τῆς ζωῆς Καὰθ, ὅπερ ἦν τοῦ μὲν Ἰακὼβ ρλ´, τοῦ δὲ Λευὶ μη´, κατῆλθεν Ἰακὼβ εἰς Αἴγυπτον πρὸς Ἰωσήφ, ὥς φησιν ἡ θεία γραφὴ ὅτι, εἶπε δὲ Ἰακὼβ τῷ Φαραώ, αἱ ἡμέραι τῶν ἐτῶν τῆς ζωῆς μου ἃς παροικῶ ρλ´ ἔτη. Ἰωσὴφ δὲ ἦν ἐτῶν μ´.

Τῷ αὐτῷ ρλ´ ἔτει τοῦ Ἰακὼβ διότι, ὥς φασιν οἱ περὶ τὸν Ἀφρικανόν, ο´ ἔζησεν Ἰωσὴφ ἔτη μετὰ τὸ παροικῆσαι τὸν Ἰακὼβ ἐν Αἰγύπτῳ, τὸ ζ´ καὶ τελευταῖον ἔτος τῆς λιμοῦ, τὸ ε´ ἔτος Καάθ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γχϛ´.

V. 88 Ἰακὼβ ἐν τῷ καιρῷ τῆς τελευτῆς αὐτοῦ προτυπῶν τὸ ζωο- B ποιὸν τοῦ σταυροῦ σημεῖον, τοὺς υἱοὺς Ἰωσὴφ σταυροειδῶς εὐ-

1. κόσμου Bm. ΚΟΣΜΙΚΟΥ G. 3. ἦν ἔτος add. B. 5. τοῦ μὲν Ιωσὴφ G. 6. κόσμου B. κοσμικοῦ G. 9. βενιαμὴν B. 13. γραφὴ] Genes. XLVII, 9. ὅτι delet m. φαραῶ AB. 14. ἃς] ἣ G. 17. ἰωσὴφ B. ὁ Ιωσὴφ G. 18. τῆς B. τοῦ G. 21. τοὺς] τοῦ G. υἱοὺς ἰωσὴφ B. Ιωσὴφ υἱοὺς G.

## ANNI MUNDI.

### Generatio XXV.

Caath anni 60 a mundi 3602 numerantur.

Anno quo fames grassata est secundo descenderunt fratres Ioseph in Aegyptum; fuit autem Ioseph 39, Iacob 129, Levi 47, mundi 3601. Profecti vero tritici coemendi gratia nescii ab eo cogniti sunt, et velut exploratores accusati prolatis defensionibus obsidem reliquerunt Symeon; in his res Beniamin, tum Kondy, quod genus poculi est, et agnitio Ioseph memorantur.

Anno primo aetatis Caath, qui Iacob 130, Levi 48, Iacob ad Ioseph progressus est in Aegyptum, testante scriptura Iacob Pharaoni dixisse: „dies annorum vitae meae quibus peregrinatus sum centum triginta anni sunt." Ioseph autem erat annorum 40.

Annus hic Iacob 130 ab Africani sequacibus post adventum Iacob in Aegyptum annis 70 Ioseph vixisse scribentibus asseritur septimus et ultimus famis, Caath quintus, mundi vero 3606.

Iacob vivificum crucis signum mortis hora praefiguraturus, filiis Io-

λόγησεν, ἐναλλὰξ ἐπιθεὶς τὰς χεῖρας τὴν δεξιὰν ἐπὶ τὸν Ἐφραῒμ καὶ τὴν ἀριστερὰν ἐπὶ τὸν Μανασσῆν. ὁ δὲ Ἰωσὴφ τὸν Μανασσῆν ἐν τοῖς δεξιοῖς τοῦ Ἰακὼβ ἔστησεν, ὡς πρωτότοκον, τὸν δὲ Ἐφραῒμ ἐν τοῖς ἀριστεροῖς.

Τῷ ͵γχκʹ ἔτει τοῦ κόσμου, Καὰθ δὲ ιηʹ, ἤτοι νζʹ τῆς ζωῆς Ἰωσὴφ, ἐτελεύτησεν Ἰακὼβ, καὶ ἐτάφη ὑπὸ Ἰωσὴφ καὶ τῶν λοιπῶν τέκνων αὐτοῦ ἐν τῷ σπηλαίῳ τῷ διπλῷ εἰς Χεβρών.

Ἰακὼβ κατελθὼν πρὸς Ἰωσὴφ εἰς Αἴγυπτον ἐν οεʹ ψυχαῖς κατῳκίσθη ἐν γῇ Γεσὲμ, ἥτις ἐστὶν ἡ πρὸς τῇ Αἰγύπτῳ Ἀραβία.

Ῥουβὴν ὁ πρῶτος υἱὸς Ἰακὼβ συνελθὼν τῇ παλλακῇ τοῦ C πατρὸς αὐτοῦ τῶν τε πρωτοτοκίων ἀφῃρέθη καὶ ἱερωσύνης καὶ βασιλείας, καὶ τὰ μὲν πρωτοτόκια ἔλαβον οἱ υἱοὶ τοῦ Ἰωσὴφ, διὰ τὴν τοῦ πατρὸς σωφροσύνην, ἡ δὲ βασιλεία τῷ Ἰούδᾳ ἐδόθη, διότι καὶ αὐτὸς ἐν γυναικὶ ἐδικαιώθη τῇ Θάμαρ ἑαυτὸν κατακρίνας, καὶ μὴ διαφθείρας αὐτὴν, ὡς μοιχαλλίδα, καὶ ὅτι πρὸς ζῆλον θεοῦ καὶ ἐκδίκησιν ἑτοιμοτέρα ἡ τούτου δέδεικται φυλή· ἱερωσύνη τῷ Λευὶ ἐδόθη, ὅτι δέκατος ὑπάρχων ἀπὸ τοῦ ἐσχάτου τῶν υἱῶν Ἰακὼβ σὺν πᾶσι τοῖς ὑπάρχουσι τοῦ πατρὸς τῷ θεῷ ἀπεδεκατώθη, καθὼς προσηύξατο Ἰακὼβ λέγων, καὶ πάντα ὅσα ἄν μοι δῷς ἀποδεκατώσω αὐτά. καὶ ὅτι ὁ Ἰσαὰκ ἀναβλέψας ὅτε παρεγένετο ὁ Ἰακὼβ ἐκ Μεσοποταμίας, καὶ ἰδὼν τὸν Λευὶ καὶ

2. ἐπὶ τὸν] τὸν om. G. 8. ἰακὼβ B. δὲ Ἰακὼβ G. 9. κατῴκησεν G. 10. ῥουβὴν B. Ῥουβὶμ G. 11. ἱεροσύνης B. 15. μοιχαλλίδα B. μοιχαλίδα G. πρὸς] εἰς G. 16. θεοῦ om. G. 17. ἡ ἱερωσύνη G. ἡ om. AB. 19. ἰακὼβ B. οἱ Ἰακὼβ G. λέγων] Genes. XXVIII, 20. 20. δὸς B.

seph, inverso crucis in morem ac decussato manuum situ, dextra Ephraim, sinistra Manassi imposita, bene precatus est. Ioseph autem Manasseu ceu primo natum a dextris, Ephraim minorem a sinistris Iacob constituerat.

Anno mundi 3620, Caath 18, id est Ioseph 57, Iacob vita functus est et a Ioseph reliquisque filiis in Chebron spelunca duplici sepulcrali loculo repositus.

Iacob ad Ioseph in Aegyptum cum animabus 75 profectus terram Gesem incoluit, quae est Arabia Aegypto vicinior.

Ruben filiorum Iacob primus cum patris pellice congressus, iure primogenitis debito, sacerdotio regnoque exutus est. Et primogeniturae quidem iura filii Ioseph ob eius temperantiam obtinuerunt; Iudae regnum obtigit, quod, se ipso propria sententia condemnato, feminae Thamar, quam velut adulteram nece mulctandam noluit, ius reddiderit; quodque ad iram et vindictam promptior fuerit eius tribus; sacerdotium tandem Levi fuit assignatum; Levi namque filiorum Iacob decimus cum omnibus bonis in decimatum deo fuit oblatus, ut Iacob prius voverat: ex omnibus quae dederis mihi decimas offeram. Isaac quoque, regresso Iacob e Mesopotamia, coniectis oculis in Iudam et Levi, hunc, ut testis est Iosephus, velut sa-

D τὸν Ἰούδαν, εὐλόγησε τὸν μὲν ὡς ἱερέα, τὸν δὲ ὡς βασιλέα, καθά φησιν Ἰώσηππος. Ῥουβὴν πολὺς καὶ ἀναρίθμητος διὰ τὸ περισῶσαι τὸν Ἰωσὴφ ἐκ τῶν ἀδελφῶν ἀφανιζόμενον.

Ἰσραηλῖται κοινῶς λέγονται πάντες οἱ ἐκ τῶν ιβʹ φυλῶν κατ' ἐξοχὴν ἐκ τοῦ πατρὸς Ἰσραήλ· Ἰουδαῖοι δὲ ὅτι τῶν λοιπῶν διαφθαρεισῶν οἱ τοῦ Ἰούδα διεφυλάχθη φυλή.

Τῷ ,γχξαʹ ἔτει τοῦ κόσμου ἐγέννησεν ὁ Καὰθ τὸν Ἀμβρὰμ, ξʹ ἔτος ἄγων· ἕτεροι δὲ τῷ ,γχςʹ ἔτει τοῦ κόσμου φασίν.

P. 111 Γενεὰ κςʹ.

Ἀμβρὰμ ἔτος οεʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,γχξβʹ.

Μετὰ οʹ ἔτη τῆς καθόδου τοῦ Ἰακὼβ ἐν Αἰγύπτῳ ἐτελεύτησεν Ἰωσήφ. τοῦ δὲ κόσμου ἦν ἔτος ,γχοβʹ.

Τῷ ,γχοβʹ ἔτει τοῦ κόσμου, ἤγουν τῷ ιβʹ τῆς ζωῆς Ἀμβρὰμ πατρὸς Μωϋσέως ἐτελεύτησεν Ἰωσὴφ ζήσας ἔτη ριʹ, ὥς φησιν ἡ βίβλος τῆς Γενέσεως οὕτως· καὶ ἐτελεύτησεν Ἰωσὴφ ὢν ἐτῶν ριʹ. ἕως τούτου τοῦ ,γχοβʹ κοσμικοῦ ἔτους ἱστορεῖ ἡ αὐτὴ θεόπνευστος πρώτη βίβλος.

Ὁ μέντοι Ἀφρικανὸς ἔτη ρθʹ διαμαρτήσας κατ' ἔλλειψιν οὕ-
B τω γράφει·

2. ῥουβὴν B. Ρουβὶμ G. 7. Ἀμβρὰμ m. ἄμβραμ hic et infra B. Ἀβραμ G. 10 et 13. Ἀμβρὰμ m. ἄμβραμ B. Ἀβραμ G. 10. ,γχξβʹ Bm. ,γχοβʹ G. 11. οαʹ m. 12 et 13 et 16. ,γχογʹ m. 15. Γενέσεως] L, 25.

cerdotem, illum velut regem felicibus votis prosequutus est. Ruben autem soboles et eius bona, eo quod Ioseph a fratribus neci tradendum eripuerit et incolumem servaverit, creverunt in immensum.

Israëlitae vulgo dicuntur, qui ex duodecim tribubus et maxime ex patre Israële hoc nomine insignito sunt orti, at qui ex tribu Iuda, reliquis dispersis ac paene ignotis, sanguinem duxerunt, Iudaei vocati sunt.

Anno mundi 3661, Caath aetatis 60, genuit Abraham, cuius natalia 3606 alii reponunt.

GENERATIO XXVI.

Abraham anni 75 unaque mundi 3662.

Post annum adventus Iacob in Aegyptum 71 mortuus est Ioseph, anno mundi 3673.

Anno mundi 3673, hoc est Abram, qui pater Mosis, aetatis 12 Ioseph post exactos vitae 110 annos migravit e vita. Ita Geneseos liber.

Et expletis centum et decem vitae suae annis Ioseph mortuus est, anno nimirum mundi 3673, ad quem usque volumen illud divinitus inspiratum historiam prosequitur.

Africanus quidem annis 109 minus a vero numero aberrans ita scribit.

## Ἀφρικανοῦ.

Ἀπὸ Ἀδὰμ τοίνυν ἐπὶ τελευτὴν Ἰωσὴφ ἐκ τῆσδε τῆς βίβλου γενεαὶ μὲν κγʹ, ἔτη δὲ ͵γφξγʹ.

Ὁ δὲ Εὐσέβιος ἀπὸ Ἀδὰμ ἕως πρώτου Ἀβραὰμ ἔτους ͵γρπδʹ
ἔτη, καὶ ἀπὸ τοῦ πρώτου ἔτους Ἀβραὰμ ἕως τέλους Ἰωσήφ, ἐν
ᾧ καταλήγει χρόνῳ τῆς Γενέσεως ἡ βίβλος, ἤγουν τῷ ριʹ ἔτει τῆς
ζωῆς Ἰωσήφ, ἔτη τξαʹ ἐπελογίσατο· γίνονται οὖν κατὰ Εὐσέ- V. 89
βιον ἀπὸ Ἀδὰμ ἕως τῆς τελευτῆς Ἰωσὴφ ἔτη ͵γφμεʹ.

Διαμαρτάνει δὲ οὗτος ἔτεσιν ρκζʹ ὡς πρὸς ͵γχοβʹ. C

Ἕως τοῦδε τοῦ ͵γχοβʹ ἔτους ἀπὸ τοῦ πρωτοπλάστου Ἀδὰμ ἱστορεῖ Μωϋσῆς ὁ θεόπτης ἐν τῇ πρώτῃ θεοπνεύστῳ τῆς Γενέσεως βίβλῳ.

Εὖ δ᾽ ἂν εἴη κεφαλαιωδῶς ἐκθεμένου τὰ αὐτὰ ͵γχοβʹ κοσμι-
κὰ ἀπὸ Ἀδὰμ ἔτη ἕως τῆς Ἰωσὴφ τελευτῆς ἐκ τῆς αὐτῆς ἱερᾶς
βίβλου κατὰ τὴν τῶν οʹ σοφῶν ἔκδοσιν οὕτω χωρῆσαι πρὸς τὴν
τῶν ἐφεξῆς ἀκριβῆ κατὰ τὸ δυνατὸν χρονολογίαν. συντρέχει γὰρ
τῷ ριʹ ἔτει τῆς ζωῆς τοῦ σώφρονος Ἰωσὴφ τὸ αὐτὸ ͵γχοβʹ ἔτος ἐξ
Ἀδὰμ, ἐν ᾧ καὶ ἐτελεύτησε, μετὰ πʹ ἔτη τῆς ἡγεμονίας Αἰγύ-
πτου. τριακοντούτης γὰρ αὐτῆς ἦρξε, ζήσας ἔτη οʹ μετὰ τὴν D
τοῦ πατρὸς πρὸς αὐτὸν ἐν Αἰγύπτῳ πανοικικὴν κάθοδον καὶ
αὐτόθι παγγενῆ παροικίαν, ἥτις γέγονε μετὰ ιʹ ἔτη τῆς ἀρχῆς

2. ἐκ m. καὶ G. τῆς om. G. 9. διαμαρτάνη B. πρὸς B. πρὸ G. 10. τοῦδε τοῦ B. τοῦ om. G. 11. πρώτῃ B. πρώτῃ τῇ G. 15. οʹ om. G. 17. τὸ αὐτὸ Bm. τῷ αὐτῷ G.

## Ex Africano.

Ab Adamo itaque usque ad Ioseph obitum secundum librum hunc generationes sunt 23, anni vero 3563.

Eusebius autem ab Adamo usque ad primum Abrahae annos recenset 3184, et ab Abrahae primo usque ad Ioseph obitum, quo Geneseos liber finem ponit, id est circa Ioseph aetatis 110, annos 361 numerat. Ab Adamo itaque usque ad diem ultimum Ioseph iuxta computum Eusebii numerabuntur anni 3545.

Ab annis itaque 3672 errat aliis 127.

Ad annum usque hunc a protoparente Adamo 3672 primi voluminis scripturae dei spiritu dictatae tota historia contexta est.

Summatim autem expositis ex eodem sacro libro ab Adamo usque ad Ioseph mortem 3672 annis, quem quidem calculum etiam sapientiorum opinio tuetur; exinde pro viribus ad reliquam temporum rationem diligentius exponendam operae pretium est procedere. Centesimus enim decimus aetatis Ioseph annus, (exactis nimirum in Aegypto regenda annis 80, quo tempore quoque in aliam vitam translatus est), in annum mundi 3672 coincidit. Tricenarius enim Aegypti dominatum obtinuit, et post patris cum tota familia in Aegyptum adventum et moram annis septuaginta fuit superstes, coeperunt autem illi ex divinis eisdem scriptis anno potestatis

αὐτοῦ κατὰ τὴν αὐτὴν θεόπνευστον γραφὴν, τῶν ζ' διελθόντων τῆς εὐθηνίας ἐτῶν, τῷ δὲ τρίτῳ τῆς λιμοῦ κατελθόντος Ἰσραὴλ εἰς Αἴγυπτον, ἡνίκα καὶ ἦν αὐτὸς μὲν Ἰακὼβ ἐτῶν ρλ', ὡς ἔφη πρὸς Φαραὼ πρὸς αὐτοῦ ἐρωτηθείς. Ἰωσὴφ δὲ ἦν ἐτῶν μ', εἴπερ τριακοντούτης τῆς Αἰγύπτου τὴν ἀρχὴν ἐγκεχείρισται, δεκάτῳ δὲ τότε ἔτει μετ' αὐτὴν ἀπέλαβε τὸν πατέρα καὶ τοὺς ἀδελφοὺς, ὡς ἐντεῦθεν ἡμῖν καὶ ἄλλο τι τῶν ἀναγκαίων συναποδείκνυσθαι
P. 112 ζήτημα· τὸν μὲν Ἰωσὴφ κατὰ τὸ ϟα' ἔτος Ἰακὼβ τεχθῆναι αὐτῷ ἐκ τῆς Ῥαχὴλ, πρῶτον ἐπὶ θυγατρὶ μιᾷ Δείνᾳ καὶ παισὶν ἄρρεσι ι'. τούτοις κατὰ τὸν τῆς ἀναστροφῆς λόγον ἐν ἕνδεκα τοὐλάχιστον ἔτεσι πρὸ Ἰωσὴφ τεχθεῖσιν, ἑνὸς ἔτους ἑκάστῳ νεμομένου κατὰ τὴν τῶν λογίων ἔμφασιν, τὸν Λευὶ τῷ πβ'. εἰσὶν οὖν οἱ πάντες ἐν Μεσοποταμίᾳ παῖδες ι' καὶ θυγάτηρ μία Δεῖνα, καὶ ἐπὶ πᾶσιν ἔσχατος μὲν τῇ τάξει, ιβ' γὰρ ἀπὸ Ῥουβὴν, ὁ Ἰωσὴφ, πρῶτος δὲ ἐκ τῆς Ῥαχὴλ κατὰ τὸ ϟα' ἔτος Ἰακὼβ γεννηθεὶς, ὡς προαποδέδεικται. εἰ δὲ κατὰ ἀντιστροφὴν τῶν χρόνων τῆς ἑκά-
B στου γενέσεως ἀπαρίθμησις ἀρχομένοις ἀπὸ τοῦ Ἰωσὴφ καὶ λήγουσιν ἐπὶ τὸν Ῥουβὴν, οὕτω πως ἔχει· Ἰωσὴφ δωδέκατος καὶ ἔσχατος τῶν ἐν Μεσοποταμίᾳ παίδων τοῦ Ἰακὼβ ἐγεννήθη τῷ ϟα' ἔτει αὐτοῦ ἐκ τῆς Ῥαχὴλ πρῶτος· Δεῖνα ἑπτάπαις Λείας πρὸ ἑνὸς ἔτους Ἰωσὴφ ἐγεννήθη τῷ ϟ' ἔτει Ἰακὼβ ἑνδεκάτη. Ζαβουλὼν

2. τῷ δὲ τρίτῳ B. τοῦ δὲ τρίτου G. 4. αὐτὸν B. ἦν add. A. 7. ἡμῖν] ἡμεῖς G. 8. ϟα'] ϟ' G. 11. πρὸ m. πρὸς G. νεμομένῳ AB. 14. ῥουβὴν B per totam p. 112. Ρουβὶμ G. 17. ἀρχομένης G. γένοιτο ἀρχομένης m. ληγούσης G. 18. ἔχει Bm. ἔχειν G. ἰωσὴφ Bm. Ιωσὴφ δὲ G.

eius decimo numerari, septem nimirum fertilitatis annis elapsis, famis invalescentis tertio profecto Israël in Aegyptum, aetatis Iacob 130, prout ipse a Pharaone interrogatus retulit. Ioseph vero quadragenarius erat, tricenarius siquidem in Aegyptiaci imperii venit consortium, ac post annum decimum patrem ac fratres suscepit, atque ex his alia quaestio cognitu non inutilis superest elucidanda. Ioseph nimirum circa 91 Iacob annum ex matre Rachel in lucem venisse, susceptis prius liberis, masculis quidem decem, unica vero puella nomine Dina. Istis ordine retrogrado annis ad minus undecim ante Ioseph natis, uno nimirum in singulos annos distributo, secundum numerandi legem constat Levi 82 aetatis Iacob ortum. Suscepit igitur in Mesopotamia filios in universum decem et Dinam filiam unicam ac omnium novissimus (a Rubem namque duodecimus est) primus nihilominus ex Rachel, circa 91 eius annum natus est Ioseph, prout iam abunde demonstravimus. Retrograda itaque serie, ducto ab Ioseph principio et fine in Rubem posito, singularum generationum si fiat enumeratio, hoc pacto se habet. Duodecimus et novissimus filiorum Iacob natus est Ioseph Rachel primogenitus in Mesopotamia anno patris 91. Dina septimo Liae partu, ante natalia Ioseph anno uno, filiorum undecima, patris Iacob anno nonagesimo lucem adspexit; Zabulon sextus Liae filius,

ἕκτος υἱὸς Λείας πρὸ δύο ἐτῶν τοῦ Ἰωσὴφ ἐγεννήθη ι' ἀπὸ Ῥουβήν· Ἰσσάχαρ πέμπτος υἱὸς Λείας πρὸ ἐτῶν γ' τοῦ Ἰωσὴφ ἐγεννήθη· τέταρτος ὢν πρὸ αὐτοῦ Ἀσὴρ ἐκ Ζελφᾶς παιδίσκης Λείας β', ἀπὸ δὲ Ἰωσὴφ ε' κατὰ ἀναστροφὴν καὶ ὄγδοος ἀπὸ Ῥουβήν. Γὰδ πρῶτος ἐκ Ζελφᾶς παιδίσκης Λείας, ς' ἀπὸ Ἰωσὴφ κατὰ C ἀναστροφὴν καὶ ζ' ἀπὸ Ῥουβήν· Νεφθαλεὶμ β' υἱὸς Βαλλᾶς παιδίσκης Ῥαχήλ, η' ἀπὸ Ἰωσὴφ κατὰ ἀναστροφὴν καὶ ε' ἀπὸ Ῥουβήν· Ἰούδας δ' υἱὸς Λείας, θ' ἀπὸ Ἰωσὴφ κατὰ ἀναστροφὴν καὶ δ' ἀπὸ Ῥουβήν· Λευὶ γ' υἱὸς Λείας, ι' ἀπὸ Ἰωσὴφ ἀναστρέφοντι καὶ γ' ἀπὸ Ῥουβὴν, ἐγεννήθη τῷ πατριάρχῃ Ἰακὼβ ἐν Μεσοποταμίᾳ τῷ πβ' ἔτει αὐτοῦ, ὡς πρόδηλόν ἐστι. τοῦτον V. 90 ἀριθμήσας ἀπὸ τοῦ Βενιαμὶν ἔτι ὄντος ἐν τῇ γαστρὶ Ῥαχὴλ ι' ὄντα ἐν ἄρρεσιν, ἀφιέρωσε τῷ θεῷ καὶ ἀρχιερέα ἀνέδειξεν, ὡς Ἰώσηππος, κατὰ τὸν τῆς ἀναστροφῆς λόγον, συναποδεκατώσας D αὐτῷ πάντα τὰ ὑπάρχοντα καὶ ἀναθέμενος τῷ θεῷ, καθὰ προσηύξατο πορευόμενος εἰς Μεσοποταμίαν, ὅτι καὶ πάντα ὅσα ἂν μοι δῷς ἀποδεκατώσω αὐτά. Συμεὼν β' υἱὸς Λείας τῷ πα' ἔτει Ἰακὼβ ἐγεννήθη· Ῥουβὴν πρωτότοκος Ἰακὼβ υἱὸς καὶ Λείας τῷ π' ἔτει Ἰακὼβ ἐγεννήθη. σαφῶς ἄρα παρίσταται ἡμῖν ἐκ τούτων ὅτι πρὸ ζ' ἐτῶν ἦλθεν Ἰακὼβ πρὸς Λάβαν, τῷ ογ' ἔτει τῆς ζωῆς αὐτοῦ.

Οὕτως προδιειλημμένων τῶν περὶ τῆς ἑκάστου τῶν πατριαρ-

1. ῥουβὶν A. 12. βενιαμὴν B. 15. προσηύξατο.] Genes. XXVIII, 22. 17. ἔτει B. ἔτει αὐτοῦ G. 22. Οὕτω προδεδηλωμένων τῶν περὶ ἑκάστου G.

Ioseph annis duobus maior decimus a Rubem ortus est; Isachar quintus Liae filius triennio Ioseph anterior vitam accepit; quartus ante illum est Aser, qui secundus ex Zelpha Liae ancilla traxit originem; et inverso gradu a Ioseph quintus est; directo octavus a Rubem numeratur; Gad primus ex Zelpha Liae ancilla genitus retrogrado processu ab Ioseph sextus est et a Rubem septimus; Nephthalim Balae Rachel ancillae filius secundus, ordine immutato ab Ioseph octavus est et a Rubem quintus; Iudas quartus Liae filius retrorsum procedendo ab Ioseph nonus est et a Rubem quartus; Levi tertius Liae filius ab Ioseph numeranti decimus et a Rubem tertius occurrens natus est patriarchae Iacob in Mesopotamia aetatis anno 82, ut ex superioribus patet. Hunc inversa serie a Beniamin adhuc Rachel utero clauso numeratum ac inter mares loco decimo repertum deo dicavit, teste Iosepho, et pontificem declaravit pater ac simul cum eo bonorum omnium decimam partem obtulit ac deo consecravit, prout se votis in Mesopotamia obstrinxerat: cunctorum quae dederis mihi decimas offeram. Symeon secundus Liae filius anno Iacob 81, Rubem vero primogenitus ex eadem Lia natus 80 fuit a patre susceptus. Hinc manifesto sequitur, ante septem annos Iacob in domum Laban aetatis nimirum 73 adventasse.

Expositis hoc pacto singulorum patriarcharum generationibus et dili-

P. 113 χῶν γενέσεως χρόνων ἀκριβοῦς θεωρίας ἐγκείσθω καὶ τὰ ἀπὸ Ἀδὰμ ἕως τελευτῆς Ἰωσὴφ ἔτη.

Ἀπὸ Ἀδὰμ πάλιν.

Ἀδὰμ γενόμενος ἐτῶν σλ' ἐγέννησε τὸν Σήθ, καὶ ἐπέζησεν ἔτη ψ' καὶ ἀπέθανε.

Σὴθ γενόμενος ἐτῶν σε' ἐγέννησε τὸν Ἐνώς, καὶ ἐπέζησεν ἔτη ψζ' καὶ ἀπέθανε. τούτου τῷ ψ' ἔτει, ἤτοι ϡλ' ἔτει τοῦ κόσμου, ἀπέθανεν.

Ἐνὼς γενόμενος ἐτῶν ρϟ' ἐγέννησε τὸν Καϊνᾶν τῷ χκε' ἔτει τοῦ κόσμου, τϟε' τοῦ Σήθ, καὶ ἐπέζησεν ἔτη ψιε' ἕως τοῦ ,ατμ' κοσμικοῦ ἔτους. τούτου τῷ ϟε' ἔτει Ἀδὰμ ἀπέθανε. τῷ δὲ ψζ' αὐτοῦ ὁ Σήθ.

B Καϊνᾶν γενόμενος ἐτῶν ρο' ἐγέννησε τὸν Μαλελεὴλ τῷ ψϟε' ἔτει τοῦ κόσμου, φξ' ἔτους Σήθ, τξ' δὲ τοῦ Ἐνώς· καὶ ἐπέζησεν ἔτη ψμ' ἕως τοῦ ,αφλε' κοσμικοῦ ἔτους. τούτου τῷ τε' ἔτει Ἀδὰμ ἀπέθανε, τῷ δὲ φιζ' αὐτοῦ ὁ Σήθ, τῷ δὲ ψιε' αὐτοῦ ὁ Ἐνώς.

Μαλελεὴλ γενόμενος ἐτῶν ρξε' ἐγέννησε τὸν Ἰάρεδ, τῷ ϡξ' ἔτει τοῦ κόσμου, ψλ' τοῦ Σήθ, φκε' τοῦ Ἐνώς, τλε' τοῦ Καϊνᾶν, καὶ ἐπέζησεν ἔτη ψλ' ἕως ,αχϟ' κοσμικοῦ ἔτους. τούτου τῷ ρλε' ἔτει Ἀδὰμ ἀπέθανε· τῷ δὲ τμζ' αὐτοῦ ὁ Σήθ, καὶ τῷ φμε'

1. τὰ] τῷ B. 7. τούτῳ τῷ AB. τῷ τῷ (sic) G. τῷ τῷ ψ' — ἀπέθανεν seclusit G. ἤτοι B. ἤτοι τῷ G. 11. τούτου τῷ ϟε' m: unde τούτου pro τούτῳ posui. 13. ψϟε' ABm. ψϟ' G. 14. φξ'] φξε' m. δὲ om. G. 15. τούτου Bm. τούτῳ G. 18. ρξε' Bm. ρξ' G. 19. τὸν καϊνὰν B.

genti temporum examine praemisso, ab Adamo condito usque ad Ioseph obitum annos recensere congruum est.

Ab Adamo rursus.

Adamus aetatis 230 genuit Seth et superstes annis 700 mansit, ac vita tandem functus est.

Seth aetatis 205 genuit Enos et vixit superstes annis 707, et mortuus est: (hoc 700, id est mundi 930, mortuus est.)

Enos aetatis 190 genuit Cainan, mundi 625, Seth 395 et vixit superstes annis 715 usque ad mundi 1340. Huius anno 495 Adam vivis ereptus est, Seth vero 707 aetatis eius anno.

Cainan aetatis 170 genuit Maleleel, anno mundi 795, Seth 565, Enos vero 360, et vixit superstes annis 740 usque ad mundi 1535. Huius 305 anno mortuus est Adamus, Seth eiusdem 517, Enos vero 715.

Maleleel annorum 165 genuit Iared, anno mundi 960, Seth 730, Enos 525, Cainan 335, et vixit superstes annis 730 usque ad mundi 1690. Huius anno 135 Adamus diem ultimum obiit, Seth eiusdem anno 347, eius-

τοῦ αὐτοῦ Μαλελεὴλ ὁ Ἐνώς· τῷ δὲ ψμ' αὐτοῦ ἔτει Καϊνᾶν ὁ πατὴρ αὐτοῦ.

Ἰάρεδ γενόμενος ἐτῶν ρξβ' ἐγέννησε τὸν Ἐνώχ· τῷ δὲ ͵αρκβ' C ἔτει τοῦ κόσμου, ὅπερ ἦν τοῦ μὲν Σὴθ ωϟβ', τοῦ δὲ Ἐνὼς χπζ', τοῦ δὲ Καϊνᾶν υϟζ', τοῦ δὲ Μαλελεὴλ τκζ', ὁ αὐτὸς δὲ Ἰάρεδ ἐπέζησεν ἔτη ω' ἕως τὸ ͵αϡκβ' ἔτος τοῦ κόσμου. τοῦ δὲ αὐτοῦ Ἰάρεδ ἔτει ρπβ' Σὴθ ἀπέθανεν, Ἐνὼς δὲ τῷ τπ', Καϊνᾶν δὲ φοε' αὐτοῦ Ἰάρεδ· Μαλελεὴλ δὲ ὁ πατὴρ αὐτοῦ τῷ ψλ' τοῦ Ἰάρεδ ἔτει θνήσκει.

Ἐνὼχ γενόμενος ἐτῶν ρξε' ἐγέννησε τὸν Μαθουσάλα τῷ ͵ασπζ' ἔτει τοῦ κόσμου. τούτου, φημὶ δὴ τοῦ Ἐνὼχ, ἔτει κ' Σὴθ ἀπέθανεν. ἦν δὲ τοῦ μὲν Ἐνὼς ἔτος, καθ' ὃ ὁ Ἐνὼχ ἐγέννησε τὸν Μαθουσάλα, ωνβ', τοῦ δὲ Καϊνᾶν χξβ', τοῦ δὲ Μαλελεὴλ υϟβ', τοῦ δὲ Ἰάρεδ τκζ'. οὗτος ὁ Ἐνὼχ ἐπέζησε μετὰ τὸ γεννῆσαι αὐ- D τὸν τὸν Μαθουσάλα ὁρώμενος ὑπὸ τῶν τηνικαῦτα ἀνθρώπων ἔτη σ', καὶ εὐαρεστήσας τῷ θεῷ μετετέθη καὶ οὐχ εὑρίσκετο. μετετέθη δὲ τῷ ͵αυπζ' ἔτει τοῦ κόσμου. τῷ οὖν κ' ἔτει αὐτοῦ, ὡς προείρηται, Σὴθ μετήλλαξε. τῷ δὲ σιη' ἔτει αὐτοῦ Ἐνὼχ ἀπέθανεν Ἐνώς.

Μαθουσάλα γενόμενος ἐτῶν ρξζ' ἐγέννησε τὸν Λάμεχ τῷ ͵αυνδ' ἔτει τοῦ κόσμου, ὅπερ ἦν τοῦ μὲν Καϊνᾶν ἔτος ωκθ', τοῦ δὲ Μαλελεὴλ χνθ', τοῦ δὲ Ἰάρεδ ἔτος υϟδ', τοῦ δὲ Ἐνὼχ τλβ' ἔτος. ὁ δ' αὐτὸς Μαθουσάλα μετὰ τὸ γεννῆσαι τὸν Λάμεχ ἐπέ-

1. δὲ add. B. καῖν A. 6. ω' B. β' G. ϡξβ' m. ἕως τὸ — ἔτος B. ἕως τοῦ — ἔτους G. 7. ἔτει Bm. ἔτη G. σὴθ B. Σὴμ G. 8. φοε' αὐτοῦ m. φο' ἑαυτοῦ G. 11. ἔτει Bm. ἔτη G. 17. δὲ om. G. 18. σιη'] σκγ' m.

demque Maleleel anno 545. Enos vita functus est, Cainan autem pater eius anno 740.

Iared aetatis 162 genuit Enoch anno mundi 1122, qui fuit Seth 892, Enos 687, Cainan 497, Maleleel 327. Ipse vero Iared vixit superstes annis 962 usque ad mundi 1922. Eius autem anno 182 Sem moritur, Enos 380, Cainan 575 eiusdem Iared, cuius pater Maleleel eius anno 730 e vita decedit.

Enoch aetatis 165, Mathusala anno mundi 1287, huius, inquam, Enoch anno 20, Seth vitae terminum attigit. Annus porro quo Enoch genuit Mathusala fuit aetatis Enos 852, Cainan 662, Maleleel 492, Iared 327. Enoch iste visibilis et superstes inter eius temporis homines conversatus est annis 200 et cum gratus esset deo ab illo translatus e terris nusquam amplius repertus est. Translatus est autem anno mundi 1487. Vigesimo itaque eius anno Seth, ut praefatum est, vitam cum morte mutavit, ac eiusdem etiam anno ducentesimo vicesimo tertio mortuus est Enos.

Mathusala aetatis 167 genuit Lamech anno mundi 1454, qui erat Cainan 829, Maleleel 659, Iared 494, Enoch 332. Ipse Mathusala a natali-

V. 91 ζησεν ἔτη ωβʹ μέχρι τοῦ ͵βσνϛʹ ἔτους τοῦ κόσμου. οὗτος μακροβιώτατος πάντων τῶν πρὸ αὐτοῦ ἀποθανόντων γέγονεν. οὗτος P. 114 κατὰ τὰς ἁπανταχοῦ τῆς Γενέσεως βίβλους ὑπερέβη τὸν κατακλυσμὸν ἔτεσι ιεʹ, ὡς ἄπορον εἶναι ποῦ διεσώθη ἐν τῷ κατακλυσμῷ. τινὲς δέ φασιν, ὧν εἷς καὶ ὁ Εὐσέβιος, ἔχειν τινὰ τῶν ἀντιγράφων ὅτι ψπβʹ ἔτη ἐπέζησε μετὰ τὸ γεννῆσαι αὐτὸν, ὡς γίνεσθαι τὸν πάντα τῆς ζωῆς αὐτοῦ χρόνον ἔτη ϡμθʹ. ὅπερ οὐκ εὖ ἔχειν δοκεῖ. ἔσονται γὰρ κατὰ τοῦτον τὸν λόγον αἱ ἀνὰ πάσας τὰς ἐκκλησίας τοῦ θεοῦ ἱεραὶ βίβλοι τῆς Γενέσεως διεσφαλμέναι, ϡξθʹ ἔτη ἱστοροῦσαι τὸν Μαθουσάλα· ἔσται δὲ καὶ Ἰάρεδ μακροβιώτερος αὐτοῦ ἔτη κγʹ, ϡξβʹ ζήσας ἔτη, ὅπερ οὐδενὶ συμπεφώνηται. διόπερ οὐ χρὴ διὰ τὸ φάναι συναπολέσθαι αὐτὸν τοῖς ἐν τῷ κατακλυσμῷ, διὰ τοῦτο ϡμθʹ μόνα ἔτη βεβιωB κέναι. ἀλλὰ οὐδὲ τῷ Ἀφρικανῷ πειθόμεθα προστιθέντι τὰ αὐτὰ κʹ ἔτη καὶ ϡπθʹ λέγοντι τοῦ Μαθουσάλα ἀντὶ ϡξθʹ. λοιπὸν οὖν κρεῖσσον εἶναι δοκεῖ ταῖς καθ᾽ ὅλην τὴν οἰκουμένην ἑπομένους ἱεραῖς βίβλοις ϡξθʹ λέγειν τῆς ζωῆς Μαθουσάλα, εἰ καὶ τὸν κατακλυσμὸν ὑπερβέβηκεν ἔτεσι ιεʹ, τοῦ θεοῦ κἀκεῖνον ἴσως, ὡς τὸν Ἐνὼχ, περισώσαντος παραδόξως καθ᾽ οὓς οἶδε τρόπους καὶ τόπους.

*Λάμεχ* γενόμενος ἐτῶν ρπηʹ ἐγέννησε τὸν Νῶε, τῷ ͵αχμβʹ

4. ιεʹ] ιδʹ m. 5. καὶ om. G. 6. ἔτη om. G. 7. τὸν om G. 8. αἱ ἀνὰ πάσας Bm. αἰὰν ἀπάσας G. 11. κγʹ] ιγʹ m. 12. συναπολέσθαι Bm. συναπολλέσθαι G. 13. τῷ om. G. 16. ἐπομέναις A. ἐπωμέναις B. 18. ιεʹ] ιδʹ m.

bus Lamech superfuit in vivis annis 802 usque ad mundi 2256. Cunctorum ante eum mortalium longissimis iste gavisus est annis. Idemque, si cunctis aliis Geneseos libris fidem dederimus, annis 14 diluvium supergressus est, ita ut quis locus eum a diluvio servaverit penitus sit ignotum. Asserunt aliqui, quorum unus est Eusebius, filio primogenito annis 782 supervixisse, nonnullos codices testari, ita ut omnes eius vitae anni numerentur 949, quam quidem sententiam stare non posse liquet. Ita fieret enim, ut omnes per universam dei ecclesiam Geneseos libri de Mathusala narrantes annos 969 a vero calculo aberrarent, essetque Iared eo magis longaevus annis 13, concessis eius vitae annis 962, quae sententia cunctis aliis repugnat. Ac eam ob rem ut eum communi diluvio involutum interiisse dicamus 949, tantum annos eius vitae assignare minus necesse est. Sed neque dictis Africani alios viginti annos superaddentis ac vice 969 Mathusala 989 vixisse asserentis, suademur. Satius est igitur sacris per universum orbem vulgatis libris data fide, Mathusala diluvium licet annis quatuordecim superaverit, annos tamen 969 attigisse dicamus; deo nimirum praeter hominum opinionem iis modis et locis quae novit, eum una cum Enoch a communi pernicie conservante.

Lamech aetatis 188 genuit Noe anno mundi 1642, qui fuit Maleleel

*ἔτει τοῦ κόσμου, ὅπερ ἦν τοῦ Μαλελεὴλ μὲν ἔτος ωμζʹ, τοῦ δ' Ἰάρεδ χπβʹ, τοῦ δ' Ἐνὼχ φκʹ, ὅπερ ἐστὶ μετὰ τὴν μετάθεσιν αὐτοῦ ἔτος ρνεʹ. τὸ αὐτὸ δ' ἔτος τνεʹ ἐχρημάτιζε τοῦ Μαθου-* C *σάλα. ἐπέζησε δὲ Λάμεχ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Μαθουσάλα ἔτη φλεʹ μέχρι τοῦ ͵βροεʹ κοσμικοῦ ἔτους, καὶ ἀπέθανε πρὸ ξηʹ ἐτῶν τοῦ κατακλυσμοῦ. ὁ αὐτὸς Λάμεχ πρῶτος ἐν τοῖς γενάρχαις ἀπέθανε πρὸ τοῦ ἰδίου πατρὸς Μαθουσάλα ἔτεσιν παʹ, τοῦτ' ἔστι τῷ ωπηʹ τοῦ ὀγδόου ἐξ Ἀδὰμ Μαθουσάλα ἔτει. κατὰ δὲ τὸ σλϛʹ ἔτος τοῦ Λάμεχ ὁ Μαλελεὴλ ἀπέθανεν. ὁ δὲ Ἰάρεδ κατὰ τὸ ξηʹ τοῦ αὐτοῦ Λάμεχ ἔτος. ὁ μέντοι θεῖος Ἐνὼχ τῷ λγʹ ἔτει τοῦ Λάμεχ μετετέθη.*

*Νῶε ἐτῶν φʹ ἐγέννησε τὸν Σὴμ, τὸν Χὰμ, τὸν Ἰάφεθ, ͵βρμαʹ ἔτει τοῦ κόσμου, τοῦ δὲ Νῶε ἔτει μθʹ Μαλελεὴλ ἀπέθανεν·* D *ὁ δὲ Ἰάρεδ τῷ σπʹ τοῦ Νῶε. Μαθουσάλα δὲ ἔτος ἦν κατὰ τὸ ͵βρμαʹ ἔτος τοῦ κόσμου, λέγω δὲ τῷ φʹ ἔτει τοῦ Νῶε, καθ' ὃ καὶ ὁ πρῶτος υἱὸς αὐτοῦ Σὴμ ἐγεννήθη ωνεʹ, τοῦ Λάμεχ πατρὸς Νῶε ἔτος χπζʹ, τῷ δὲ χʹ ἔτει τοῦ Νῶε, ρʹ δὲ τῆς ζωῆς τοῦ Σὴμ καὶ ϡνεʹ τοῦ μακροβιωτάτου Μαθουσάλα ὁ κατακλυσμὸς γέγονεν ἐπὶ τῆς γῆς. καὶ ἐπέζησε Μαθουσάλα σὺν τῷ αὐτῷ ἔτει τοῦ κατακλυσμοῦ ἕως ͵βσνϛʹ κοσμικοῦ ἔτους λοιπὰ ἔτη ιεʹ, εἴπερ ἀληθεῖς εἶναι πιστεύομεν τὰς περὶ αὐτοῦ καὶ τῶν πρὸ αὐτοῦ φε-*

1. δ' ante Ἰάρεδ om. A. 3. τὸ αὐτὸ Bm. τῷ αὐτῷ G. 4. αὐτὸν τὸν] Νῶε add. m. 5. φλεʹ] φλγʹ m. 6. ξηʹ] ξζʹ m. ἐτῶν] ἔτους G. γενεάρχαις G. 8. ἔτει Bm. ἔτη G. 9. τὸ σλϛʹ ἔτος Bm. τῷ σλϛʹ ἔτει G. 10. ξηʹ] ξʹ G. υξηʹ m. λγʹ] λεʹ G. 12. καὶ τὸν Ιάφεθ G. 13. μθʹ] μηʹ m. 16. σὴμ ἐγεννήθη B. Inverso ordine G. 19. ἐπιζήσας G. 21. πιστεύωμεν B. τῶν] τὰς G.

**quidem annus 847, Iared vero 682, Enoch autem 520, qui ab eius translatione 155 numeratur; idemque erat Mathusala aetatis 355. Superfuit autem Lamech a filii Noe natali die annis 533 usque ad mundi 2175, eiusque mors 67 annis diluvium praevenit. Idem Lamech primus inter pristinos familiarum duces annis 81 patre Mathusala prior occubuit, hoc est ipsius Mathusala octavi ab Adamo Genearchae anno 888, Lamech autem aetatis anno 236, Maleleel occubuit; Iared vero Lamech eiusdem anno 468. Caeterum divinus Enoch Lamech anno 33 translatus est.**

**Noe aetatis 500 genuit Sem, Cham et Iapheth anno mundi 2142. Anno Noe 48 Maleleel mortuus est, Iared autem eiusdem Noe 280. Porro Mathusala anno mundi 2141 inter vivos agebat, natus annis 855, dico Noe 500, quo primogenitus eius Sem in lucem venit; Lamech vero pater Noe annorum erat 687, Noe anno 600, aetatis Sem 100, Mathusala cunctorum hominum longaevissimi 955 diluvium universum orbem invasit. Eodem nihilominus diluvii anno numerato usque ad mundi 2256, aliis 15, annis supervixit Mathusala, si tamen sinceras et a deo quam verissime dictatas**

ρομένας ἐν ἱεραῖς δέλτοις ἀψευδεῖς καὶ θεοπνεύστους ἱστορίας καὶ ἔτι τῶν μετ' αὐτῶν, ὡς ὑποταχθήσεται.

P. 115 Σὴμ ὁ πρῶτος υἱὸς Νῶε γενόμενος ἐτῶν ργ', ἔτους β' μετὰ τὸν κατακλυσμὸν, ἐγέννησε τὸν Ἀρφαξὰδ, τῷ ,βσμγ' ἔτει τοῦ κόσμου, ὅπερ ἦν χα' τῆς ζωῆς τοῦ Νῶε. καὶ ἐπέζησεν φ' ἕως τοῦ ,βψμβ' κοσμικοῦ ἔτους ὁ Σήμ. ὁ δὲ Νῶε μετὰ τὸν κατακλυσμὸν ἔζησεν ἔτη τν', καὶ ἀπέθανε τῷ ,βφϟβ' ἔτει τοῦ κόσμου, κατὰ τὸ υν' ἔτος τῆς τοῦ Σὴμ ζωῆς.

Ἀρφαξὰδ γενόμενος ἐτῶν ρλε' ἐγέννησε τὸν Καϊνᾶν τῷ ,βτοζ' ἔτει τοῦ κόσμου, καὶ ἔζησεν ἔτη τνε' ἕως τοῦ ,βψλβ' κοσμικοῦ ἔτους· καὶ ἀπέθανε πρὸ τοῦ ἰδίου πατρὸς Σὴμ ἔτεσι ι'. τινὰ δὲ τῶν ἀντιγράφων, ὡς καὶ Εὐσεβίου, υγ' ἔχουσι τοῦ Ἀρφαξὰδ μετὰ
V. 92 τὸ γεννῆσαι τὸν Σάλα, οἷς οὐδ' ὅλως ἑπόμεθα, πάντῃ τῆς ἀλη-
B θείας τῶν χρόνων καὶ τῶν γενεῶν διημαρτηκόσιν. ἀντὶ γὰρ τοῦ Καϊνᾶν τὸν Σάλα φασὶ γεννηθῆναι τῷ Ἀρφαξὰδ Ἀφρικανός τε καὶ Εὐσέβιος, καὶ τὴν ιδ' γενεὰν τοῦ Σάλα ιγ' τάττουσι, μνήμην τοῦ δευτέρου Καϊνᾶν οὐδ' ὅλως ποιησάμενοι, ὃν αἱ πανταχοῦ τῆς Γενέσεως ἱεραὶ βίβλοι καὶ τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον τοῦ Ἀρφαξὰδ υἱὸν ἐκδεδώκασι, καὶ ιγ' ἀπὸ Ἀδὰμ, πατέρα δὲ τοῦ Σάλα ιδ' ἀπὸ Ἀδὰμ ὄντος.

1. θεοπνεύστους Bm. θεοπνεύστοις G. 3. ἐτῶν add. B. ργ'] ρα' m. 9 ἐτῶν addidi ex AB. Toties hoc et ceteros casus omisit Goarus, ut de eo in posterum non sim moniturus, nisi ubi ex alterutro tantum codice sumpsero. Idem de articulis vel additis vel omissis aliisque vitiis levioribus dictum esto. 12. τοῦ] τὸν G. 13. τὸν σάλα B. αὐτὸν Σάλα G. 14. διημαρτηκόσιν B. διημαρτηκέναι G. 15. φασὶ γεννηθῆναι] γεννηθῆναι φασὶ G. τῷ Bm. τὸν G. 18. τῆς Γενέσεως om. G.

sacris in paginis positas de illo vel de reliquis patriarchis narrationes, ut inferius declarabitur, existimemus.

Sem primogenitus Noe aetatis 101, a diluvio anno secundo genuit Arphaxad, mundi 2243, Noe 601, annis vero superstes fuit 500 usque ad mundi 2742. Noe porro vixit a diluvio annis 350 et anno mundi 2592 functus est vita, Sem aetatis 450.

Arphaxad aetatis 135 genuit Cainan anno mundi 2377 vixitque annis 355 usque ad 2732, et patre Sem annis 10 prior obiit. Caeterum exemplaria nonnulla, ut et Eusebii scripta, post Sala natum, Arphaxad annis 403, inter vivos egisse referunt, quibus ceu a temporum generationumque numero aberrantibus haud quaquam possumus assentiri; vice namque Cainan Sala genuisse Arphaxad Africanus et Eusebius narrant; et quartam quidem decimam Sala ponunt tertiam decimam, nulla secundi Cainan mentione facta, quem sacri passim libri ac evangelium Lucae studio scriptum Arphaxad filium, tertium quidem decimum ab Adamo, Sala vero ab eodem protoparente Adamo 14, patrem referunt.

*Καϊνᾶν γενόμενος ἐτῶν ρλ' ἐγέννησε τὸν Σάλα, τῷ ͵βφζ' ἔτει τοῦ κόσμου, καὶ ἐπέζησεν ἔτη υλ'. τινὰ δὲ τῶν ἀντιγράφων τλ' περιέχουσι.*

*Σάλα γενόμενος ἐτῶν ρλ' ἐγέννησε τὸν Ἔβερ τῷ ͵βχλζ' ἔτει* C *τοῦ κόσμου, καὶ ἐπέζησε Σάλα τλ' ἔτη ἕως τοῦ ͵βϡξζ' κοσμικοῦ ἔτους. τῷ δὲ σκ' ἔτει τοῦ Σάλα Ἀρφαξὰδ ἀπέθανεν.*

*Ἔβερ γενόμενος ἐτῶν ρλδ' ἐγέννησε τὸν Φαλὲκ, τῷ ͵βψοα' ἔτει τοῦ κόσμου, καὶ ἔζησεν Ἔβερ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Φαλὲκ ἔτη σο' ἕως τοῦ ͵γμ' κοσμικοῦ ἔτους. τῷ οὖν ρ' ἔτει Ἔβερ, ὅπερ ἦν ͵βψλς' ἔτος τοῦ κόσμου, ἤρξαντο οἰκοδομεῖν τὸν πύργον. τῷ δὲ ρμ', ἤτοι κοσμικῷ ͵βψος', συνεχύθησαν αἱ γλῶσσαι, ἔτει ε' τῆς ζωῆς Φαλὲκ, καὶ διεσπάρησαν ἔτει ϛ', ὥς τινες ἠκριβολογήσαντο οὐκ ἀπεικότως οἶμαι.*

*Φαλὲκ γενόμενος ἐτῶν ρλ' ἐγέννησε τὸν Ῥαγαῦ, καὶ ἔζησεν ἔτη σθ'. καὶ ἀπέθανε πρὸ τοῦ ἰδίου πατρὸς, καὶ οὕτως Ἔβερ δεύτερος μετὰ τὸν Λάμεχ ἔτη σλ'.*

*Ῥαγαῦ γενόμενος ἐτῶν ρλβ' ἐγέννησε τὸν Σερούχ τῷ ͵γλγ' ἔτει* D *τοῦ κόσμου, σξβ' ἔτει τοῦ Φαλέκ.*

*Σερούχ γενόμενος ἐτῶν ρλ' ἐγέννησε τὸν Ναχὼρ τῷ ͵γρξγ' ἔτει τοῦ κόσμου.*

*Ναχὼρ γενόμενος ἐτῶν οθ' ἐγέννησε τὸν Θαρὰ τῷ ͵γσμβ' ἔτει τοῦ κόσμου.*

1. *ἐτῶν* add. B. 9. *γμ'*] *γμα'* m. 12. *ἔτει*] *ἔτη* A. 14 et 17. *ῥαγαῦ* B. *Ῥαγάμ* G. 15. *καὶ οὗτος δεύτερος μετὰ τὸν Λάμεχ ἀπέθανεν πρὸ τοῦ ἰδίου πατρὸς Ἔβερ ἔτη ρϟα'* m. *οὕτως*] *οὗτος* B. 17 et 21. *ἐτῶν* addidi ex B. 21. *Θάρα* B. *Θάῤῥα* G. 22. *καὶ ἐπέζησεν ἔτη σ'* add. m.

Cainan aetatis 130 genuit Sala anno mundi 2507 mansitque superstes annis 450, licet exemplarium nonnulla 330 scribant.

Sala aetatis 130 genuit Heber anno mundi 2637, superstes mansit annis 330 usque ad mundi 2967. Arphaxad porro Sala 230 ex hac luce migravit.

Heber aetatis 134 genuit Phalec, anno mundi 2771, a cuius natalibus usque ad mundi 3041 vixit Heber annis 270. Huius igitur anno centesimo, qui mundi 2736 numerabatur, turrim exaedificare coeperunt, ac 140, hoc est mundi 2776, confusae sunt linguae, Phalec aetatis quinto; homines porro, prout non indiligenter, me iudice, quidam rationes digesserunt, dispersi sunt sexto.

Phalec aetatis anno trigesimo supra centesimum genuit Ragam et postmodum vixit annis novem et ducentis. Hic ordine secundus post Lamech proprii patris Heber letum annis 191 moriens praevenit.

Ragam aetatis anno 132 genuit Seruch anno mundi 3033, anno Phalec ducentesimo sexagesimo secundo.

Seruch aetatis anno 130 genuit Nachor, anno mundi 3163, et vixit superstes annis ducentis.

Nachor aetatis 79 genuit Thara anno mundi 3242.

*Θαρὰ γενόμενος ἐτῶν ο΄ ἐγέννησε τὸν Ἀβραάμ· ἐπέζησε δὲ ἔτη ρλε΄ ἕως τοῦ λε΄ ἔτους τοῦ Ἰσαάκ· τούτου ρμε΄ ἔτει Ἀβραὰμ καταλιπὼν αὐτὸν ἐν Χαρρὰν παρῴκησεν εἰς γῆν Χαναὰν κατὰ*
P. 116 *θεῖον χρησμὸν γεννηθεὶς μὲν τῷ ,γτιγ΄ ἔτει τοῦ κόσμου, ἐπιβὰς δὲ τῆς ἐπηγγελμένης γῆς τῷ ,γτπζ΄ ἐξ Ἀδάμ, οε΄ ὄντι τῆς ζωῆς αὐτοῦ ἔτει.*

*Ἀβραὰμ γενόμενος ἐτῶν ρ΄ ἐξ ἐπαγγελίας ἐγέννησε τὸν Ἰσαάκ.*

*Ἰσαὰκ γενόμενος ἐτῶν ξ΄ ἐγέννησε τὸν Ἰακὼβ τῷ ,γυογ΄ ἔτει τοῦ κόσμου. τὸ δ᾽ αὐτὸ ἦν καὶ τοῦ Ἀβραὰμ ἔτος ρξα΄. ὡς εἶναι δῆλον ὅτι ὁ Ἰακὼβ κατὰ τὸ ροε΄ ἔτος Ἀβραάμ, ἐν ᾧ μετήλλαξεν, ιδ΄ ἐτῶν ἦν τοὐλάχιστον.*

*Ἰακὼβ ἔτει πβ΄ τῆς ζωῆς αὐτοῦ ἐγέννησε τὸν Λευί, καθὼς ἐν τῇ προλαβούσῃ συντάξει σαφῶς ἀποδέδεικται. ἀνάγκη γὰρ*
B *ἅπασα μεταξὺ τῆς γενέσεως Ἰωσὴφ καὶ Λευὶ θ΄ μεσεμβολεῖν ἔτη, ἐπεὶ καὶ ἔνατος ἐτέχθη μετ᾽ αὐτόν. ἀποδείκνυται δὲ Ἰωσὴφ ἐκ τῆς γραφῆς τῷ ϟα΄ Ἰακὼβ τεχθείς, εἴ γε ρκ΄ ἔτει τοῦ πατρὸς λ΄ ἔτος ἄγων ἐπὶ τῆς ἀρχῆς Αἰγύπτου ἀναβιβάζεται. συναποδέδεικται δὲ καὶ Λευὶ διὰ τοῦτο πρὸ θ΄ ἐτῶν αὐτοῦ τῷ πβ΄ ἐξ ἀνάγκης γεννηθεὶς τοῦ Ἰακὼβ ἔτει. καὶ ἔτι πρὸς τούτοις ἐπισυνάγεται πρὸ δέκα τῆς γενέσεως ἐτῶν τοῦ Λευὶ παραγενέσθαι*

1. Θάρα B. Θάῤῥα G. 2. τοῦ om. G. λε΄ Bm. λ΄ G. τοῦ add. B. 3. εἰς γῆν B. ἐν γῇ G. 4. ,γτιβ΄ m. 7. Ita B. ἐγέννησεν τὸν Ισαὰκ ἐξ ἐπαγγελίας G. 9. τὸ δ᾽ αὐτὸ m. τῷ δ᾽ αὐτῷ G. τοῦ B. τῷ G. 10. δῆλον ὅτι] Vulgo δηλονότι. ἐν ᾧ add. B. 15. ἐπεὶ Bm. ἑπτὰ G. ἔννατος B. θ΄ G. αὐτὸν Bm. αὐτῶν G. δὲ om. G. 18. πρὸ θ΄ ἐτῶν B. πρὸς θ΄ ἐτῶν A. πρὸς θ΄ ἔτους G. 19. τοῦ] τῷ G. ἔτει Bm. ἔτη G. ἔτι] ἔτει Bm. 20. δέκα τῆς m. δεκάτης G.

Thara aetatis septuagesimo genuit Abraham, superstes autem fuit annis 135 usque ad trigesimum quintum Isaac annum. Eo aetatis suae 145 relicto Abraham divinis iussis obsequutus peregrinatus est in terram Chanaan; ac primam quidem lucem adspexit anno mundi 3312, et ab Adamo creato anno 3387 promissam terram vitae suae anno 75 est ingressus.

Abraham aetatis centesimo iuxta dei pollicita genuit Isaac.

Isaac aetatis sexagesimo genuit Iacob anno mundi 3473, qui erat Abraham 161, Iacob Abrahae anno 175, quo decessit etiam e vivis, quatuordecim ad minus erat annorum.

Iacob aetatis octogesimo secundo genuit Levi, prout iam praecedente syntagmate demonstratum est. Novem siquidem annos inter Ioseph et Levi natalia interponere penitus est necessarium, eum post hunc nonus sit ille genitus. Ioseph autem nonagesimo primo Iacob aetatis natum scriptura declarat, quandoquidem ipse patris 120, annum agens 30, ad moderandam Aegyptum evehitur; simul vero annis novem prior, patris nimirum 82, Levi natus indubie colligitur; ac insuper annis decem ante Levi

τὸν Ἰσραὴλ εἰς Μεσοποταμίαν. ζʹ γὰρ ἔτη δουλεύσας ὑπὲρ τῆς Ῥαχὴλ πρῶτα καὶ παρὰ γνώμην τῇ Λείᾳ μιχθεὶς τρίτον ἔσχε V. 93 παῖδα τὸν Λευὶ παρ' αὐτῆς ἐν τρισὶν ἔτεσι δηλονότι. ὥστε οὔτε C τῷ Ἀφρικανῷ πιστευτέον πζʹ ἔτει τοῦ Ἰακὼβ λέγοντι γεννηθῆναι τὸν Λευὶ οὔτε τῷ Εὐσεβίῳ λέγοντι τῷ πϛʹ ἔτει. κατ' ἄμφω γὰρ ἢ τῷ ϟϛʹ ἢ τῷ ϟεʹ τῆς ζωῆς Ἰακὼβ εὑρεθήσεται γεννηθεὶς ὁ Ἰωσήφ· ὅπερ ἀσύμφωνον τῇ θείᾳ γραφῇ παριστώσῃ τοῦτον ἐτῶν λʹ ἄρξαντα τῆς Αἰγύπτου καὶ μετὰ τὰ δέκα ἔτη, ἑπτὰ λέγω τῆς εὐθηνίας καὶ τρία τῆς λιμοῦ, ἀπολαβόντα τὸν πατέρα Ἰσραὴλ πανοικὶ ρλʹ ἐτῶν, τεσσαρακοντούτην ὄντα δηλονότι. ὥστε ἐκ τούτων ἀκριβῶς παρίσταται ἡ ἑκατέρου γένεσις, καὶ οὕτως ἡμῖν στοιχειωθήσεται ἔχουσι καὶ ἑτέρους μεταγενεστέρους ἐκκλησιαστικοὺς ἱστορικοὺς συνᾴδοντας, μὴ μέντοι μετὰ D τῆς προκειμένης αἰτιολογίας καὶ ἀκριβοῦς ἀποδείξεως. Ἰακὼβ ἔτει ϟαʹ ἐγέννησε τὸν Ἰωσήφ, ἔσχατον πάντων τῶν ἐν Μεσοποταμίᾳ τεχθέντων αὐτῷ παίδων, πρῶτον δὲ ἐκ τῆς Ῥαχήλ. Ἰωσὴφ δὲ μετὰ τὴν ἐν γῇ Χαναὰν ἐπάνοδον τοῦ πατρὸς φθόνῳ τῶν ἀδελφῶν δοῦλος πραθεὶς κατήχθη εἰς Αἴγυπτον τῷ ρζʹ ἔτει τοῦ Ἰακώβ, αὐτὸς ὢν ἐτῶν ιζʹ, καὶ μετὰ ιγʹ ἔτος ἐτῶν ὑπάρχων λʹ τὴν ἡγεμονίαν Αἰγύπτου ἐγχειρίζεται ἐπὶ Ἀφώφεως Φαραὼ βα-

1. ὑπὲρ B. περὶ G. 4. ἔτει B. ἔτη G. 7. θείᾳ om. B. 9. τῆς λιμοῦ B. τοῦ λιμοῦ G. 10. τεσσαρακοντούτην m. σεραχοντούτην G: quod nihili est. Novae Graecitatis esset σαραντούτην. 11. ἡ om. G. 12. ἔχουσιν καὶ AB. καὶ om. G. 15. ἔτει B. ἔτη G. 17. ἐν γῇ χαναὰν ἐπάνοδον B. ἐπάνοδον τῆς ἐν γῇ Χαναὰν G.

natalia Iacob in Mesopotamiam convincitur migrasse. Septem enim annis Rachel procatus serviit ac praeter sententiam Liae commixtus, tertium e liberis Levi, tertio nimirum anno lapso suscepit; atque ita nullam apud me fidem meretur Africanus anno Iacob 87 Levi natum affirmans, vel Eusebius qui 86 eiusdem adscribit natalia. Ex utriusque quippe mente vel 96 vel 95 Iacob aetatis anno Ioseph ortus comperietur, quod quidem a divina scriptura ad Aegyptiaci imperii dignitatem anno trigesimo promotum ac decem deinde lapsis annis, ubertatis dico septem et famis tribus, cum ipse quadragenarius esset, patrem Israël 130 provectum cum tota familia ad se vocasse referente penitus alienum est. Atque ita luce clarius utriusque nativitatis tempus arguitur, eoque pacto a nobis, concinente etiam posteriorum Historicorum voce, (nec enim propositis solum argumentis vel diligentiori nostro computo innitimur), statutum est. Iacob aetatis 91 postremum in Mesopotamia, primum autem ex Rachel susceptorum, genuit Ioseph. Ille post patris in terram Chanaan reditum fratrum invidia in servum pretio venditus in Aegyptum anno patris 107, aetatis propriae 17, deducitur, ac 13 in servitute exactis annis, cum ipse annorum triginta esset, sub Aphophi Pharaone Aegypti rege, dynastia decima septima

σιλέως Αἰγύπτου, κατὰ τὴν δυναστείαν, τῷ ρκ' ἔτει τοῦ πατρός. καὶ μετὰ ἔτη ι', ἕβδομον μὲν τῆς εὐθηνίας, τρίτον δὲ τῆς λιμοῦ, κατῆλθεν Ἰακὼβ εἰς Αἴγυπτον, ἔτει μ' τοῦ Ἰωσήφ, ρλ' ἄγοντος P. 117 ἔτος, καὶ ἐπέζησεν ἐν Αἰγύπτῳ ἔτη ιζ', ὡς ἡ θεία γραφὴ τῆς Γενέσεως μαρτυρεῖ. ἦν δ' ἄρα καὶ Ἰωσὴφ κατὰ τὴν ἀκόλουθον ἀπαρίθμησιν ἐν τῷ καιρῷ τοῦ θανάτου Ἰακὼβ ἐτῶν νζ'. τοῦ δὲ πατρὸς αὐτοῦ τῷ ρμζ' τῆς ζωῆς αὐτοῦ μεταλλάξαντος ἔτει, ὅπερ ἦν κοσμικὸν ,γχιθ'. αὐτὸς ἐπέζησεν Ἰωσὴφ ἔτη λοιπὰ νγ'. ὁμοῦ γίνονται ἔτη τῆς ζωῆς Ἰωσὴφ ρι', κόσμου δὲ ,γχοβ'. μέχρι μὲν οὖν τῆς αὐτοῦ τελευτῆς ἡ ἱερὰ Γένεσις ἱστορεῖ, μηδαμοῦ χρόνους ἡμῖν τοῦ Λευὶ διαγράφουσα, καθ' οὓς ἐγέννησε τὸν Καὰθ ἢ τοὺς τοῦ Καὰθ, καθ' οὓς οὗτος τὸν Ἀμβρὰμ ἢ ὁ Ἀμβρὰμ τὸν Μωϋσῆν. ἡ δὲ τῶν υλ' ἐτῶν ἀπαρίθμησις τῆς ἐν γῇ Χα-B ναὰν παροικίας τοῦ Ἰσραὴλ καὶ ἐν Αἰγύπτῳ, κατὰ τὴν πρὸς Ἀβραὰμ τοῦ θεοῦ πρόῤῥησιν, κατὰ πάντας τοὺς ἑρμηνευτὰς καὶ ἱστορικούς, ἀπὸ ε' καὶ ο' ἔτους ἀριθμεῖται· καὶ ἔστιν ἀπὸ τοῦ αὐτοῦ οε' ἔτους Ἀβραὰμ ἕως τελευτῆς Ἰωσὴφ καὶ τῆς βίβλου τῆς Γενέσεως ἔτος τῆς αὐτῆς παροικίας σ' οὕτως· ἀπὸ οε' ἔτους Ἀβραὰμ ἕως γεννήσεως τοῦ Ἰσαὰκ ἔτη κε'. Ἰσαὰκ ἐγέννησε τὸν Ἰακὼβ ἔτει αὐτοῦ ξ'. Ἰακὼβ ἐτῶν ρλ' μετῆρε πρὸς Ἰωσὴφ εἰς Αἴγυπτον, δεκάτῳ ἔτει τῆς ἀρχῆς αὐτοῦ, καὶ μ' τῆς ζωῆς

1. ιζ' δυναστείαν m. 2. εὐθηνείας B. 3. ἔτει B. ἔτη G. 8. ἄγοντος B. ἄγων G. 7. αὐτοῦ μεταλλ.] μεταλλ. αὐτοῦ G. 11. καθ' οὓς Bm. καθὼς G. 12. Ἀμβρὰμ bis m. ἄμβραμ B. ἄβραμ altero loco A. Ἀβραὰμ G. 15. πάντας τοὺς] τοὺς πάντας G. ἑρμηνευτὰς B. ἑρμηνεύσαντας G. 16. ε' B. τοῦ ε' G. 18. ἔτος B. ἔτους G. σπε' ἔτη καὶ ἕως τοῦ ἐσχάτου ἔτους τῆς παροικίας σιε' ἔτη, οὕτως m. 19. τοῦ ἰσαὰκ B. Aberat τοῦ. 20. μετῆρεν Bm. μετήρας G.

locato, anno paternae aetatis 120 gubernandam Aegyptum accepit. Praeteritis decem annis, ubertatis videlicet septem ac famis tribus, Iacob 130 agens annum, Ioseph autem 40, descendit in Aegyptum et, teste Geneseos scriptura, annis 17 fuit superstes; ac iam morituri Iacob tempore, (decessit autem ille aetatis 147, qui mundi fuit 3619), annum 57 numeravit ac insuper aliis 53 vixit, omniumque vitae Ioseph annorum summa est 110, a mundi natalibus 3672. Sane ad eius usque mortem narranda quaeque sigillatim et enucleate persequitur scriptura, Levi vero annos, quo nimirum tempore Caath vel Caath posteros, ex quibus deinde Amram vel Amram Mosen suscepit, nulla tenus explicat. Quadringenti vero triginta anni Abraham a deo praenunciati, quibus Israël in terra Chanaan peregrinaretur et in Aegypto moram facturus esset, communi cum Interpretum, tum Historicorum suffragio, a 75 Abraham anno ducunt exordium; recensentur autem ab eiusdem Abraham anno 75 usque ad Ioseph obitum vel libri Geneseos finem anni 285 et usque ad ultimum in terra Chanaan habitationis 215, hoc pacto. Ab anno Abrahae 75 usque ad Isaac natalia anni 25, Isaac aetatis 60, genuit Iacob; hic aetatis 130 ad Ioseph in Aegyptum profectionem suscepit, anno imperii eius decimo ac eiusdem

ὑπάρχοντι. ἔζησε δὲ Ἰωσὴφ μετὰ τὸ ρλʹ ἔτος Ἰσραὴλ, ἤτοι τὸ μʹ τῆς ζωῆς αὐτοῦ, ἔτη οʹ. ἦν ἄρα κατὰ μὲν τὸ ρλʹ ἔτος Ἰακὼβ ἔτος τῆς θείας προρρήσεως καὶ τῆς ἐν γῇ Χαναὰν παροικίας σιεʹ. C ὡς ἅπαντες σὺν τῇ γραφῇ καθομολογοῦσι, κόσμου δὲ ͵γχʹ. ἐπέζησε δὲ Ἰωσὴφ ἔτη οʹ τῆς ἐν Αἰγύπτῳ παροικίας. λείπονται δὲ εἰς ἀναπλήρωσιν τῶν υλʹ ἐτῶν ἀπὸ ριʹ Ἰωσὴφ ἔτους ἕως ἐξόδου καὶ ἐλευθερίας υἱῶν Ἰσραὴλ, ἥτις γέγονεν ἐπὶ Μωϋσέως πʹ, λοιπὰ ἔτη ρμεʹ. τούτων ὁμολογουμένων ἔχομεν τὰ πʹ Μωϋσέως, τὰ δὲ λοιπὰ ξεʹ ἀπὸ τελευτῆς Ἰωσὴφ καὶ τῆς βίβλου τῆς Γενέσεως ἕως πρώτου ἔτους Μωϋσέως σεσίγηνται τῇ γραφῇ μηδαμοῦ φερόμενα· μόνον δὲ ἐκ τῆς προκειμένης πρόσθεν ἀφαιρέσεως τῶν υλʹ τῆς παροικίας ἡμῖν ὄντα πρόδηλα, ὅτι ξεʹ ἔτη εἰσὶν ἀπὸ τῆς τε- V. 94 λευτῆς Ἰωσὴφ ἐπὶ τὴν Μωϋσέως γέννησιν, ἅτινα γενεαλογεῖν ἀπὸ D Ἰωσὴφ καὶ κατιέναι ἐπὶ Μωϋσέα ἀδύνατον, διὰ τὸ ἐξ ἄλλης φυλῆς τὸν αὐτὸν κατάγεσθαι Μωϋσέα τῆς Λευιτικῆς. ἀνάγκη δὴ πᾶσα λοιπὸν ἐνταῦθα παραθεμένους τὰ φανερῶς τῇ γραφῇ λελεγμένα καὶ πᾶσιν ὁμολογούμενα ὡς ἐπ᾽ ἄλλην ἀναδραμεῖν ἀρχήν. τὸ πρῶτον ἔτος Λευὶ, τοῦτο δὲ ἦν, ὡς πρὸ βραχέος δέδεικται, κατὰ τὸ πβʹ τοῦ Ἰακὼβ, τὸ δ᾽ αὐτὸ πάλιν τῆς μὲν ἐν τῇ Χανανίτιδι γῇ παροικίας ἔτος ἦν ρξζʹ οὕτως· ὁ Ἀβραὰμ ἀπὸ οεʹ ἔτους

1. τοῦ Ἰσραὴλ G. ἤτοι τὸ m. ἤτοι τῷ G. 2. ἔτη] ἔτει AB. μὲν τὸ Bm. μὲν τῷ G. 4 ͵γχβʹ m. 6. ἀπὸ] ἀπὸ τῶν G. ἔτους B. ἔτος G. ἐτῶν m. 7. μωϋσέως A. Μωσέως G. 8. ἔχωμεν B. 10. ἕως τοῦ πρώτου m. ἕως τοῦ om. G. 16. λοιπὸν] λοιπὰ G. τὰ om. G. 18. βραχέος] Scribebatur βραχέως. 19. κατὰ τὸ Bm. κατὰ τῷ G. τὸ δ᾽ αὐτὸ Bm. τῷ δ᾽ αὐτῷ G.

aetatis quadragesimo; post patris autem Israël 130, hoc est post sui ipsius 40, vixit Ioseph annis 70, erat itaque circa Iacob 130 annus divinis oraculis futurae in terra Chanaan habitationis, ex omnium cum scriptura consensu 215, mundi vero 3602, migrationi deinde in Aegyptum superfuit Ioseph annis 70. Ad completum autem 130 annorum numerum usque ad exitum et restitutam filiis Israël libertatem, quae anno Mosis octogesimo contigit, residui desunt anni 145. His ita statutis penes nos iam sunt 80 Mosis anni, reliqui licet sexaginta quinque ab obitu Ioseph et libri Geneseos termino ad primum usque Mosis annum, silentio velati nullo scripturae loco memorantur; ex praefato siquidem peregrinationis in terra Chanaan spatio et ex subductione ab annis 430 facta dignoscuntur; sunt enim ab obitu Ioseph usque ad Mosis natalia 65 numerandi, quos quidem per generationum seriem ab Ioseph percensere et ad Mosen usque deducere, quod Moses ex alia tribu, Levitica nimirum, sit ortus, impossibile est; ac proinde ad eos quos apertius recenset scriptura, quique sunt apud omnes in confesso, velut ad certius communiusque principium recurrere nos necessitas urget. Primus Levi annus, erat vero ille, prout nuper praemisimus, Iacob 82, ac peregrinationis in terra Chanaan 167, hoc pacto. Abra-

P. 118 ἐπὶ ρκε΄ ἔτη. Ἰσαὰκ ἕως πρώτου Ἰακὼβ ξ΄. Ἰακὼβ ἕως πρώτου ἔτους Λευὶ πβ΄. ὁμοῦ ρξζ΄ λοιπὰ τῶν υλ΄ τῆς παροικίας σξγ΄. ἅτινα μαρτυρούμενα ὑπὸ τῆς γραφῆς οὐδαμοῦ φαίνεται, πλὴν τῶν π΄ Μωϋσέως. τὰ δὲ λοιπὰ ρπγ΄ ἀπὸ πρώτου ἔτους Λευὶ ἕως πρώτου ἔτους Μωϋσέως οὕτως πᾶσιν ἀψευδῶς συμπεφώνηται. Λευὶ ἐτῶν μζ΄ ἐγέννησε τὸν Καάθ· Καὰθ ἐτῶν ξ΄ ἐγέννησε τὸν Ἀμβράμ. Ἀμβρὰμ ἐτῶν οε΄ ἐγέννησε τὸν Μωϋσῆν. Μωϋσέως ἔτος πρῶτον. ὁμοῦ γίνονται ρπγ΄ ἀπὸ πρώτου ἔτους Λευὶ ἐπὶ
B πρῶτον ἔτος Μωϋσέως. ἐπὶ δὲ τῷ πα΄ τοῦ αὐτοῦ Μωϋσέως, καθ' ὅ τι ἐξ Αἰγύπτου πορείας τοῦ Ἰσραὴλ ἡγήσατο, ἔτη σξγ΄. ἦν δὲ καὶ αὐτὰ ἀπὸ οε΄ ἔτους Ἀβραὰμ ἐπὶ τὸ πρῶτον ἔτος Λευὶ ρξζ΄ ἔτη. ὁμοῦ τῆς ἐν γῇ Χαναὰν καὶ Αἰγύπτου παροικίας Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ τῶν πατριαρχῶν ἔτη υλ΄ ἕως πα΄ ἔτους Μωϋσέως.

Μή τις δὲ νομιζέτω διαφωνεῖν τὴν περὶ τῶνδε τῶν χρόνων ἔννοιαν πρὸς τοῦ θεοῦ τῷ Ἀβραὰμ εἰρημένην. ἐν τῇ Γενέσει μέν, ᾗ φησι „γινώσκων γνώσῃ ὅτι πάροικον ἔσται τὸ σπέρμα σου ἐν γῇ οὐκ ἰδίᾳ, καὶ δουλώσουσιν αὐτοὺς καὶ κακώσουσι καὶ ταπεινώσουσιν αὐτοὺς υ΄ ἔτη." ἐν δὲ τῇ βίβλῳ τῆς Ἐξόδου „ἡ δὲ
C κατοίκησις τῶν υἱῶν Ἰσραήλ, ἣν κατῴκησαν αὐτοὶ καὶ οἱ πατέ-

1. πρῶτον Ἰσαὰκ ἔτη κε΄ m. 3. ὑπὸ B. μὲν ἀπὸ G. 5. ἔτους τοῦ Μωϋσέως G. 7. Ἀμβρὰμ bis m. ἄμβραμ B. Ἀβρὰμ G. 9. τῷ πα΄ τοῦ B. τὸ πα΄ ἔτος τοῦ G. μωσέως B. 11. καὶ et ἔτους add. B. 16. Γενέσει] XV, 13. 17. ἣ φησὶν AB. ᾗ φησὶν G. γνώσῃ] γνώσει G. 18. οὐκ] οὐχ AB. —ουσιν] —ωσιν ter A. 19. Ἐξόδου] XII, 40.

ham a 75 aetatis anno ad Isaac natalia numerat 25, Isaac usque ad primum Iacob 60, Iacob usque ad Levi primum 82. Summa omnium 167. Reliqui 263 in transmigratione Aegyptiaca exacti, nec non ad totam molem 430 complendam desiderati, demptis 80 vitae Mosis, nullum in scriptura quo patefiant reperiunt testimonium; ii tamen qui a primo Levi ad primum usque Mosis annum 183 numerantur consensu omnium approbantur hoc pacto. Levi aetatis 47 genuit Caath; Caath aetatis 60 genuit Amram; Amram aetatis 75 Mosen; Mosis primus annus. A primo Levi usque ad primum Mosis annum summa anni 183, ad 81 vero, quo profectionis ex Aegypto se ducem exhibuit, anni simul 263, erant autem a 75 Abrahae usque Levi primum anni 167. Summa igitur peregrinationis Abraham, Isaac et Iacob reliquorumque patriarcharum in terra Chanaan et Aegypti ad Mosis annum 81, 430 annorum est.

Nullus autem annorum numerum Abraham a deo praenunciatum allatae nuper temporum rationi contrarium existimet, ac Geneseos quidem locum hunc quo dicit deus: „scito praenoscens quod peregrinum futurum sit semen tuum in terra non sua et subiicient eos servituti et affligent et humiliabunt quadringentis annis." Hinc alteri Exodi libro comparet: „habitatio filiorum Israël, qua ipsi et patres eorum habitaverunt in terra

ρες αὐτῶν ἐν γῇ Αἰγύπτῳ καὶ ἐν γῇ Χαναὰν ἔτη υλ'. καὶ ἐγένετο μετὰ τὰ υλ' ἔτη, ἐξῆλθε πᾶσα ἡ δύναμις κυρίου ἐκ γῆς Αἰγύπτου νυκτός." ἄμφω γὰρ ἀληθῆ. τά τε υ' μετὰ τὸ ρ' ἔτος Ἀβραὰμ ἀριθμούμενα ἀπὸ τῶν χρόνων Ἰσαὰκ ἔτη, ὃς ἦν καὶ κυρίως σπέρμα αὐτοῦ ἐξ ἐπαγγελίας θεοῦ καὶ πίστεως, τά τε υλ' ἀπὸ τοῦ οε' ἔτους Ἀβραὰμ καὶ τῆς πρώτης παροικίας εἰς γῆν Χαναάν. τὸ δὲ δουλώσουσι καὶ κακώσουσι καὶ ταπεινώσουσι διεζευγμένως καὶ ἀπροσδιορίστως νοητέον τῶν υ' ἐτῶν, ὡς ἄν τις εἴποι. πάροικον ἔσται τὸ σπέρμα σου ἐν γῇ οὐκ ἰδίᾳ ἔτη υ' καὶ δουλώσουσι καὶ κακώσουσιν αὐτό. ὁ γάρ τοι τῆς δουλείας χρόνος ἐν ὅλοις ἔτεσιν εὑρίσκεται τοῖς ἀπὸ τελευτῆς Ἰωσὴφ ἕως πα' ἔτους Μωϋσέως συμπεραιούμενος [D] ρμε', ἀρξάμενος μὲν ἐκ κουφοτέρων τῶν συμφορῶν μετὰ τὴν Ἰωσὴφ λῆξιν, αὐξηθεὶς δὲ κατὰ πρόσβασιν κατὰ Μωϋσέα καὶ Ἀαρὼν καὶ τοὺς ἀμφ' αὐτούς.

Καὶ ταῦτα μὲν ἐν βραχεῖ τῷ πέρατι τῆς Γενέσεως ἐπισεσήμανται χρησιμεύοντα κἂν τοῖς πρὸ Μωϋσέως καὶ ἐπ' αὐτοῦ καὶ μετ' αὐτὸν χρόνοις, περὶ ὧν ἥ τε τῆς Ἐξόδου καὶ τοῦ Λευιτικοῦ Ἀριθμῶν τε καὶ Δευτερονομίου περιέχουσιν ἱεραὶ βίβλοι. ὑπολείπεται δὲ ἡμῖν μικρὰ περὶ τῶν δώδεκα φυλάρχων πατριαρχῶν διαλαβεῖν πρὸ τῆς κατὰ μέρος κανονογραφίας. οὗτοι δὴ τὸν ἀριθμὸν ὄντες ιβ' τῷ Ἰακὼβ παῖδες ἐκ δ' γυναικῶν, δύο μὲν [P. 119] ἐλευθέρων τῆς Λείας καὶ τῆς Ῥαχήλ, δύο δὲ παιδισκῶν Ζελφᾶς

1. αἰγύπτῳ B. Αἰγύπτου G. 2. μετὰ τὰ υλ' ἔτη B. μετὰ υλ' ἔτη A. μετὰ ἔτη υλ' G. ἡ om. B. 9. οὐκ] οὐχ B. 10. αὐτό] αὐτοὺς G. 20. δὴ τὸν ἀριθμὸν B. δὲ τῶν ἀριθμῶν G.

**Aegypti et in terra Chanaan, quadringentis triginta annis expletur; et factum est post annos 430, ut omnis exercitus domini egressus sit ex Aegypto nocte." Verum est etenim utrobique dictum. Nam et 400 anni ab aetatis Abraham 100, et primis Isaac, qui proprium ex dei fideique promissione fuit eius semen, temporibus numerantur; nec non etiam 430 ab Abrahamo 75 et prima per terram Chanaan peregrinatione; at quod dicitur: et subiicient eos servituti et affligent et depriment eos; divisim et indefinite per quadringentos illos annos animo percipiendum; ac si dicat quispiam: peregrinum erit semen tuum in aliena terra annis 400 et subiicient eos servituti et affligent; servitutis enim spatium decursis a morte Ioseph usque ad Mosis 81, manifesto dignoscitur annis 145 conclusum; et a levioribus quidem calamitatibus defuncto Ioseph confestim incepisse, ac tandem ad Mosis, Aaron et coaetaneorum annos magis ac magis excrevisse.**

**Et haec quidem proposito nostro, nec non Mose prioribus et posterioribus ipsiusque aetati melius percipiendae idonea Geneseos calce concluduntur, de quibus Exodi, Levitici, Numerorum et Deuteronomii libri pluribus disserunt. Pauca nunc de patriarchis tribuum duodecim principibus, priusquam privatos singularum ordines et indices proponamus, incumbit explicare. Fuerunt illi numero duodenario Iacob filii ex quatuor coniugibus, duabus quidem Lia et Rachel liberis, duabusque aliis, Zelpha**

V. 95 καὶ Βαλλᾶς, Ῥουβὴν πάντων ἦν τῷ χρόνῳ πρωτότοκος, καὶ τῇ φύσει, ὃς τῇ παλλακῇ συνελθὼν τοῦ πατρὸς ἱερωσύνην ἀφῃρέθη καὶ βασιλείαν σὺν τοῖς πρωτοτοκίοις. ηὐλόγηται δὲ καὶ πολὺς ἐν ἀριθμῷ γέγονε τὸν Ἰωσὴφ ὑπὸ τῶν ἀδελφῶν διαφθαρῆναι μὴ συγχωρήσας. φασὶ δ' ὅτι καὶ ἀνῆλθε μὲν ἐπὶ τὴν πατρικὴν κοίτην, οὐ συνῆλθε δὲ τῇ παλλακῇ. ὅπερ οὐ συμφωνεῖ τῇ γραφῇ. B τούτοις τοῖς πρωτοτοκίοις ἐτιμήθησαν οἱ υἱοὶ Ἰωσὴφ τοῦ σώφρονος παῖδες, ὅτι τε ἐν γυναικὶ τοῦ Ῥουβὴν ἀτιμωθέντος Ἰωσὴφ ἐν γυναικὶ τῇ Αἰγυπτίᾳ μὴ συνελθὼν ἐδοξάσθη καὶ ὅτι πρωτότοκος ἐκ Ῥαχήλ. τούτοις Ἰσραὴλ τὰς χεῖρας ἐναλλὰξ καὶ σταυροειδῶς ἐπιθεὶς, τῷ Μανασσῇ μὲν ἐκ δεξιῶν ἑστῶτι, ὡς πρωτοτόκῳ τοῦ Ἰωσὴφ τὴν ἀριστερὰν, τῷ δὲ Ἐφραῒμ τὴν δεξιὰν, καίπερ ἐξ ἀριστερῶν ἑστῶτι, ὡς δευτέρῳ, προφητικοῖς ηὐλόγησεν ὄμμασί τε καὶ ἰδιοποιήσατο φυλάρχους ἀναδείξας τοὺς δύο καὶ πατριάρχας ἀντὶ Ἰωσήφ. οὗτος γὰρ καθ' ἑαυτὸν οὐκ ἐνηρίθμηται, ἀλλ' ἀντὶ τοῦ Λευὶ σὺν τῷ Ἐφραΐμ. ἡ γὰρ τοῦ Λευὶ φυλὴ C ἱερατικὴ οὖσα τῶν ιβ' χωρίς ἐστι καὶ καθ' ἑαυτήν. τιμῆς δὲ τοιαύτης ἠξιώθη, ὅτι τε ἀπὸ Ῥουβὴν τρίτος ὁ Λευὶ καὶ ὅτι κατὰ ἀναστροφὴν ἀπὸ τοῦ ὑστάτου πάντων Βενιαμὶν δέκατος εὑρεθεὶς ἐν τῷ καιρῷ τῆς ἀποδεκατώσεως πάντων τῶν προσόντων τῷ πατρὶ τῷ θεῷ ἀφιερώθη. φεύγων γὰρ τὸν Ἡσαῦ ὁ Ἰακὼβ ηὔξατο

1. Βαλλᾶς m. Βαλᾶς G. ῥουβὴν hic et infra B. Ρουβὶμ constanter G. 3. πρωτοτόκοις B. πολὺς B. πολλοῖς A πολλῶν G. 9. πρωτοτόκου AB. 11. τῷ Bm. τὸν G. 14. ὄμμασι] ῥήμασι m. φυλάρχους AB. φυλάρχας G.

et Bala ancillis, nati. Rubem ut natu, sic tempore cunctorum maximus, cum patris pellice congressus sacerdotio excidit et regnum cum primogenitorum iure amisit. Benedictionem nihilo secius velut e fratrum turba quilibet alius accepit, quod Ioseph a fratribus necari non permisisset. Cubile quidem patris eum conscendisse, non cum pellice congressum, nonnulli referunt, quorum sententia scripturis omnino repugnat. Primogenitorum donis aucti sunt continentis Ioseph filii; et Rubem mulieris causa deiecto Ioseph ab Aegyptia muliere sibi temperans ad summos honores sublatus est, cum aliunde primogeniti titulo, ceu Rachel natu primus, non careret. Eius itaque filiis commissas et in crucis modum actas manus Israël imponens, Manassi quidem, ceu Ioseph primogenito, a dextris stanti, sinistra manu, Ephraim autem, ceu minori et a sinistris posito, dextera applicata, propheticis verbis benedixit, eosque sibi vice Ioseph adoptatos patriarchas et tribuum duces renunciavit. Ioseph enim nusquam proprio nomine, sed loco Levi, Ephraim connumeratus fuit. Levi quippe tribus cum ex sacerdotibus tota sit sola sibi relicta, nec non a reliquis separata fuit. Eiusmodi vero dignus honore Levi habitus est, quod quamvis a Rubem tertius, retrogrado tamen ordine a Beniamin omnium novissimo, tempore, quo pater cunctorum bonorum decimas deo consecrabat decimus numeratus, eam ob rem deo fuerit consecratus. Fratrem siquidem Esau cum

ὁπόσα ἂν κτήσαιτο ἀποδεκατῶσαι κυρίῳ. ἄλλως τε εἰ ἀπὸ τοῦ Ῥουβὴν ὁ δέκατος Ἀσὴρ ἱερώθη, παιδίσκης ἂν ἱεράτευεν ἐπονείδιστον γένος, ὅπερ οὐκ ἤρεσε τῷ θεῷ. μετὰ δὲ τὸ εὐλογῆσαι τὸν Ἰακὼβ τοὺς υἱοὺς Ἰωσὴφ, προσκαλεσάμενος τοὺς υἱοὺς αὐτοῦ εὐλόγησε πάντας ἀπὸ Ῥουβὴν ἀρξάμενος. ἐλθὼν δὲ ἐπὶ τὸν Ἰούδαν ὡς βασιλέα ηὐλόγησεν, ὅτι, φασί, καὶ αὐτὸς ἐν γυναικί, D τῇ ἰδίᾳ νύμφῃ Θάμαρ, ἐδικαιώθη, ἀγνοίᾳ ἁμαρτήσας καὶ ἑαυτὸν κατακρίνας. ταύτην ἐκ γένους Ἀβραὰμ οὖσαν, ὥς τινες, ὁ Ἢρ υἱὸς Ἰούδα, ὡς ἐκ τῆς Χαναανίτιδος, ὢν ἀνὴρ, αὐτὸς πρῶτος οὐκ ἔγνω αὐτήν. ὁμοίως δὲ καὶ ὁ Αὐνὰν ὁ ἀδελφὸς αὐτοῦ τὸ ἴδιον σπέρμα ἠφάνιζε τῆς αὐτῆς μητρὸς, παῖς ὢν Σαύας, ἥτις ἐκώλυσε καὶ τὸν Σηλὼμ ζευχθῆναι τῇ Θάμαρ, τῷ αὐτῷ μίσει κρατουμένη.

Λευὶ ἐτῶν ρλζ΄ ἐτελεύτησεν ἐν Αἰγύπτῳ, τῷ κη΄ ἔτει τοῦ P. 120 Ἀμβρὰμ πατρὸς Μωϋσέως. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γχϟ΄.

Τῷ ξβ΄ ἔτει Ἀμβρὰμ ἐγεννήθη Μαρία ἡ ἀδελφὴ Μωϋσέως. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γψκδ΄.

Τῷ οβ΄ ἔτει Ἀμβρὰμ ἐγεννήθη Ἀαρών. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γψλδ΄.

Τὸν δὲ Μωϋσέα τεχθέντα μετὰ τριμηνιαῖον χρόνον οἱ γονεῖς

1. ἀποδεκατῶσαι] ἀποδεκατώσειεν A. ἀποδεκατώσει ἐν B. ἀποδεκατώσῃ ἐν G. 6. εὐλόγησεν A. 9. τῆς B. γῆς G. 10. αὐνᾶν AB. Ἀβνὰμ G. 11. Σαύας] Σαβᾶς G. 12. σιλὼμ B. 14. ἐτῶν add. B. 15. Ἀμβρὰμ m. ἄμβραμ B. Ἀβραὰμ G. ἦν ἔτος add. B. 16. Ἀμβρὰμ m. ἄμβραμ B. Ἀβρὰμ G. μαρία B. ἡ Μαρία G. 17. ἔτος add. B. 18. ἄμβραμ B. ἀβραὰμ A. Ἀβρὰμ G. 20. τριμηναῖον B.

fugeret Iacob, omnium a se possidendorum decimas deo se oblaturum spopondit. Aliunde vero si decimus a Rubem Aser sacerdotalem dignitatem accepisset, probrosum ancillae genus sacra pertractasset, quod nusquam deo placitum fuit. Felicibus votorum auspiciis cumulatis filiis Ioseph, propriis etiam ad se advocatis, a Rubem initio facto, benedictionis vota cunctis impertivit; tum ad Iudam ordine progressus, quali regem decet benedictione illum prosequitur; quod, aiunt, erga mulierem propriam videlicet nurum se iustum ostenderit; criminis siquidem ex ignorantia commissi se ipsum reum egit et damnavit. Thamar enim Abrahae genere natam, ut quidam narrant, Her Iudae filius ex coniugio cum Chananaea satus in uxorem ductam cognoscere noluit, ac pariter frater eius Abnam semen extra vulvam uxoriam disperdebat; erat quippe Sabae filius, quae odio Thamar Selom tertium fratrem ab eiusdem coniugio prohibuit.

Levi aetatis 137 obiit in Aegypto, Amram patris Mosis anno 28, mundi vero 3690.

Amram annis 62 natus Mariam Mosis sororem suscepit, anno mundi 3724.

Amram aetatis 72 genuit Aaron, anno mundi 3734.

Mosen natum, elapso trium mensium spatio, Amram et Iochabed quo-

ἐν θήβῃ κατησφαλτωμένῃ καταθέμενοι Ἀμβρὰμ καὶ Ἰωχάβετ ἡ
μητὴρ πρὸς ταῖς ὄχθαις τοῦ ποταμοῦ, φόβῳ τοῦ προστάγμα-
B τος Φαραῶ, μὴ ζωογονεῖσθαι πᾶν ἄρρεν Ἑβραίοις κελεύσαντος,
ἔρριψαν, τοῦτο μὲν διὰ πολλὴν ἀστειότητα κατοκνοῦντες θανάτῳ
τοιοῦτον κάλλος ἐξαφανίσαι, τοῦτο δ' ὅτι προκεχρημάτιστο θεό-
θεν τὰ κατ' αὐτὸν τῷ πατρὶ θεοφιλεῖ ὄντι, καθώς τινες τῶν
ἐκ περιτομῆς ἱστορήκασιν, ὅτι γε τοῦ Ἰσραὴλ καθηγήσεται καὶ
V. 96 ὅτι τὴν Αἰγυπτίων δυναστείαν θείῳ συντρίψει πολέμῳ. τοῦτον
ἡ θυγάτηρ Φαραῶ περιτυχοῦσα κατά τινα θείαν πρόνοιαν καὶ
τὸ κάλλος ἐκπλαγεῖσα τοῦ βρέφους ἐν τῷ περιέναι σὺν ταῖς
ἄβραις τοὺς αὐτόθι λειμῶνας, πολλαῖς θηλείαις ἀλλοτρίαις προσ-
αγαγοῦσα, πάσας εὗρεν ἀποστρεφόμενον· τροφῷ δὲ χρησαμένη
τῇ ἰδίᾳ μητρὶ Ἰωχάβετ ὡς ἀλλοτρίᾳ, τῇ συμβουλῇ Μαρίας τῆς
ἀδελφῆς, ἣ καὶ παρείπετο σκοποῦσα ῥιφέντι τὸ ἐκβησόμενον,
C ὡς οἰκεῖον ἡ ἀλλοτρία τὸν παῖδα τροφεύεσθαι κελεύεται, μισθοὺς
ὑποσχομένη τῆς τιτθείας, Μωϋσέα τε μετονομάζει μετὰ τὴν
πρώτην ἡλικίαν ἀνδρυνθέντα, διότι, φησίν, ἐκ τοῦ ὕδατος αὐ-
τὸν ἀνειλόμην, τὸν Μελχίαν ὑπὸ τῶν γονέων πρὶν κληθέντα·
ἦν δ' ἄρα διπλῆ τις καὶ ἀξία τῶν ἐπ' αὐτῷ πραχθέντων ἡ τη-

1. θήβῃ AB. θήκῃ G. ἄμβραμ καὶ ἰωχάβετ ἡ B. Μάβραμ καὶ Ιωχὰμ ἔτη (ἔτι A) G. 3. φαραῶ AB. τοῦ Φαραὼ G. ἄρρεν B. ἄρσεν G. 4. τοῦτον μὲν AB. 5. ἐξαφανῆσαι B. 6. τῶν] τὸν A. 7. Legebatur καθηγήσηται. 8. ὅτι τῶν Αἰγυπτίων τὴν δ. θ. συντρίψαιτο G. 9. θείαν om. G. 10. περιέναι] περινέσαι G. 11. ἄβραις m. αὔραις AB. αὔραις G. τοῦ αὐτόθι λειμῶνος G. θηλαῖς B. προσάγουσα G. 13. Vulgo Ιωχαβέτ. Ιωχαβὲδ m. Μαρίας om. G. 14. ἀδελφῆς αὐτοῦ B. αὐτοῦ om. G. 16. τιτθείας B. τιθείας G. ὀνομάζει G. 17. ἐκ] ἀπὸ G. 19. ἐπ' αὐτῷ B. ὑπ' αὐτῶν G.

que mater regii mandati metu, (Pharao siquidem nulli masculo vitam servari praeceperat), in cista bitumine illita ad ripas fluminis depositum proiecerunt eumque propter amandam oris venustatem et hilaritatem festinae morti obiicere sunt veriti; nisi satius, quod nonnulli ex circumcisione referunt, eius patri ceu viro religione praestanti divino revelatum fuisse vaticinio, filium ducem Israël futurum et Aegyptiaci regni robur caelestibus armis comminuturum, dixero. Hunc cum, secreto numine duce, filia Pharaonis cum puellis fluminis oras navigio lustrans forte collegisset, gratam pueri formam mirata, plurium alieno sanguine ortarum commissum ulnis, cunctas aversari conspexit; propria vero pueri matre Iochabed nomine, velut aliena nutrice, sororis eius quod eventurum proiecto puero foret contemplaturae consilio usa, ipsa puero aliena velut sibi proprium propriae matri mercedem alimentorum pollicita commendat, exactaque infantiae aetate puerascentem vocat Mosen; eo quod, ait, ex aquis eum eripuerim, cum prius a parentibus Melchiae nomen accepisset. Gemino itaque nomine fuit insignitus et rerum ab eo gestarum commendatio geminae

λικαύτη προσηγορία. Μελχίας γὰρ βασιλεὺς ἑρμηνεύεται· Μωϋσῆς δὲ ἐκ τοῦ ὕδατος τῇ ἱερᾷ παρ' Αἰγυπτίοις φωνῇ. ὁ δ' αὐτὸς υἱὸς τῇ θυγατρὶ Φαραὼ Θερμούθιδι, τῇ καὶ Φαρίῃ, βασιλίδι οὔσῃ εἰσποιηθεὶς, καὶ πᾶσαν Αἰγυπτίων ἀσκηθεὶς παίδευσιν, ὡς βασιλίδος υἱὸς, δικαίως ἂν κληθείη κατὰ κόσμον βασιλεὺς ἐξ ὕδατος, ἵνα τὰ μετὰ ταῦτα κατὰ τὴν ἐρυθρὰν ἐπ' αὐτῷ πραχθέντα περὶ τὴν τοῦ λαοῦ δι' αὐτῆς πορείαν καὶ τὸν ὄλεθρον Αἰγυπτίων ἐν αὐτῇ τις ἐάσας τὴν ἐν τοῖς βασιλείοις ἀνα- D γωγὴν αὐτοῦ καταμάθοι, καὶ ἔτι τὴν κατὰ τῶν Αἰθιόπων στρατηγικὴν εὐδοκίμησιν, ἔνθα φασὶ πολιορκηθῆναι τὴν Αἰθιόπων Σαβᾶ καλουμένην πόλιν πρὸ αὐτοῦ, καὶ προδοθῆναι τελείως ὑπὸ Θαρβῆς θυγατρὸς τοῦ τηνικαῦτα βασιλέως Αἰθιόπων, ἁλούσης τῆς κόρης τῷ Μωϋσέως ἔρωτι. τοσαύτην γὰρ αὐτῷ μαρτυροῦσιν αἵ τε θεῖαι γραφαὶ αἵ τε λοιπαὶ ἱστορίαι καὶ πρὸ τῆς θεοπτίας τὴν ὡραιότητα, ὡς πάντας ὁρῶντας αὐτὸν ἐπιλανθάνεσθαι καὶ καταλιμπάνειν τὸ ἐν χερσὶ σπουδαζόμενον. ταύτῃ τοι P. 121 καὶ ἡ θυγάτηρ Φαραὼ Θέρμουθις αὐτὸν υἱοθετήσατο, καὶ Θαρβῆ θυγάτηρ Αἰθιόπων βασιλέως ἐκπλαγεῖσα τὸ κάλλος αὐτοῦ τὴν εἰρημένην Σαβᾶ μητρόπολιν, ὡς Ἰώσηππος, προὔδωκεν, ἣν χρόνοις ὕστερον Καμβύσης ἑλὼν ὁ Κύρου Μερόην εἰς ὄνομα καλεῖσθαι τῆς ἀδελφῆς ἐκέλευσε. φασὶ δ' ὅτι ποτὲ τοῦτον ἡ θετὴ

3. Θερμουτίδι G. Φαρίῃ] φαριῇ A. 8. τῶν Αἰγυπτίων G. 9. ἀγωγὴν G. 10. τὴν Αἰθ.] τῶν Αἰθ. G. 11. σαβὰ B. 15. τὴν om. G. 16. καταλειμπάνειν B et καταλειμπάνει p. 121 d. 17. θερμουθὶς B. υἱοθετήσατο B. υἱοθετήσασα G. Θαρβὴ G. 18. θυγάτηρ Φαραὼ G. Φαραὼ om. B. 19. σαβὰ B. Ἰώσηππος] Antiq. II, 5. προὔδεκεν B. 20. ὁ Κῦρος G.

titulus extitit appellationis. Melchias enim rex, Moses, sacra Aegyptiorum lingua, ex aquis ereptus, exponitur. Idem autem a Thermutide Pharaonis filia, quae et Pharia, regina adoptatus, litteris Aegyptiorum apprime, velut reginae filius eruditus, regnantis ex aquis nomine merito suspiciendus vocatus est; eo maxime, ut silentio praeteritis, quae circa mare rubrum populo educendo mittendisque in perniciem Aegyptiis gesta sunt mirandis facinoribus, eiusdem in regia educationem virtutemque bellicam adversus Aethiopas probatam quilibet percipiat obsessam; sane ab eo civitatem Aethiopum Saba nomine et a Tharbe regis Aethiopum filia Mosis amore capta proditam ex integro ferunt. Tantum enim ei corporis orisque decus insitum, etiam ante familiare illud habitum cum deo colloquium, ut eius spectatores extra se rapti, quod carum sibi prae manibus foret desererent, tum divinae scripturae, tum aliae testantur historiae. Eaque de causa Thermuthis, Pharaonis filia sibi voluit adoptatum eiusque specie victa regis Aethiopum filia Tharbe praefatam Sabam regni caput, ut Iosephus ait, prodere non metuit, quam Cambyses Cyrus deinceps subiectam, Meroem, de sororis nomine, dicendam mandavit. Phariam autem

μήτηρ Φαρία προσαγαγοῦσα τῷ Φαραῷ τὸν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ στέφανον βασιλικὸν ἀφελὼν περιέθηκε τῷ Μωϋσῇ νηπιάζοντι· τοῦτον δὲ ῥίψαντα καταπατῆσαι αὐτὸν λόγος. τὰ μέντοι B τῶν Ἑβραίων ἄρρενα, φησὶν Ἰώσηππος, ἀναιρεῖσθαι προσέταξε Φαραὼ, δεινοῦ τινος Ἑβραίων ἱερογραμματέως πρόρρησιν εἰπόντος ἀκούσας, ὅτι γεννώμενον παιδίον τὴν Αἰγυπτίων ἀρχὴν καταλύσει. τοιαύτη τις ἐκ βρέφους τῷ Μωϋσῇ θεία χάρις προσῆπται καὶ δύναμις καὶ ἐν τοῖς Αἰγυπτίων βασιλείοις ἐξουσία, ἕως τοῦ χρόνου τῆς ζωῆς Φαρίης καὶ Ἀμώσιος Φαραῶ, τοῦ κατὰ τινὰς μὲν πατρὸς, καθ' ἑτέρους δὲ ἀδελφοῦ αὐτῆς. ἄμφω γὰρ παῖδας αὐξηθῆναι βούλονται τοῦ πρὸ Ἀμώσιος, ἐφ' οὗ καὶ Μωϋσέα γεννηθῆναι βεβαιοῦνται. ἀλλ' ἡμῖν ἐπὶ Ἀμώσιος ἐπι-C λελόγισται ἔτη δύο αὐτοῦ κατὰ Ἴναχον πρῶτον Ἄργους βασιλέα, καθ' ὃν καὶ πάντες οἵ τε ἐκ περιτομῆς οἵ τε ἐκ χάριτος ἱστορικοὶ, Ἰώσηππος καὶ Ἰοῦστος, Κλήμης ὁ ἱερὸς στρωματεὺς, Τατιανός τε καὶ Ἀφρικανὸς συνομολογοῦσι κατὰ Ἴναχον γεννηθῆναι Μωϋσέα καὶ κατὰ Φορωνέα τὸν Ἰνάχου παῖδα καὶ Νιόβης ἀκ-V. 97 μαῖον, κατὰ Ἄπιδα δὲ τῆς ἐξ Αἰγύπτου πορείας τοῦ Ἰσραὴλ ἡγήσασθαι, τὰς ἀποδείξεις καὶ ἐκ τῶν παρ' Ἕλλησι δοκουμένων ὑποσχόντες ἱστορικῶν, οἷς μόνος ὁ Καισαρεὺς Εὐσέβιος καὶ ἑαυτῷ

1. προσάγουσα G. 2. μωσεῖ B. ῥιπίζοντι G. 5. δινοῦ B. εἰπόντος om. G. 6. γεννόμενον B. 7. καταλύσῃ B. μωσεῖ B. προσήπτε B. 10. ἀδελφοὺς A. 11. παῖδας Bm. παῖδες G. 13. ἔτη δύο] ἔτει δευτέρῳ m. αὐτοῦ om. G. 17. Νιόβης] νηοβῆς B. ἀκμαῖον] ἀκμὰς B. 20. ὑποσχόντες anonymus comparata p. 66 a. Legebatur ὑποσχόντι.

matrem illam adoptione comparatam, eum quandoque ad Pharaonis conspectum adduxisse, detractamque patri regiam coronam ludibundi Mosis capiti ioco imposuisse, quam illum in terram deiectam pedibus calcasse narrant; ac propterea Iudaeorum masculos necari Pharaonem iussisse tradit Iosephus, quod eruditi cuiusdam Hebraeorum sacri doctoris vaticinium, quo a puero iam nato Aegyptiorum imperium devastandum praediceretur, audivisset. Talis a puero Mosi divina gratia, virtus et in Aegyptiorum regiam potestas, toto vitae Phariae et Amosios Pharaonis, eius, ut quidam volunt, patris, ut alii fratris eiusdem spatio fuerat concessa; ambos enim (Aseth) eius qui Amosim hunc praecessit, sub quo Mosen nostrum lucem adspexisse reor, liberos ac simul educatos volunt. Verum Amosis anno secundo, Inacho Argivis imperante, cuncti tum ex circumcisionis, tum ex gratiae lege Historici Iosephus et Iustus, Clemens sacer Stromaton inventor, Tatianus et Africanus Mosen lucem primam adspexisse uno consensu testantur et deinceps Phoronei Inachi Niobesque filii tempore viris adnumeratum et Apis tandem aetate profectionem ex Aegypto suscepisse, iam certa temporum ratione declaravimus; et in hunc finem sagaciorum apud Graecos Historicorum demonstrationes praemisimus. Verum non annorum modo calculis, sed et sibi ipsi Caesariensis Eusebius adversatus,

ἀντιπίπτων χρόνοις ὕστερον κατὰ Κέκροπα τὸν διφυῆ, πρῶτον Ἀθήνησι βασιλέα, μετὰ Ὤγυγον, καὶ τὸν ἐπ' αὐτοῦ κατακλυσμὸν ἔφη γενέσθαι Μωϋσέα, καίτοι τῶν εἰρημένων ἐπιμνησθεὶς σοφωτέρων ἀνδρῶν· πρὸς ὃν ἐν τοῖς προλαβοῦσιν ἀρκούντως D οἶμαι τῆς ἀληθείας ἡμῖν ὁ λόγος διήνυσται καὶ περιττὸν ἐνταῦθα ταυτολογεῖν. Μωϋσῆς οὖν ἀνδρωθεὶς καταλιμπάνει τὴν ἀνθρωπίνην πᾶσαν εὐημερίαν, καὶ πρὸς τοὺς ὁμοφύλους χωρεῖ κακοχουμένους. καὶ κατανοήσας δέ ποτε τύπτοντα Αἰγύπτιόν τινα τῶν Ἑβραίων, πατάξας τῇ ἄμμῳ κρύβει. αὖθίς τε δυσὶ μαχομένοις Ἑβραίοις πειρασθεὶς καταστεῖλαι τὴν μάχην, φονεὺς τοῦ χθὲς ἀναιρεθέντος Αἰγυπτίου δημοσίως ἐλέγχεται πρὸς τοῦ Ἑβραίου, καὶ ὁ λόγος ἐπὶ τὸν κρατοῦντα τῆς Αἰγύπτου χωρεῖ. κἀντεῦθεν εἰς γῆν Μαδιὰμ ὑποχωρεῖ, μείζονος φιλοσοφίας ἀρχὴν P. 122 ἐσχηκὼς τὴν ἐρημικὴν καὶ διεζευγμένην ζωὴν τῶν πολλῶν. ταύτῃ καθαρθεὶς ἕως π' αὐτοῦ τῆς ζωῆς ἔτους, ἀπὸ μ' τῆς ζωῆς ἔτους ποιμαίνων κατὰ τὸ Σιναῖον ὄρος, θεοφανείας τινὸς ἐν σταθερᾷ μεσημβρίᾳ καταξιοῦται φοβερᾶς, κρείττονι φωτὶ τοῦ ἡλιακοῦ τὰς ὄψεις καταυγασθείς. ἐφ' ᾧ θαμβηθεὶς θάμνον ἀτενίσας ὁρᾷ βάτον πυροειδῶς ἐξάπτοντα καὶ τοῖς κλάδοις ὡς ἐν δρόσῳ συνθάλλοντα. πρὸς οἷς τὴν ἀκοὴν φωνῇ καλούσῃ μειζόνως ἐκπλαγεὶς

4. ἀρκοῦντος B. 6. διήνοισται B. 7. πᾶσαν hoc loco B: post καλιμπάνει G. 9. τῶν ἑβραίων B. τὸν Ἑβραῖον G. 10. παραθεὶς G. 12. ἐπὶ] πρὸς G. 13. ἀρχὴν Bm. ἀρχικὴ G. 15. αὐτοῦ τῆς ζωῆς B. τῆς ζωῆς αὐτοῦ G. 16. σίναιον B. Vulgo σταθηρᾷ. 18. θαμβηθεὶς] θαυμασθεὶς G. 19. συνθάλλοντα B. συνθάλποντα G.

longe posteriore tempestate Cecropis nimirum gemina natura constantis Atheniensium regis primi, post Ogygum et visum eius tempore diluvium Mosen extitisse, facta etiam eruditissimorum auctorum mentione affirmavit; adversus quem abunde, reor, in superioribus veritatis defensa sunt momenta, ac prolixiore de iisdem habito examine, semel dicta iterum ingerere vanum est et a recta ratione alienum. Moses itaque virili iam aetate provectus humanam omnem repudiat felicitatem et ad contribules calamitatibus oppressos se recipit; Aegyptiumque quendam durius Hebraeum verberibus tractantem cum animadvertisset, caesum arena occubuit; rursumque conflictantes inter se duos Hebraeos correpturus, pugnamque sedaturus, occisi nuper Aegyptii publice reus agitur ab Hebraeo et ad Aegypti moderatorem causa defertur. Ea de causa subducit se Aegypto et in terram Madian digreditur solitariamque et separatam ab humanis tumultibus vitam agens, sublimioris philosophiae per eam attingendae principium sumpsit. Illa dudum expurgatus per annos quadraginta a quadragesimo ad octogesimum aetatis annum pascendis pecoribus in Sinaeo monte intentus, ipso meridiei momento, divina quadam et tremenda visione, clariore supra solarem luce perstrictis eius oculis, donatur. Admiratione suspensus ad spineta divertit oculos ac flammarum instar rubum exardescentem et igne, velut rore, ramusculos confoventem animadvertit. Ter-

ἀνυπόδετος καὶ ἀβαρὴς δερματίνων περιβόλων προσβῆναι τῷ B ὄρει, καὶ τῆς γῆς, ὡσεὶ τηλικούτῳ φωτὶ περιήστραπτο, προσψαῦσαι κελεύεται. καὶ δὴ προσελθὼν εὐλαβείᾳ πολλῇ τὰς ὄψεις ἐπὶ θείοις αὐτῷ ῥήμασι λαλουμένοις ἀποστρέφεται, καὶ τὴν ἡγεμονίαν τῶν ὁμοφύλων μετὰ πλείστην παραίτησιν ἐγχειρίζεται. σημείοις δὲ καὶ τέρασι καθοπλισθεὶς εἰς Αἴγυπτον ἅμα δυσὶ παισὶ καὶ γυναικὶ κάτεισιν, ᾧτινί τις ἄγγελος ἐπιστὰς λέγεται θάνατον ἀπειλεῖν, ὃν ἱλεώσατο, καίπερ οὖσα ἀλλόφυλος ἡ γυνή, τῷ τῆς περιτομῆς αἵματι τοῦ παιδός· συναντήσας δ᾽ αὐτῷ Ἀαρὼν θεόθεν σταλεὶς κοινολογεῖται περὶ τῆς τοῦ λαοῦ συνελεύσεως εἰς μίαν ἐκκλησίαν καὶ περὶ τῶν λαληθησομένων αὐτοῖς, ὡς ἐκ θεοῦ C ῥημάτων, ὅσα τε περὶ τῆς ἐλευθερίας ἐχρῆν ἀγγελθῆναι τοῖς χρόνῳ πολλῷ πεποιηκόσιν, οὐ γεγονότος, καὶ τῶν περὶ τὴν ῥάβδον καὶ τὴν χεῖρα Μωϋσέως ἀπολευκουμένην καὶ αὖθις ἀποκαθισταμένην θαυμάτων καὶ ποτάμιον ὕδωρ αἱματούμενον, πρὸς αὐτὸν ἤδη λοιπὸν ἠγωνίζετο Φαραώ. εἰς γὰρ τὸν λεγόμενον Μισφραγμούθωσιν ἐλθόντες καὶ τοὺς θείους παρρησίᾳ ποιούμενοι διεδείκνυντο λόγους· ἐφ᾽ οἷς χαλεπήνας ὁ τύραννος ἐπέτεινε τοῖς Ἰσραηλίταις τὴν κάκωσιν, ἀντισοφισάμενος μὲν καὶ διὰ γοητικῆς μαγγανείας φαντασίᾳ μόνῃ, καὶ οὐκ ἐνεργείᾳ, τοῖς εὐεξαπατή-

2. ὡσεὶ] ἢ m. 8. ἀλλόφυλος οὖσα G. 9. συναντίσας B. 12. ὅσα τε] τε om. G. 13. οὐ γεγονότος B. οὔτε γεγονότος G. μήποτε γεγονότα m. 14. ἀποκαθισταμένην B. ἀποκαθισταμένων G. 15. καὶ πρὸς m. 20. μαγγανίας B.

ritus insuper auditu ob vocem clarius nomen eius personantem, discinctis pedibus et pellium involucris undequaque nudatis, ad montem accedere terramque illam tanta luce collustratam contingere iubetur. Loci ergo religione correptus progreditur, divinisque auribus eius verbis insonantibus faciem avertit et post plerasque productas excusationes, ducis illi in contribules committitur auctoritas. Signorum deinde prodigiorumque edendorum virtute munitus in Aegyptum cum uxore duobusque liberis proficiscitur; eique tunc angelus quidam adstans mortem dicitur comminatus, quem nihilominus filii circumcisi sanguine placavit coniux alieno sanguine nata. Exinde divino ductu fratri Aaron obviam factus, de populo ad comitia convocando et de allocutione, velut ex ore dei, cum eo habenda, tractat; quae nimirum longa iam servitute oppressis forent nuncianda, res nunquam auditas, quae rubum, quae leprae candore Mosis tinctam manum, quae iterata miracula et fluvialem aquam in cruorem versam spectarent, qua ratione in populum evulgarent, deliberant, iamque de ineundo cum ipso Pharaone certamine colloquuntur. Processu temporis ipsum Misphragmuthosin dictum conveniunt et intrepide divina enunciant mandata. His irritatus tyrannus Israelitarum oppressiones adauxit, praestigiisque divina miracula eludentibus, magicis etiam portentis, specie non re exstantibus, populum mente simpliciorem in errorem traxit; quamvis demum a Mosaica

τοις τὸν νοῦν παραδεικνύσης, αἰσχυνθεὶς δὲ σὺν τοῖς γόησι καταβρωθεισῶν αὐτοῖς τῶν ῥάβδων ὑπὸ τῆς ῥάβδου Μωϋσέως. D ὁρῶν δ' αὐτὸ ὁ Μωϋσῆς ἀπειθοῦντα τῷ θεῷ σὺν τοῖς περὶ αὐτὸν πρώτην ἐπάγει κοινὴν τῷ ἔθνει πληγὴν, αἷμα τὸ πᾶν ὕδωρ V. 98 προστάγματι ποιήσας θεοῦ, ὡς καὶ τὴν γῆν ὅλην Αἰγύπτου καὶ τοὺς λίθους καὶ τὰ ξύλα τοῦ αἵματος γέμειν. Μωϋσῇ δὲ καὶ Ἀαρὼν καὶ τοῖς Ἑβραίοις ἐπίνετο τὸ ὕδωρ. ἔνθεν γὰρ καὶ τοῖς γόησιν ἀντεσοφίσθη τὸ παρὰ τοῖς Ἑβραίοις εὑρισκόμενον ὕδωρ αἷμα δοκεῖν φαίνεσθαι. τὸ δ' αὐτὸ νοητέον καὶ ἐπὶ τῆς δευτέρας πλη- P. 123 γῆς τῶν βατράχων. Αἰγυπτίους μὲν πάντας τῷ πάθει μαστίζεσθαι, μόνην δὲ τὴν Ἑβραίων ζωὴν καθαρεύειν τοῦ μύσους. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν σκνιπῶν καὶ τῆς κυνομυίας, τοῦ τε θανάτου τῶν κτηνῶν καὶ τῶν ἐπὶ τῷ αἰθαλώδει κονιορτῷ φλυκτίδων, τῆς χαλάζης μετὰ βροντῶν διαφθειρούσης, τῆς ἀκρίδος, τοῦ ψηλαφητοῦ σκότους, καὶ ἐπὶ πᾶσι τοῦ θανάτου τῶν πρωτοτόκων ἔν τε ἀνθρώποις, ἕως αὐτοῦ Φαραῶ, καὶ ἐν κτήνεσιν· ὃν ἔφυγον τῇ προχύσει τοῦ αἵματος ἐπὶ τῶν σταθμῶν καὶ τῆς φλιᾶς. σκυλεύσαντες δὲ Αἰγυπτίους ἐξῆλθον κατὰ τὴν αὐτὴν B νύκτα ἐκ Ῥαμεσσῆ εἰς Σοκχὼθ ἔτει πα' Μωϋσέως ἀρχομένῳ. τῶν

1. αἰσχυνθεὶς δὲ] Vulgo αἰσχυθεὶς τε. αἰσχύνεται δὲ m. αἰσχυνθεὶς — ῥάβδου Μωϋσέως om. B. 3. δ' αὐτὸ ὁ] δ' αὐτὸν G. τῷ om. B. 4. πρῶτον G. 6. τοῦ om. G. Vulgo Μωσεῖ. 7. τοῖς om. G. 9. τὸ δ' αὐτὸ Bm. τῷ δ' αὐτῷ G. 11. τὴν] τῶν G. 12. δὲ καὶ] καὶ om. G. 13. σκνηπῶν B. αἰθαλώδῃ AB. 15. ψηλαφιτοῦ B. 19. εἰς ὀκχὸθ A. Vulgo Ραμεσῆ εἰς Σοκχὺθ.

virga propriis eorum absorptis in eius incantatorumque vituperium et ignominiam cuncta cesserint commenta. At Moses cum ipsius, tum praestigiatorum erga deum pervicacia perspecta, primam et communem in eius subditos plagam inducit, versis dei mandato in sanguinem cunctis Aegypti aquis, ita ut e tellure undequaque, e lapidibus, e lignis scaturiret sanguis; a Mose vero, Aaron et reliquis Hebraeis hausta biberetur aqua. Quamquam hoc quoque ludificationibus exsequerentur praestigiatores, ut reperta apud Hebraeos aqua sanguinis colore videretur tincta. Hoc etiam idem de secunda ranarum plaga coniiciendum; Aegyptios nimirum omnes eo fuisse calamitatis verbere afflictos, solum vero Hebraeorum contubernium tali piaculo remansisse expurgatum. Idem insuper de culicibus et cynomyia, de animantium lue, de cinereo pulvere, de pustulis, de grandine fulminibus admixta cunctaque devastante, de locusta, palpabilibusque tenebris et primogenitorum cunctorum hominum, etiam Pharaonis ipsius, nec non animantium leto, a quo tamen Hebraei, domorum postibus et liminibus effuso sanguine tinctis mira fuere ratione servati, ac eadem nocte Aegyptios depraedati e Ramesse profecti sunt in Socchoth, Mose annum aeta-

δὲ χρόνων ἡ τάξις ἀπὸ πρώτου Μωϋσέως ἑξῆς ἐν τῷ κανόνι συντέτακται.

### Ἀσσυρίων βασιλεῖς.

Ἀσσυρίων ιγ' ἐβασίλευσεν Ἀσχάλιος ἔτη κη'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γχϟ'.

Ἀσσυρίων ιδ' ἐβασίλευσε Σφαῖρος ἔτη κβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γψιη'.

Ἀσσυρίων ιε' ἐβασίλευσε Μάμυλος ἔτη λ'. τοῦ δὲ κόσμου ἦν ἔτος
C ͵γψμ'.

Ἀσσυρίων ις' ἐβασίλευσε Σπαρθέως ἔτη μβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γψο'.

### Αἰγυπτίων βασιλεῖς.

Αἰγυπτίων λ' ἐβασίλευσε Σέθως ἔτη ν'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γχλζ'.

Αἰγυπτίων λα' ἐβασίλευσε Κήρτως ἔτη κθ' κατὰ Ἰώσηππον, κατὰ δὲ τὸν Μανεθῶ ἔτη μδ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γχπζ'.

Αἰγυπτίων λβ' ἐβασίλευσεν Ἀσὴθ ἔτη κ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γψις'.

D Οὗτος προσέθηκε τῶν ἐνιαυτῶν τὰς ε' ἐπαγομένας, καὶ ἐπὶ αὐτοῦ, ὥς φασιν, ἐχρημάτισεν τξε' ἡμερῶν ὁ Αἰγυπτιακὸς ἐνιαυ-

1. μωσέως B. 4. κη'] κβ' m. Ἀσχάλιος] Βασχάλεος scribitur p. 124 d. 6. κβ'] κη' m. 6. 8. 10. ἦν ἔτος add. B. 7. γψιβ' G. 10. σπαρθέως A. σπαρθέος B. Σπαρθαίως G. 13. ἦν ἔτος add. B. 15. κῆρτως (sic) B. Κῆρτος G. 16. ἔτη μδ'] ἔτη om. B. ἦν om. B. 17. ἀσὴθ A. ἀσσῆθ B. κ'] κδ' m. ἦν ἔτος add. B.

tis 81 numerare incipiente. Annorum autem series a primo Mosis censenda sequentibus tabulis exponetur.

### Assyriorum reges.

Assyriorum rex 13 Aschalius annis 22, mundi vero 3690.
Assyriorum rex 14 Sphaerus annis 28, mundi vero 3712.
Assyriorum rex 15 Mamylus annis 30, mundi vero 3740.
Assyriorum rex 16 Sparthaeus annis 42, mundi vero 3770.

### Aegyptiorum reges.

Aegyptiorum rex 30 Sethus annis 50, mundi vero 3637.
Aegyptiorum rex 31 Certus ex Iosepho annis 29, ex Manethone 44, imperium obtinuit; mundi vero 3687.
Aegyptiorum rex 32 Aseth annis 24, mundi vero 3716.

Hic dies quinque totius anni circulum complentes addidit, ac sub eo annus qui prius 360 diebus solis numerabatur apud Aegyptios 365, ut fe-

τὸς τξ' μόνον ἡμερῶν πρὸ τούτου μετρούμενος. ἐπὶ αὐτοῦ ὁ Μόσχος θεοποιηθεὶς Ἄπις ἐκλήθη.

Αἰγυπτίων λγ' ἐβασίλευσεν Ἄμωσις ὁ καὶ Τέθμωσις ἔτη κς'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γψλς'.

### Θηβαίων βασιλεῖς.

Θηβαίων λα' ἐβασίλευσε Πετεαθυρῆς ἔτη ις'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γψκς'.

Θηβαίων λβ' ἐβασίλευσε Σταμμενεμῆς β' ἔτη κγ'. τοῦ δὲ κό- P. 124
σμου ἦν ἔτος ,γψξη'.

* * *

Θηβαίων λδ' ἐβασίλευσε Σιστοσιχερμῆς Ἡρακλῆς κραταιὸς ἔτη νε'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γψϟα'.

Θηβαίων λε' ἐβασίλευσε Μάρις ἔτη μγ'. τοῦ δὲ κόσμου ἦν ἔτος V. 99
,γωμς'.

Θηβαίων λς' ἐβασίλευσε Σιφόας, ὁ καὶ Ἑρμῆς, υἱὸς Ἡφαίστου, ἔτη ε'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γωπθ'.

### Σικυωνίων βασιλεῖς.

Σικυωνίων ιδ' ἐβασίλευσε Μαραθώνιος ἔτη λ'. τοῦ δὲ κόσμου B
ἦν ἔτος ,γωλε'.

1. μόνον B. μόνων G. 3. λγ' Bm. γ' G. κς' B. κβ' G. 4. ἦν ἔτος add. B. γψμ' m. 5. om. A. 6. πετεαθυρῆς B. Πεντεαθυρὶς G. ις'] μβ' m. 7. ἦν ἔτος add. B. 8. σταμμενέμης B. Σταμενεμῆς G. 9. ἦν ἔτος add. B. Indicavi lacunam. 10. λδ' B. λγ' G. σιστοσιχερμῆς A. Σιστοσιχερμῆς G. Ἑρτοσιχερμῆς Iablonskius. ἡρακλῆς κραταῖος AB. Ηράκλεος κράτος G. 11. ἔτος add. B. 12. λε' B. λδ' G. μάρης B. Μάρις G. 12 et 15. ἦν ἔτος add. B. 14. λς' B. λε' G. σιφόας B. Σιφωὰς G. 18. ἦν ἔτος quinquies deinceps add. B.

runt, perfici coepit. Sub eodem vitulus inter divos relatus vocatus est Apis.

Aegyptiorum rex 33 Amosis, qui etiam Tethmosis, annis 22, mundi vero 3740.

### Thebaeorum reges.

Thebaeorum rex 31 Penteathyris annis 16, mundi vero 3726.

Thebaeorum rex 32 Stamenemes secundus annis 23, mundi vero 3768.

Thebaeorum rex 33 Sistosichermes Herculis robur annis 55, mundi vero 3791.

Thebaeorum rex 34 Maris annis 43, mundi vero 3846.

Thebaeorum rex 35 Siphoas, qui et Mercurius, Vulcani filius, annis 5, mundi vero 3889.

### Sicyoniorum reges.

Sicyoniorum rex 14 Marathonius annis 30, mundi vero 3835.

Σικυωνίων ιε' ἐβασίλευσε Μαράθιος ἔτη κ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γωνε'.

Σικυωνίων ιϛ' ἐβασίλευσε Κόραξ ἔτη λ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γωπε'.

Σικυωνίων ιζ' ἐβασίλευσεν Ἐπωπεὺς ἔτη λβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γϡιε'.

Σικυωνίων ιη' ἐβασίλευσε Λαομέδων ἔτη μγ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γϡμζ'.

## Ἀργείων βασιλεῖς.

C Δευτέρα μετὰ τὴν Σικυωνίων βασιλείαν κατὰ τὴν Εὐρώπην λέγεται γενέσθαι καὶ αὕτη ἀρχαιοτάτη τῶν Ἀργείων χρόνοις ὕστερον ὀνομαζομένων ἀπό τινος Ἄργου βασιλεύσαντος. ταύτης πρῶτος Ἴναχος ἐβασίλευσεν ἔτη ν', ἀφ' οὗ καὶ ἡ χώρα πρῶτον Ἰναχία ἐλέγετο, ἕως Ἄργου. βασιλεύει δὲ Ἴναχος κατὰ Βασχάλεον ιγ' βασιλέα Ἀσσυρίων ἔτους αὐτοῦ γ', τῆς δὲ Ἀσσυρίων ἀρχῆς ἔτει υνγ', καθ' ὃν Αἰγύπτου μὲν Κήρτως, Σικυωνίων δὲ Πλημναῖος ἐβασίλευσεν. ὁ δὲ χρόνος τῆς αὐτοῦ βασιλείας ἀσύμφωνος φέρεται παρ' Ἕλλησι διὰ τὴν ἀρχαιότητα, καθάπερ τῶν D λοιπῶν. ἔστι δὲ κατὰ τοὺς πολλοὺς ἀπὸ μὲν τοῦ πρώτου Ἰνάχου ἕως τοῦ θ' Σθενέλου ἐτῶν υιγ'. τὸν δὲ Σθένελον Δαναὸς ἐκβαλὼν ἐκράτησε τοῦ Ἄργους, ὡς μαρτυροῦσι πάντες ἱστορικοί,

2. ,γωνε' B. ,γωξε' G. 5. Εποπεὺς vulgo. λβ'] XXXV Eusebius p. 128. 7. μγ'] XL Eusebius. 12. ἀπό] ὑπό G. 13. ν'] „Infra νϛ'." m. 16. ἔτει m. ἔτη G. υνγ'] υοϛ' m. ὃν] ὃ m. κήρτως B. Κίρτος G. 17. πλήμναιος B. 19. μὲν om. G.

Sicyoniorum rex 15 Marathius annis 20, mundi vero 3865.
Sicyoniorum rex 16 Corax annis 30, mundi vero 3885.
Sicyoniorum rex 17 Epopeus annis 32, mundi vero 3915.
Sicyoniorum rex 18 Laomedon annis 43, mundi vero 3947.

## Argivorum reges.

Secundum hoc in Europa post Sicyoniorum dicitur constitutum regnum praecipua vetustate commendatum, Argivis ultimo tempore a quodam Argo rege nuncupatum. Regnum primus obtinuit Inachus annis 56, a quo regio primitus Inachia dicebatur ad Argum usque regem. Regnavit autem Inachus Baschalei 13 Assyriorum regis tempore, eius videlicet anno tertio, Assyriorum imperii anno 476, quo Certus Aegypto, Sicyoniis autem Plemnaeus imperabat. Quo tamen ipse vel posteri et reliqui plures regnaverint spatio, Graecis ob nimiam temporis vetustatem penitus incertum est; plurium nihilominus obtinet sententia, ab Inacho usque ad Sthenelum principem ab eo nonum annos 413 decurrisse, eiecto vero Sthenelo tyrannidem invasit Danaus et ad posteros transmisit, ut testes sunt omnes

σὺν τοῖς ἀπογόνοις, ἔτη ρξβʹ. ὁμοῦ ἔτη φοεʹ ἀπὸ Ἰνάχου ἐπὶ Ἀκρίσιον πέμπτον ἀπὸ Δαναοῦ βασιλέως τοῦ Ἄργους. μετὰ δὲ Ἀκρίσιον ἔσχατον τῶν Δαναϊδῶν εἰς Μυκήνας μετετέθη ἡ βασιλεία τῶν Ἀργείων, κατὰ Εὐρυσθέα τὸν Σθενέλου, τοῦ Περσέως. καὶ διεδέξαντο τὴν βασιλείαν οἱ Πελοπίδαι, ὧν πρῶτος ἐβασίλευσε Πέλοψ, ἀφ' οὗ καὶ ἡ χώρα Πελοπόννησος. οὗτος Ὀλυμπίων προέστη. βασιλεύει δὲ ἔτη νγʹ. ἐν δὲ τοῖς πρὸ αὐτοῦ ἔτεσι P. 125
διαφωνεῖται ἔτη κζʹ, κατὰ Οἰνόμαον ἴσως ὑπονοούμενα, μετατεθείσης τῆς ἀρχῆς εἰς Μυκήνας μετὰ Ἀκρίσιον ἐπὶ Εὐρυσθέως, ὃν οἱ μὲν πρὸ Πέλοπος ἔτη φασὶ βασιλεῦσαι πγʹ, οἱ δὲ μετὰ Πέλοπα ἔτη μεʹ. εἶτα Πελοπίδαι. μετὰ Πέλοπα Ἀτρεὺς καὶ Θυέστης ἔτη ξεʹ. μεθ' οὓς Ἀγαμέμνων Ἀτρέως παῖς ἔτη σὺν ἀδελφῷ Μενελάῳ κατὰ μὲν τινὰς λγʹ, κατὰ δὲ ἄλλους λʹ ἢ καὶ κηʹ. Αἴγισθος ζʹ ἢ ιζʹ. Ὀρέστης Ἀγαμέμνονος υἱὸς καὶ Πενθίλος καὶ Κομήτης ἔτη νηʹ. Ἡρακλειδῶν κάθοδος, οἳ Πελοπόννησον λαβόντες ἐκράτησαν μετὰ τοὺς Πελοπίδας ἔτη νηʹ. ἀφ' ἧς ἐπὶ τὴν B
Ἰώνων ἀποικίαν ἔτη ξʹ. ἀπὸ δὲ τῆς Ἰώνων ἀποικίας ἐπὶ πρώτην ὀλυμπιάδα ἔτη ἀναγράφουσιν σξζʹ.

2. ἀκράσιον B. 3. Vulgo *Δαναΐδων*. 5. διεδέξαντο Bm. διεδέξατο G. *Πελοπίδαι* m. *Πελοπίδες* G. 6. πελοπόνησος AB. 7. προέστη Bm. πρόεστιν G. νγ] νς' m. 8. κζ] κδ' m. 10. ὃν m. ὧν G. 11. *Πελοπίδαι* m. *Πελοπίδες* G. 12. μεθ' οὓς Bm. μεθ' οὗ G. 12. ἔτη B. ἔτι A. ἔστη G. 13. ἢ καὶ B. καὶ om. G. 14. πενθείλος B. *Πένθιλος* G. 15. *Κομήτης*] Vulgo *Κομίτης*. πελοπόνησον AB.

Historici, per annos 162. Omnium summa est annorum 575, ab Inacho nimirum usque ad Acrisium, a Danao Argivorum rege, quintum. Acrisio Danaidum ultimo sublato Mycenas translatum est Argivorum regnum Eurysthei Stheneli filii, qui Perseo natus erat, tempore. Regnum exceperunt Pelopidae quibus primus imperavit Pelops, a quo regio Peloponnesus dicta. Hic Olympiis praefuit et annis 56 regno potitur. De quatuor ac viginti annis eius aetate superioribus et Oenomao forsan assignandis, non levis est inter auctores controversia. Acrisio sublato sub Eurystheo Mycenas regni sedes translata. Hunc ante Pelopem annis 83 quidam imperasse narrant, alii post Pelopem annis 45 deinde Pelopidae successerunt. Atreus et Thyestes annis 65 post eos regni fuit haeres cum Menelao fratre; filius Atrei Agamemnon iuxta nonnullos annis 33, secundum alios 30 vel 28, mox Aegisthus annis 7 vel 17, tum Orestes Agamemnonis filius et Penthilus et Comites annis 58. Reduces postmodum Heraclidae occupata Peloponneso regnum moderati sunt post Pelopidas annis 58. Descensui Heraclidarum successerunt Ionum coloniae annis 60. A deductis autem Ionum coloniis ad primam usque Olympiadem numerant nonnulli annos 267.

## Ἀρχὴ βασιλείας Ἀργείων.

V. 100 Ὧν πρῶτος βασιλεὺς Ἴναχος ἔτη νϛ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γχϟβ'.

Οὔ μοι δοκεῖ καλῶς ὁ Ἀφρικανὸς ἐν γ' λόγῳ τῶν ἱστορικῶν αὐτοῦ φάναι τὴν Ἀργείων βασιλείαν τῷ σ' ἔτει τῆς Ἀσσυρίων
C βασιλείας ἄρξασθαι ἐπὶ Ἀρείου πέμπτου βασιλέως Ἀσσυρίων. ἔσται γὰρ κατὰ τοῦτο Μωϋσῆς πρὸς τῷ τέλει τῆς ζωῆς Ἀμβρὰμ τεχθείς· εἴ γε πάντες ὁμολογοῦσι τὸ πρῶτον ἔτος Ἀμβρὰμ κατὰ τὸ μδ' ἔτος Νίνου τοῦ δευτέρου βασιλεύοντος μετὰ Βῆλον Ἀσσυρίων. Βήλου γὰρ νε', Νίνου μδ', Ἀμβρὰμ ρα'. ἔσται ἄρα Μωϋσῆς κατὰ τὸ ρα' ἔτος Ἀμβράμ, ὅπερ ἀδύνατον. ὁμολογεῖ δὲ αὐτὸν κατὰ Ἴναχον.

Ἀργείων β' ἐβασίλευσε Φορωνεὺς ἔτη ξ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γψμη'.

D Φορωνεὺς παῖς Ἰνάχου καὶ Νιόβης πρῶτος λέγεται νόμους καὶ κριτήρια παρ' Ἕλλησι θέσθαι. φασὶ δέ τινες Νιόβην Φορωνέως εἶναι θυγατέρα, ὅπερ οὐκ ἀληθές.

## Σποράδην.

Κατὰ τούτους τοὺς χρόνους ἐβασίλευσε Κρήτης Κρὴς αὐτόχθων, ὃν ἕνα λέγουσι τῶν Κουρήτων, παρ' οἷς ὁ παρ' Ἕλ-

2. ἦν om. B. ἔτος] ἔτη B. 7. 8. 10. 11. ἄμβραμ B. ἄβραμ A. Ἀβραάμ G. 10. βῆλον B. Βῆλον G. Βῆλος γὰρ νε'. ἐβασίλευσεν. Νίνου δὲ μδ'. Ἀβραάμ πρῶτον ἐστιν m. 13. ἔτη ξ' — Φορωνεὺς addidi ex AB. (φωρονεὺς bis B et νιωβῆς). 16. νιωβὴν φωρονέως B. 19. κρὴς add. B. Conf. p. 105 a. et Eusebium p. 267.

## Regni Argivorum principium.

Quorum primus moderator fuit Inachus annis 56, anno mundi 3692.

Non placet Africanus tertio historiarum libro scribens Argivorum regnum Assyriorum anno 200 Arii quinti regis tempore coepisse; ex hoc namque Mosen circa finem vitae Abraham natum colligeremus, siquidem primum Abrahae annum, in Nini secundi post Belum Assyriorum regis quadragesimum quartum, incidentem cuncti statuunt. Belus enim annis 55 regnavit, Nini vero 44 fuit Abrahae primus. Poneretur itaque Moses circa Abrahae centesimum primum annum, quod fieri nulla tenus potest. Eundem enim Inacho coaetaneum statuit.

Secundus Argivis imperavit Phoroneus, Inachi et Niobes filius, annis 60, anno mundi 3748.

Hic primus leges et iudicia Graecis posuisse memoratur. Nioben vero quidam Phoronei filiam fabulantur, quod a veritate alienum.

## Miscellanea.

Eo tempore regnavit Cres quidam indigena, quem etiam dicunt unum Curetum, a quibus Iupiter falso deus Graecis habitus, clam educatus est

λησι ψευδώνυμος θεὸς Ζεὺς κρυφθεὶς ἀνετράφη, καὶ Κρήτης ἐτυράννησεν. ἐξ αὐτοῦ τοῦ Κρητὸς ἡ νῆσος ὠνομάσθη Κρήτη. τοὺς αὐτούς φασι Κούρητας κτίσαι πόλιν Κνωσὸν ἐν Κρήτῃ καὶ ἱερὸν Κυβέλης μητρός.

[Ἄργος καὶ Σικυὼν πόλεις Πελοπόννησος.] P. 126

Ἡ θυγάτηρ Ἰνάχου Ἰὼ εἰς Αἴγυπτον ἐλθοῦσα Ἶσις ὠνομάσθη, ἣν Αἰγύπτιοι σέβουσιν Ἶσιν Φαρίαν καλοῦντες διὰ τὸ πρώτως ἐν Φάρῳ τῇ νήσῳ παραγενέσθαι. φασὶ δὲ αὐτήν τινες γημαμένην Τηλεγόνῳ τὸν Ἔπαφον γεννῆσαι.

Ἀπὸ Ἰνάχου ποταμὸς Ἴναχος ἐν Ἄργει ὠνομάσθη καὶ ὁ Βόσπορος ἐπώνυμος τῆς Ἰοῦς.

Κάσος καὶ Βῆλος Ἰνάχου παῖδες πρὸς τῷ Ὀρόντῃ ποταμῷ καὶ τὴν νῦν Ἀντιόχειαν τῆς Συρίας πόλιν ἔκτισαν.

Νιόβῃ γαμετῇ Ἰνάχου, μητρὶ δὲ Φορωνέως πρώτῃ γυναικῶν ἐμίγη Ζεύς, ἐξ ἧς ἔσχεν Ἆπιν υἱόν, τὸν Σάραπιν. B

Κατὰ τοὺς αὐτοὺς χρόνους μυθεύονται Ἕλληνες μιγῆναι τὸν αἰσχρότατον Δία καὶ τῇ θυγατρὶ Ἰνάχου, ἣν καὶ βοῦν ἐποίησεν, ἀφ᾽ ἧς ὁ Βόσπορος ἐκλήθη.

Πᾶσα παρ᾽ Ἕλλησι θαυμαζομένη πρᾶξις ἀπὸ τῶν Ἰνάχου

1. ψευδώνυμος B. λεγόμενος ψευδόμενος G. 3. Κουρῆτας m. κουρήτας AB. Κουρίτας G. 4. Κυβέλης] σκυβέλης B. σκυβέλλης A. Κυβέλλης G. Post μητρὸς in neutro codice interpungitur. 5. Ἄργος] ἄργους AB. πελοπόνησος A (non B). Πελοποννήσου m. 9. Τηλεγόνῳ m. τινὶ Λέγωνον G. τ̓λέγον̂ B. 10. Ἄργει] Ἄργῳ G. 11. Ἰοῦς] ἰσοῦς AB. 12. τῷ] τὸ B. ὀρέντῃ A. ὀρέντι B. 13. καὶ delet m. 14. νηωβῆ B. φωρονέως B, quae constans in hoc libro scriptura est. 17. ἐσχρότατον B. δία Bm. Δίαν G. καὶ delet m. ἣν m. ἢ G. ἡ B. καὶ] Legebatur ὗν καὶ. In B est νἶν καὶ.

et Cretes tyrannidem obtinuit. Ab hoc Crete Creta insula nomen accepit. Memoratos Curetas Cnosum urbem Cretae construxisse et Cybeles matris fanum consecrasse narrant.

Argos et Sicyon urbes Peloponnesi.

Io, Inachi filia, in Aegyptum profecta Isis nuncupata est eamque Aegyptii Phariae Isidos nomine, quod primum in Pharum insulam appulerit, colunt; eam vero Telegono cuidam nupsisse et Epaphum peperisse scribunt.

Ab Inacho fluvius Inachus apud Argos dictus est et Bosphorus Ius nomine.

Casus et Belus, Inachi filii, ad fluvium Orontem, Antiochiam nunc appellatam, Syriae civitatem exstruxere.

Niobe Inachi coniugi, matri Phoronei, primae cunctarum mulieri Iupiter commixtus est, ex qua Apis qui et Serapis ortus.

Iisdem temporibus spurcissimum Iovem Inachi filiae copulatum eamque in suem et bovem mutatam, e qua Bosphoro nomen fabulantur Graeci.

Facta insolita et admiratione digna Graecorum monumentis celebrata

χρόνων καὶ Φορωνέως εἰς τὰ μετέπειτα φέρεται. διὸ καὶ Πλάτων ἐν Τιμαίῳ τῷ διαλόγῳ τῶν Φορωνέως ἐπιμέμνηται χρόνων ὡς πάνυ παλαιῶν καὶ Νιόβης καὶ τοῦ κατὰ Ὤγυγον ἀρχαιοτάτου κατακλυσμοῦ, ὃς λέγεται κατὰ Φορωνέα καὶ Ἄπιδα γενέσθαι.

### Θεσσαλία.

C Κατὰ τούτους τοὺς χρόνους πρῶτος ἐβασίλευσε Θεσσαλίας ὁ Γραικοῦ παῖς Θέσσαλος, ἀφ᾽ οὗ καὶ ἡ χώρα ἕως νῦν ὠνόμασται.

Ὤγυγος πρῶτος βασιλεὺς Ἀκτῆς, τῆς νῦν Ἀττικῆς, τούτοις τοῖς χρόνοις ἐγνωρίζετο.

V. 101 Ὤγυγος ἐν Ἀκτῇ.

Τριτώνιδι λίμνῃ Ἀθηνᾶ παρ᾽ Ἕλλησιν ὠνομάσθη.

Τελχῖνες καὶ Καρσιάται πρὸς Φορωνέα καὶ Παρρασίους ἐπολέμησαν.

### ΚΟΣΜΟΥ ΕΤΗ.

Μωϋσέως ἔτη ρκ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γψλζ'.

Τῷ ͵γωις' ἔτει τοῦ κόσμου, Μωϋσέως π', πληρωθέντι καὶ
D ἀρξαμένῳ πα', πρώτῃ ἡμέρᾳ τῶν ἀζύμων, κατὰ τὴν σελήνην ιδ', μεσούσης τῆς νυκτός, κύριος ἐπάταξε πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ, ἀπὸ πρωτοτόκου Φαραὼ τοῦ καθημένου ἐπὶ τοῦ

3. νηωβῆς A. 5. Vulgo Θεσσάλια. 6. Θεσσαλίας] Θεσσαλίων G. 7. ἡ om. G. 11. Ἐν Τριτώνιδι m. 12. καρρσιάται B. παρασιοὺς B. 14. ἔτη Bm. ΕΤΟΣ G. 15. ἦν ἔτος add. B. 17. πρώτῃ] ἀρξαμένῃ G. Vide Exod. XII, 29.

ab Inachi et Phoronei moxque sequutis temporibus contigisse praedicantur. Eam ob rem Phoronei ac Niobes temporum, ut vetustarum rerum et antiquissimi diluvii Ogygi tempestate visi, Phoroneique et Apis aetati adscripti, Plato meminit in Timaeo dialogo.

### Thessalae res.

Temporibus istis Thessalis primus imperavit Thessalus Graeci filius, a quo toti regioni nomen.

Ogygus primus Actes, quae nunc Attica, rex iisdem temporibus celebrabatur.

### Ogygus in Acte.

A Tritonide lacu Minervae nomen imposuerunt Graeci.

Telchines et Cares Phoroneo Parrhasiisque bellum inferunt.

### ANNI MUNDI.

Mosis anni 120 a mundi 3737 incipiunt.

Anno mundi 3816, Mosis 80 completo iamque 81 incepto, exorto Azymorum die, luna 14 nocte media, percussit dominus omne primogenitum in terra Aegypti, a Pharaonis in throno sedentis primogenito, ad ca-

θρόνου, καὶ ἕως πρωτοτόκου τῆς αἰχμαλωτίδος τῆς ἐν τῷ λάκκῳ, καὶ ἕως πρωτοτόκου παντὸς κτήνους. καὶ ἀνέστη Φαραὼ καὶ πάντες οἱ θεράποντες αὐτοῦ καὶ πάντες οἱ Αἰγύπτιοι, καὶ ἐγενήθη κραυγὴ μεγάλη ἐν πάσῃ γῇ Αἰγύπτῳ. οὐ γὰρ ἦν οἰκία ἐν ᾗ οὐκ ἦν ἐν αὐτῇ τεθνηκός. καὶ ἐκάλεσε Φαραὼ Μωϋσῆν καὶ Ἀαρὼν νυκτός, καὶ εἶπεν αὐτοῖς, ἀνάστητε καὶ ἐξέλθετε ἐκ τοῦ λαοῦ ὑμεῖς καὶ οἱ υἱοὶ Ἰσραήλ· βαδίζετε καὶ λατρεύσατε κυρίῳ τῷ θεῷ ὑμῶν, καθὰ λέγετε. καὶ τὰ πρόβατα καὶ τοὺς βόας ὑμῶν ἀναλαβόντες πορεύεσθε, καθάπερ εἰρήκατε. εὐλογήσατε δὴ κἀμέ. καὶ κατε- P. 127
βιάζοντο οἱ Αἰγύπτιοι τὸν λαὸν σπουδῇ ἐκβαλεῖν αὐτοὺς ἐκ τῆς γῆς. εἶπον γὰρ ὅτι πάντες ἡμεῖς ἀποθνήσκομεν. ἀνέλαβε δὲ ὁ λαὸς τὸ στέας αὐτῶν, πρὸ τοῦ ζυμωθῆναι τὰ φυράματα αὐτῶν ἐνδεδεμένα ἐν τοῖς ἱματίοις αὐτῶν, ἐπὶ τῶν ὤμων αὐτῶν, καὶ ᾔτησαν παρὰ τῶν Αἰγυπτίων σκεύη ἀργυρᾶ καὶ σκεύη χρυσᾶ καὶ ἱματισμόν. καὶ κύριος ἔδωκε χάριν τῷ λαῷ αὐτοῦ ἐναντίον τῶν Αἰγυπτίων. καὶ ἔχρησαν αὐτοῖς· καὶ ἐσκύλευσαν τοὺς Αἰγυπτίους. ἀπάραντες δὲ οἱ υἱοὶ Ἰσραὴλ ἐκ Ῥαμεσσῆ εἰς Σοκχὼθ εἰς χʹ χιλιάδας πεζῶν οἱ ἄνδρες, πλὴν τῆς ἀποσκευῆς· καὶ ἐπίμικτος πολὺς συνανέβη αὐτοῖς, καὶ πρόβατα καὶ βόες καὶ κτήνη πολλὰ σφόδρα. καὶ ἔπεψαν τὸ στέας, ὃ ἐξήνεγκαν ἐξ Αἰγύ- B

4. πάσῃ Bm. πᾶσι G. οἰκεία A. ἐν ᾗ] ἐνὶ A. 5. τεθνηκός] τε θρηνός G. μωϋσῆν B. μωυσῆ A. Μωσῆ G. 6. ἐξέλθετε B. ἐξέλθητε A. ἐξέλθατε G. 9. δὴ B. δὲ A. om. G. καὶ om. G. 10. τὸν λαὸν B. τῶν λαῶν G. ἐκ τῆς γῆς om. G. 11. ἀποθνήσκωμεν B. ἀνελάβομεν A. 12. στέας] στέαρ G. τὰ φυράματα αὐτῶν] αὐτῶν om. G. 14. ᾔτησαν B. ᾐτήσαντο G. καὶ ἱματισμόν — Αἰγυπτίων. καὶ addidi ex B. 17. ῥαμεσσῆ A. ῥαμεσῆ B. 19. πολὺς Bm. πολλοῖς G. ἔπεμψαν G. στέας] στέαρ G.

ptivae, quae in fovea, primogenitum et usque ad omnis animantis primogenitum. Et surrexit Pharao et omnes famuli eius Aegyptiique cuncti, et exortus est clamor ingens in terra Aegypti, nulla namque domus planctus expers erat. Vocavitque Pharao Mosen et Aaron noctu, quibus ait: surgite, egredimini e populo vos et filii Israël; exite et ex animo deum vestrum colite; ovibus bobusque vestris assumptis, prout expetiistis, procedite et mihi bene precemini. Urgebantque Aegyptii populum, et omni studio, ut quam cito proficisceretur, compellebant. Dixerunt enim: omnes nos moriemur. Tulit autem populus subactam farinam antequam fermentaretur, massamque ligavit in palliis et humeris imposuit; vasaque aurea et argentea ab Aegyptiis mutuo petita secum adportavit et Aegyptios depraedatus est. Profectique sunt filii Israël de Ramesse in Socchoth sexcenta fere millia virorum peditum absque impedimentis; sed et promiscuum vulgus immensum adscendit cum eis oves et armenta et animantia diversi generis quam plurima. Coxeruntque subactam farinam ex Aegypto adporta-

*πτου, ἐγκρυφίας ἀζύμους· οὐ γὰρ ἐζυμώθη. ἐξέβαλον γὰρ αὐτοὺς οἱ Αἰγύπτιοι, καὶ οὐκ ἠδυνήθησαν ἐπιμεῖναι, οὐδὲ ἐπισιτισμὸν ἐποίησαν ἑαυτοῖς εἰς τὴν ὁδόν.*

*Ἡ δὲ κατοίκησις τῶν υἱῶν Ἰσραὴλ, ἣν κατῴκησαν αὐτοὶ καὶ οἱ πατέρες αὐτῶν ἐν γῇ Αἰγύπτῳ καὶ ἐν γῇ Χαναὰν, ἔτη υλʹ. καὶ ἐγένετο μετὰ υλʹ ἔτη ἐξῆλθε πᾶσα ἡ δύναμις κυρίου ἐκ γῆς Αἰγύπτου νυκτός. προφυλακή ἐστι κυρίῳ, ὥστε ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου. ἐκείνη ἡ νὺξ αὐτὴ προφυλακή ἐστι τῷ κυρίῳ, ὥστε εἶναι πᾶσι τοῖς υἱοῖς Ἰσραὴλ εἰς γενεὰς αὐτῶν. τούτους ὁ*
C *θεὸς ἐξαγαγὼν ἐξ Αἰγύπτου οὐκ ἤγαγε τὴν σύντομον ἐπὶ Φυλιστιεὶμ ὁδὸν, ἣ τὴν διὰ μέσου τῆς Σερβωνίδος λίμνης καὶ τῆς κατ' Αἴγυπτον θαλάσσης ἔτι συντομωτέραν, ἀλλὰ κύκλῳ διὰ νοτιωτέρας γῆς καὶ θαλάσσης ἐρυθρᾶς, ὡς ἂν μὴ παλινδρομήσωσι μεταμεληθέντες εἰς Αἴγυπτον οἱ ἀπειθεῖς. τριῶν δὲ ἡμερῶν ἀποστᾶσιν αὐτοῖς Αἰγύπτου ἐκ Ῥαμεσσῆ εἰς Σοκχὼθ καὶ ἐκ Σοκχὼθ εἰς Νονθὼμ παρὰ τὴν ἔρημον καὶ ἀπὸ Νονθὼμ ἀνὰ μέσον Μαγδώλου καὶ ἀνὰ μέσον θαλάσσης ἐρυθρᾶς ἀπέναντι τῆς ἐπαύλεως, καὶ ἐξ ἐναντίας Βεελσεφῶν ἔδοξαν Αἰγυπτίοις πλανᾶσθαι· καίτοι στύλῳ πυρὸς ὁδηγούμενοι νυκτὸς, ἡμέρας δὲ*
D *στύλῳ νεφέλης, οὐ τῆς συνήθους ἐξ ἀτμῶν καὶ ἀναθυμιάσεων*

1. ἐξέβαλον B. ἐξέβαλλον G. 2. ἐδυνήθησαν B. 3. ἑαυτοῖς Bm. ἑαυτοὺς G. 6. ἔτη add. B. ἡ om. B. 7. προφυλακὴ ἐστὶν B. ἐστιν προφυλακὴ G. 10. Φιλιστιεὶμ G. 11. ἣ B. ἢν A. ἣν G. σερβωνίδος B. Σερβωνίτιδος G. 12. διὰ νοτιωτέρας] διανοτειωτέρας B. διανοητοτέρας A. διανοητέρας G. δι' ἐνδοτέρας m. 15. ῥαμεσσὴ B. 16. παρὰ τὴν ἔρημον om. G. Vide Exodi XIII, 20. 18. βεελσεφὼν B. Βελεσεφῶν G. αἰγυπτίοις Bm. Αἰγυπτίους G. 19 et 20. στύλη G.

tam et fecerunt ex ea cubcinericios panes azymos, erat enim infermentata. Expulerunt enim eos Aegyptii, ne moram longiorem traherent, neque commeatum in viam sibi parare potuerunt.

Mora porro filiorum Israël, qua tum ipsi, tum patres eorum in Aegypti Chanaanque terra morati sunt, annorum est 430. Evolutoque 430 annorum spatio cunctus exercitus domini e terra Aegypti profectus est nocte, quae custodia domini, ut eos educeret ex Aegypto. Illa nox, illa custodia domini filiis Israël et eorum nepotibus solennis. Hos cum dominus educeret ex Aegypto compendioso versus Philistiim itinere, medio nimirum inter Serbonitidem lacum et Aegyptiacum mare, breviore non deduxit, sed in gyrum per intimos terrarum tractus et mare rubrum, ne relicto pervicaciter proposito, in Aegyptum retro commearent. Iam vero viae trium dierum spatio e Ramesse in Socchoth et e Socchoth in Nonthom et e Nonthom inter Magdalum et mare rubrum, e suburbii regione, contra Beelsephon profecti, Aegyptiis a via errasse visi sunt. Columna tamen ignis per noctem, per diem autem columna nubis, non solitae cuiuslibet,

συνισταμένης συμπιλουμένου τοῦ ἀέρος ἐξ ὀμιχλώδους συστάσεως τοῖς πνεύμασι πρὸς ἑαυτὸν, ἀλλ' ἄλλης τινὸς ὑψηλοτέρας τῆς ἀνθρωπίνης ἐννοίας θαυμαστῶς ἐπιτειχιζούσης αὐτοῖς, ἡμέρας τὴν τῆς ἡλιακῆς ἀκτῖνος φλόγωσιν, πολλὴν οὖσαν κατὰ τὴν οἴ- V. 102
κησιν τῆς χώρας ἐκείνης καὶ δροσοειδῶς σκιαζούσης τὸν λαὸν, ἀφ' ἑσπέρας δὲ ἕως ὄρθρου καταλαμπούσης, ὑφ' ἧς ὁδηγούμενοι πρὸς τὸ ἐρυθραῖον ἦλθον πέλαγος. τούτους Φαραὼ σὺν ἅρμασι καὶ ἵπποις καὶ τοῖς ἐκλεκτοῖς Αἰγύπτου τριστάταις καταλαβὼν μέσους ἔσχεν αὐτοῦ καὶ τῶν θαλαττίων ὑδάτων πάσης φυγῆς ἠπορημένους, βοῶντας δὲ μόνον πρὸς κύριον, ὡς τὰ λόγια, P. 128
καὶ Μωϋσέως καταγογγύζοντας, ὅτι γε συμφερούσης δουλείας ἀπήλλαξε καὶ ἐρημοταφεῖς κατέστησεν· ἀλλὰ θαρρεῖν αὐτοὺς παραινέσας τοῖς χείλεσι, κατὰ νοῦν δὲ σφόδρα πονούμενος, ἔπληξε ῥάβδῳ τὴν θάλασσαν, ὡς ὑπὸ θεοῦ προστάττεται, κατὰ τὴν ἑωθινὴν τῆς νυκτὸς ὥραν· καὶ τὸν λαὸν, ὡς ἐν ἠπείρῳ δι' αὐτῆς διαβιβάσαι, τῆς ἡμέρας ἤδη καταυγαζούσης· ὃ δὴ καὶ γέγονε. πλήξαντος γὰρ Μωϋσέως κατάκρουτον αἰγιαλὸν τοῦ ὕδατος, τὸ πᾶν ὑπερράγη πέλαγος ἕως ἄκρου τῆς ἀντικειμένης ὄχθης, συμπεπηγότων καὶ τῶν κυμάτων τοῖς ὕδασιν, οἷόν τι συμβαίνειν φιλεῖ περὶ τὴν θερμὴν ὕαλον, εἰ κατὰ ἓν ῥαγείη μέρος, πρὸς τὸ ἕτερον πέρας ἡ ῥῆξις εὐθυτόμως διεξέρχεται. οὕτω B

1. *συμπιλουμένου* ut videtur B. *συμπληρουμένου* A. *συμπληρωμένου* G. 2. *τοῖς πνεύμασι πρὸς ἑαυτὸν* delet m. 7. *τούτους* Bm. *τούτοις* G. 9. *αὐτοῦ* G. 10. *ὡς τὰ λόγια* delet m. 12. *αὐτοὺς* B. *αὐτοῖς* G. 13. *νοῦν* Bm. *νοοῦν* G. 16. *διεβίβασεν* m. 17. *μωσέως* B. 21. *εὐθυτόμως* B. *εὐθυστόμως* G.

**aëre caliginosa densitate repleto, ex vaporibus et exhalationibus compactae, verum ex alia quapiam materia captum omnem humanum excedente, ac de die solarium radiorum ardorem regionis illius incolas plurimum infestantem, populum undequaque vallante et roridum eidem umbraculum exhibente, ducebantur; a vespera autem ad diluculum usque clara luce eum circumlustrante muniebantur et eadem duce ad rubrum mare pervenerunt. Eos Pharao cum curribus et equis et praecipuis Aegypti ducibus, inter se pelagique limites medios, speque fugae destitutos adorsus obsedit; sola supererat illis ad deum clamandi facultas, quamvis insimul obtrectarent Mosi, qui eos servitute, quam sibi commodam putabant, liberavit et in desertum ne felice quidem sepulcro donandos eduxit. Verum ille verbis animos addens, mente tamen ob angustiam sauciatus, dei iussu, circa matutinam noctis tempestatem, virga mare percussit et per eius profundum, non secus ac per continentem, die iam illucescente transmissurum promisit, quod et factum est. Aquarum siquidem littus percutiente cum impetu Mose, universus maris sinus usque ad oppositae ripae extrema, fluctibus etiam ipsis aquis devinctis ad invicem et suspensis, discissus et apertus est, quale quid ad siccum terrae littus contingere solet, ut illiso partem in unam fluctu, mox velut ore terrae partem in oppositam eructatus refluat.**

τε σὺν τῷ πλήθει ποσὶ διῆλθεν ἀβρόχοις πυθμένα, θαλαττίων τείχεσιν ὑδάτων καὶ κυμάτων περιφρουρούμενος. οἱ δὲ Αἰγύπτιοι, τοῦ θεοῦ συντάξαντος αὐτοῖς τὴν παρεμβολὴν ἐν στύλῳ πυρὸς καὶ νεφέλης, ἤτοι βρονταῖς καὶ ἀστραπαῖς ὄμβροις τε καὶ χαλάζαις, ἔφυγον ὑπὸ τὸ ὕδωρ τῆς ἐρυθρᾶς, καὶ ἐξετίναξε κύριος ὁ θεὸς πάντας τοὺς Αἰγυπτίους ἐν αὐτῇ σὺν τῷ Φαραῷ, Μωϋσέως ἐπιστραφέντος καὶ ἐγκαρσίως τῇ ῥάβδῳ πλήξαντος τὰ ὕδατα C σταυρικῷ τύπῳ, προστάξει θεοῦ· φασὶ δέ τινες προεκβρασθέντας Αἰγυπτίους νεκροὺς ἐνόπλους εὑρεθῆναι, οὓς Ἰουδαῖοι διαβάντες ἐσκύλευσαν πρὸς τῷ πέρατι τῆς ἐρυθρᾶς. ἐξάραντες δὲ ἀπὸ τῆς ἐρυθρᾶς ἦλθον ὁδὸν ἡμερῶν γ′ εἰς ἔρημον Σοὺρ ἄνυδρον δίψει φρυγόμενοι, ἔνθα πάλιν Μωϋσέως καταστασιάζουσι ὕδατι πικρῷ λίμνης τινὸς ἀπότου παρεμβάλλοντες, Μερρᾶς διὰ τοῦτο καλουμένης, ἧς τὸ πικρὸν ξύλου τινὸς ἐμβολῇ Μωϋσῆς ἰάσατο θεόθεν ὑποδειχθέντος εἰς τύπον τοῦ ζωοποιοῦ ξύλου τοῦ σταυροῦ. ἐκεῖθεν ἦλθον εἰς Αἰλείμ, τῆς νεφέλης μετανισταμένης αὐτοῖς ἑκάστοτε κατὰ βούλησιν θεοῦ καὶ πάλιν ἱσταμένης κατὰ D τοὺς τόπους τῆς ἀναπαύσεως σημαινούσης τε τῇ στάσει τὰς μονὰς καὶ τῇ κινήσει τὰς μεταστάσεις, ἀεὶ παρ᾽ ὅλον τὸν χρόνον τῆς ἐν ἐρήμῳ διατριβῆς. εὗρον δὲ εἰς Αἰλεὶμ ιβ′ πηγὰς ὑδάτων πο-

1. τε] τέως G. πυθμένας G. 2. παραφρουρούμενος G. 3. αὐτοῖς] Εβραίοις m. 5. ἐρυθρᾶς θαλάσσης G. θαλάσσης om. B. ἐξετείναξε B. 7. ἐνκαρσίως AB. τῇ ῥάβδῳ om. G. 10. ἐξάραντες δὲ ἀπὸ τῆς ἐρυθρᾶς add. B. 11. σοῦρ AB. 12. δίψη B. 13. Μεῤῥᾶ m. Conf. Exod. XV, 23. 14. ξύλου τινὸς B. τινὸς ξύλου G. 16. Αἰλεὶμ] ἐλήμ AB. Ελλμ G. 20. εὗρον δὲ εἰς] εὑρόντες ἐν G. Αἰλεὶμ] ἐλεὶμ A. ἐλὴμ B. Ελεὶμ G.

Hoc pacto cum omni populi multitudine, ne pedibus quidem leviter aqua tinctis, marinis aquis et fluctibus ceu moenibus circumvallatus Moses pelagi profunda traiecit, atque ita deo castra Hebraeorum componente in columna nubis et ignis, hoc est, ex ea fulmina fulguraque grandines et imbres eiaculante, Aegyptii rubri maris undas subierunt; mox Mose retro verso deique imperio transversim et in crucis figuram aquas percutiente, cunctos cum ipso Pharaone Aegyptios deus in eas excussit. Narrant autem nonnulli mortuos Aegyptios, etiam armis tectos, ad littus deportatos, eosdemque a Iudaeis confestim ingruentibus et praeda potitis spoliatos ad rubri maris littora. Hinc trium dierum iter emensi in desertum Sur, locum inaquosum, siti penitus confecti appulerunt, et ad insuavem potu amarumque lacum, Mera propterea vocatum, castris positis adversus Mosen tumultuantur. Ille, ligno quodam in vivifici ligni crucis figuram caelitus ostenso et in aquas misso, amaritudinem omnem ex iis sustulit. Exhinc in Elim sunt profecti, nube per singulos dies, deo ita volente, coram eis mota ac rursum circa stationum loca fixa, et quiete quidem stationes habendas, motu vero profectionem suscipiendam, tot morae in desertis factae spatio praesignante. In Elim autem aquarum suavium fontes et se-

τίμων καὶ φοίνικας ο'. τύποι δὲ τῶν τοῦ σωτῆρος ἡμῶν ἦσαν αὗται μαθητῶν, οἵτινες τοῖς θείοις νάμασι τῆς εὐαγγελικῆς διδασκαλίας τὸν νοητὸν κατήρδευσαν Ἰσραὴλ σὺν τοῖς ο' συμφοιτηταῖς καθ' ὅλην διασπαρεῖσι τὴν οἰκουμένην ὑπὸ τῶν ιβ'. ἀπὸ δὲ Αἰλεὶμ ἦλθον ἐν τῇ ἐρήμῳ Σινᾷ. αὕτη ἀνὰ μέσον Αἰλεὶμ καὶ ὄρους Σινᾶ κεῖται. ἐνταῦθα κατεβόων Μωϋσέως καὶ Ἀαρὼν, λέγοντες, ὤφελον ἐν Αἰγύπτῳ πληγαῖς θεοῦ τεθνήκαμεν ἀπολαύον- P. 129 τες τῶν ἐν αὐτῇ κρεῶν καὶ ἄρτων. δίδοται δ' αὐτοῖς ἄρτος οὐκ ἐκ γῆς, ἀλλ' ἀπ' οὐρανοῦ δροσοειδῶς καταρρέων, καὶ κρυσταλλοειδῶς πηγνύμενος, ἐμφερὴς κορίου σπέρματι λευκῷ κατὰ τὸν ὄρθρον· τὸ δὲ γεῦμα ὡς ἐγκρὶς ἐν μέλιτι. ὅπερ ἀγνοοῦντες οἱ ἀπειθεῖς ἠρώτων, τί ἐστι; πρὸς ἀλλήλους· διὸ καὶ μάννα κέκληται· μέτρον ἑκάστῳ τῆς συλλογῆς πρὸς θεοῦ ὥριστο Γομὸρ, V. 103 τῷ δυνατῷ καὶ ἀδυνάτῳ, ὅπερ ὁ πλέον συλλέξας τὸ αὐτὸ μέτρον ἔχων ηὑρίσκετο καὶ ὁ ὀλίγον ὁμοίως. τῷ γὰρ πλεονάζοντι παραδόξως ἠλαττοῦτο καὶ τῷ λειπομένῳ προσετίθετο. τούτου μοῖρα φυ- B λαττομένη εἰς αὔριον εἰς φύσιν σκωλήκων μετεποιεῖτο χωρὶς τῆς ἡμέρας τῶν σαββάτων, ὃ καὶ παραδοξότατον ἦν. τὸ γὰρ αὐτὸ συλλεγόμενον καὶ ἴσον ταῖς ἄλλαις ἡμέραις ἐν τῇ πρὸ τῶν σαββάτων ἡμέρᾳ διπλοῦν ἐγένετο ταῖς δύο ἡμέραις ἐπαρκοῦν τῇ παρασκευῇ τε καὶ τῷ σαββάτῳ, μηδ' ὅλως διαφθειρόμενον. ἐτύπου

4. ὑπὸ B. ἀπὸ G. 5. Vulgo Ἐλείμ. ἐλὴμ B. Σινᾷ] Σινά G. Rectum est Σίν: vide Exod. XVI, 1. Addidi ἀνά. 6. Σινὰ G. 7. ὤφελον B. ὤφελλον G. 11. ἐνκρὶς AB. 13. γόμωρ B. 15. ηὑρίσκετο B. εὑρίσκετο G. 16. τοῦτο G.

ptuaginta palmas invenerunt. Illi figurae sunt duodecim salvatoris apostolorum, qui, cum septuaginta discipulis in universum orbem a primis illis duodecim missi, sacris evangelicae doctrinae fluentis animas hominum irrigaverunt. Ab Elim in desertum Sina transierunt. Porro medium est illud inter Elim et Sina montem. Ibi tumultuosis vocibus Mosen et Aaron impetierunt dicentes: utinam plagis divinitus in nos immisis, panibus et carnibus in Aegypto oblatis prius exsatiati, moreremur. Panis itaque non e terra conditus, sed e caelo roris in morem lapsus guttatimque concretus, candido coriandri semini non absimilis, diluculo subministratur; gustus autem eius tanquam laganum cum melle. Eius porro pervicacis mentis homines inexperti inquirebant, quid est hoc? Ideoque Manna vocatus est. Mensura quam colligerent singuli sive robusti sive imbecilles, deo sanciente, erat Gomor, qua qui collegerat amplius quantitatem eandem et qui paucius, parem habere reperiebatur. Abundantius enim habenti minuebatur et parcius colligenti praeter omnem exspectationem excrescebat. Quaecunque pars eius, quod dictu mirum, in crastinum reservata, in vermium naturam, excepto Sabbati die, mutabatur. Eadem quippe quantitate reliquis diebus collectum, die qui Sabbatum praecedit duplo augebatur, quantum parascevae et sabbato sufficeret, nec ullo pacto

δὲ καὶ τοῦτο τὸ ἀδιάφθορον τοῦ δεσποτικοῦ σώματος κατὰ τὸν καιρὸν τῆς ὑπὲρ ἡμῶν αὐτοῦ ταφῆς, σταυρῷ μὲν καὶ τοῖς ἥλοις καὶ τῇ λόγχῃ φυσικῶς πεπονθὸς ὁμοιοπαθῶς ἡμῖν τὰ τῆς φθορᾶς νύγματα δι᾽ οἶκτον χωρὶς πάσης ἁμαρτίας, διαφθορὰν δὲ καὶ C διάλυσιν μηδ᾽ ὅλως ὑπομεμενηκός. ἔχει μέντοι καὶ ἄλλους λόγους μυστικῶς εἰκονίζοντας τόδε τὸ μάννα τήν τε πάναγνον θεομήτορα καὶ τὸν κατ᾽ ἀρετὴν βίον, περὶ ὧν οὐ πρόκειται νῦν λέγειν. τοῦτο μὲν οὖν τὸ μάννα κομισθὲν ἐκ τῆς Παρθικῆς εἶδον ἐγὼ καὶ μετέσχον αὐτοῦ, τῆς αὐτῆς γεύσεως ὄν, ἀλλ᾽ οὐχ οὕτω πλουσίως οἷον ὤφθη ποτέ, οὐδὲ κατὰ τήνδε τὴν ἔρημον. κατὰ δὲ τὰς ἑσπέρας αὐτοῖς εἶδος πετεινῶν ἀνέβαινε καὶ ἐκάλυπτε τὴν παρεμβολήν, ὀρτυγομήτρα λεγόμενον, πρὸς βρῶσιν. ἔφαγον τοίνυν τὸ μάννα τεσσαράκοντα ἔτη πολλάκις αὐτὸ βδελυξάμενοι, ὡς D διάκενον ἄρτον, οἱ τῶν θειῶν ἀνάξιοι παροχῶν. ἀπέθετο δὲ καὶ Ἀαρὼν ἐν στάμνῳ χρυσῇ Γομὸρ τοῦ μάννα, ἐναντίον τοῦ θεοῦ εἰς τὰς γενεὰς αὐτῶν, ὃν τρόπον κύριος συνέταξε τῷ Μωϋσῇ.

Ἀπὸ τῆς ἐρήμου Σινᾶ ἀπάραντες διὰ ῥήματος κυρίου, ἦλθον εἰς Ῥαφιδεὶν ἄνυδρον τόπον, ἔνθα λοιδορηθεὶς Μωϋσῆς σφόδρα πρὸς τοῦ λαοῦ εὐξάμενος τῷ θεῷ χρησμοδοτεῖται πατάξαι ῥάβδῳ τὴν πέτραν καὶ δοῦναι τοῖς παραπικρασταῖς ὕδατα.

1. καὶ om. G. 2. αὐτοῦ om. G. 3. πεπονθὸς AB. τὰ] κατὰ B. 5. ὑπομεμενηκώς A. μέντοι καὶ] μὲν τοὺς G. 6. τόδε τὸ] τὸ δὲ G. τήν τε] τε om. G. 8. παρθηκῆς ἴδον B. 9. ὂν] ὢν B. 12. λεγόμενον B. λέγομεν G. 15. γομὼρ B. μάννα] Vulgo μάν. 16. συνέταξε κύριος τῷ μωσεῖ B. 18. ῥαφιδεῖν B. ῥαφιδὴμ A. Ραφιδὶν G. Vide Exod. XVII, 1. 19. πρὸς] ὑπὲρ m.

corrumpebatur. Incorruptum porro dominici corporis statum, toleratae pro nobis sepulturae tempore, referebat; cruce siquidem et clavis et lancea ex miserationis affectu et absque peccato naturali lege et pari nobiscum patiendi more, corruptionis vulnera persensit ille, corruptionem vero vel perniciem nulla tenus sustinuit. Habet insuper alias rationes mysticum quidpiam referentes hoc manna, purissimam puta dei matrem et vitam cum virtute coniunctam, de quibus nunc loqui non est animus. Huiusmodi manna e Parthica regione delatum vidi, eodemque sapore praeditum probavi, at non adeo suavi sicut in deserto collectum illud abundabat. Vespertinis horis volucris species quaedam adscendebat et cooperiebat castra, ortygometram dicimus, qua fruerentur ad obsonium. Quadraginta igitur annis manducabant manna, ab eoque, ceu ab inani cibo, divinis indigni donis, nauseantes abhorrebant. Reposuit quoque Aaron in urna aurea, Gomor dicunt, in conspectu domini manna, ut etiam apud posteros, prout Mosi dominus praeceperat, non ignotum foret miraculum.

A deserto Sina dei iussu solventes venerunt Raphidin aquarum penuria laborantem locum, quo conviciis a populo Moses exceptus, fusis pro eo precibus divino movetur oraculo petram percutere et procaci populo aquas

*καὶ ἐπωνόμασε τὸν τόπον πειρασμὸς καὶ λοιδόρησις. ἔνθα Ἀμαλὴκ ἐλθὼν ἐπολέμησε τὸν Ἰσραὴλ, οἷς ἐπιπέμψας Μωϋσῆς Ἰησοῦν τὸν τοῦ Ναυῆ, καλούμενον Αὐσῆ πρὸ τούτου, μετὰ δυνά-* P. 130 *μεως ἐκλεκτῆς στρατηγὸν, αὐτὸς τῇ τῶν χειρῶν ἐκτάσει σταυροειδῶς τυπούμενος, προσανεῖχε τῷ θεῷ. μέχρι μὲν οὕτω ταύτας ἐτύπου Μωϋσῆς ἐπαίρων εἰς ὕψος, ἐκράτει τῶν ἐναντίων ὁ Ἰσραὴλ, ἡνίκα δ' ἂν καθῆκε ταύτας διὰ βάρος, ἡττῶντο. τότε ἐπικαθίσας λίθῳ ὑπὸ Ἀαρὼν καὶ Ὢρ ἕως ἡλίου δυσμῶν τὰς χεῖρας ἐξέτεινε στηριζόμενος· καὶ Ἰησοῦς ἅπαντα τὸν Ἀμαλὴκ ἐν φόνῳ μαχαίρας ἐτροπώσατο τῇ τῆς νίκης αἰτίᾳ, σταυροειδεῖ τῶν χειρῶν ἐκτάσει, τοῦ νομοθέτου τροπαίῳ χρησάμενος. τότε Ἰοθὸρ ὁ τοῦ Ῥαγουὴλ γαμβρὸς Μωϋσέως παρεγένετο πρὸς αὐτὸν σὺν γυναικὶ αὐτοῦ Σεπφώρᾳ καὶ δυσὶ παισὶν ἐξ αὐτῆς τεχθεῖσι τῷ* B *Μωϋσῇ κατὰ τὴν ἔρημον Μαδιὰμ τῆς εὐδαίμονος Ἀραβίας πλησιάζουσαν τῷ ὄρει Σινᾷ, περὶ οὗ καὶ ὁ θεῖος ἀπόστολος ἔφη, τὸ δὲ Ἄγαρ Σινᾶ ὄρος ἐστὶν ἐν Ἀραβίᾳ, ἥτις ἐστὶ διαθήκη εἰς δουλείαν γεννῶσα. ὀνόματα δὲ τοῖς παισὶν ἦν Γηρσὰμ καὶ Ἐλιέζερ· τούτοις οὐδὲν ἄξιον μνήμης πέπρακται. ἀκούσας δὲ Ἰοθὸρ τὰ κατ' Αἴγυπτον καὶ τὴν ἐρυθρὰν θαύματα ἐξέστη, καὶ εὐλόγησε τὸν θεὸν, θύσας αὐτῷ ὁλοκαυτώματα. καὶ συνεστιαθεὶς Μωϋσῇ* V. 104

2. *ἐπολέμησε* B. *ἐπολέμει* G. 3. *Ναυῆ*] *ναυὴ* B. *αὐσὴ* B. 6. *εἰς ὕψος* om. G. 7. *διαβαρῶς* B. 8. *ἐπικαθήσας* AB. *ὑποκαθήσας* G. Narrantur haec Exod. XVII, 12. 9. *ἔτεινε* G. 10. *σταυροειδῆ* AB. 11. *Ιοθὸρ* m. *Ιοθὼρ* G. 12. *τοῦ* om. G. 13. *Σεπφόρᾳ* G. 14. *μωσεῖ* B. 15. *Σινὰ* G constanter. *ἔφη*] *φησὶν* G. 17. *γηρσὰμ* B. *γιρσὰμ* A. *Γερσὰμ* G. 18. Vulgo *Ιοθώρ*. *ἰωθὼρ* B. 19. *ἐξέστι* A. 20. *θεὸν* B. *κύριον* G.

largiri, et impositum est loco nomen tentatio et maledicentia. Illuc irruens Amalec bello lacessebat Israël, adversus quem misso Iesu filio Nave, Ause prius dicto, electae militum manus duce, ipse Moses crucis in morem manibus extensis ac formatis belli sollicitudinem omnem in deum referebat. Cum itaque manus in crucem compositas et elatas teneret Moses, adversarios Israël superabat, cum autem prae gravitate dimitteret et ipse profligabatur. Tunc lapidi manus innixas usque ad solis occasum, ab Aaron et Or sustentatus, extendebat; et fugavit Iesus Amalecitas omnes in caede gladii, victoriae datrice, manuum expansione, legislatoris tropaeo usus. Eo tempore Iothor filius Raguel, Mosis socer ad eum, cum eius uxore Sepphora et duobus ex ea susceptis liberis accessit, iuxta desertum Madian Arabiae felicis monti Sina contiguum, de quo divinus apostolus ait: Agar Sina mons est in Arabia, quod est testamentum in servitutem generans; nomina vero filiorum erant Gersam et Eliezer, quibus memoria dignum nihil actum est. Auditis itaque quae circa Aegyptum et rubrum mare gesta sunt portentis obstupuit et immolatis victimis benedixit dominum; celebratoque cum Mose et Aaron et omnibus senioribus Israël

*καὶ Ἀαρὼν καὶ πᾶσι τοῖς πρεσβυτέροις Ἰσραὴλ, περί τε δικαστηρίων χρηστὰ συμβουλεύσας ἀνέζευξεν εἰς Μαδιὰμ προπεμφθεὶς* C *ὑπὸ Μωϋσέως· τοῦ δὲ μηνὸς τοῦ τρίτου τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου, τῇ ἡμέρᾳ ταύτῃ ἦλθον εἰς τὴν ἔρημον τὴν Σιναΐ, καὶ παρέβαλλεν ἐκεῖ Ἰσραὴλ κατέναντι τοῦ ὄρους, καὶ Μωϋσῆς ἀνέβη εἰς τὸ ὄρος τοῦ θεοῦ. τότε μυσταγωγηθεὶς Μωϋσῆς τὰ πρὸς τὸν λαὸν καταβὰς ἀπήγγειλε τοῖς πρεσβυτέροις, τῶν δὲ συνθεμένων ὑπείκειν θεῷ κατὰ πάντα, ἀνήγαγε πρὸς τὸν θεὸν τοὺς λόγους αὐτῶν. καὶ καταβὰς πάλιν διεμαρτύρατο τῷ λαῷ πάντων μολυσμῶν καθαρθῆναι καὶ περιρραντισμοῖς ἀφαγνίσασθαι τρισὶν ἡμέραις ἀπεχομένους καὶ τοῦ γάμου. τῇ δὲ τρίτῃ ἡμέρᾳ πρὸς ὄρθρον φωναὶ καὶ ἀστραπαὶ γεγόνασι. καὶ νεφέ*D*λη γνοφώδης ἐπὶ τοῦ ὄρους, ὡς ἀφανὲς ἐν κύκλῳ τοῦ ὄρους εἶναι τῷ γνόφῳ συνειλημμένον, φοβεράν τε τὴν θέαν ἐμποιεῖν τοῖς ὁρῶσι καπνιζόμενον κύκλῳ πυρὶ καὶ σάλπιγγος καταπλήκτῳ φωνῇ περιηχούμενον. ἐφ᾽ οἷς ἅπας ἐξέστη ὁ λαὸς αὐξανομένης σφόδρα τῆς φωνῆς τῆς σάλπιγγος ἐπὶ τῇ καταβάσει τοῦ θεοῦ ἐπὶ τοῦ ὄρους, Μωϋσέως τε διαλεγομένου καὶ τοῦ θεοῦ ἀποκρινομένου. τότε ἐλάλησε κύριος πρὸς Μωϋσῆν τὴν νομικὴν δεκάλογον.*

p. 131 *α´ Ἐγώ εἰμι κύριος ὁ θεός σου, ὁ ἐξαγαγών σε ἐκ γῆς Αἰγύπτου.*

2. *συμβουλεύσασαν ἔζευξεν* G. Correctum ex B. 5. *τὴν σιναΐ* B. *τὴν σινᾶ* A. *τοῦ Σινὰ* G. 6. *Μωϋσῆς* AB. *Μωσῆς* G. 9. *καὶ* om. G. 10. *περιραν*— A. 11. *καὶ* om. G. 13. *κύκλῳ τοῦ ὄρους* B. *κύκλῳ τὸ ὄρος* G. 16. *ἐξέστη* Bm. *ἐξέστι* G. *αὐξανομένη* A. 17. *ἐπὶ τοῦ*] *ἐπὶ* om. B. 19. *μωϋσῆν* AB. *Μωσῆν* G. 20. Praefixit G *οὗτοι οἱ δέκα λόγοι οὓς εἶπεν κύριος ὁ θεὸς τῷ Μωσῇ ἐν ὄρει Σινά.*

convivio datisque ad iudicia promovenda consiliis utilibus, in Madian a Mose deductus, reversus est. Tertio vero mense ab exitu filiorum Israël de terra Aegypti, eodem quo exierant die, venerunt in desertum Sina, ubi ex montis adverso Israël est castra metatus, et Moses ad dei montem conscendit. Tunc Moses de regendo populo caelestibus oraculis eruditus, descendens e monte cuncta senioribus enunciavit; ipsis autem deo se obsequuturos pollicitis ad deum eorum verba retulit. Iterato descendens cunctis sordibus expurgari et lustrationibus expiari populum et nuptiali commercio tribus diebus continere obtestabatur. Tertio vero die circa diluculum factae sunt voces et fulgura et nubes caliginosa super montem fumo circumtectum coacta eum oculis eripuit; imo mons ipse suffumante per gyrum igne vallatus et terribili tubae sonitu perstrepens totus, horrendum cernentibus exhibebat spectaculum et invalescente magis ac magis tubae sonitu, deo in montem descendente, Moseque cum deo sermones familiarius conferente, ipsoque vicissim Mosi colloquente, populus omnis stabat animis consternatus. Tunc legis decalogum audiente Mose dominus pronunciavit.

I. Ego sum dominus deus tuus, qui eduxi te de terra Aegypti. Non

β' Οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ. οὐ ποιήσεις ἑαυτῷ εἴδωλον οὐδὲ παντὸς ὁμοίωμα.

γ' Οὐ λήψῃ τὸ ὄνομα κυρίου τοῦ θεοῦ σου ἐπὶ κενῷ. οὐ γὰρ μὴ καθαρίσῃ κύριος τὸν λαμβάνοντα τὸ ὄνομα αὐτοῦ ἐπὶ ματαίῳ.

δ' Μνήσθητι τῇ ἡμέρᾳ τῶν σαββάτων ἁγιάζειν αὐτήν.

ε' Τίμα τὸν πατέρα καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένη- B
ται καὶ ἵνα μακροχρόνιος γένῃ ἐπὶ τῆς γῆς.

ς' Οὐ μοιχεύσεις.

ζ' Οὐ φονεύσεις.

η' Οὐ κλέψεις.

θ' Οὐ ψευδομαρτυρήσεις κατὰ τοῦ πλησίον σου.

ι' Οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου. οὐκ ἐπιθυμήσεις τὴν οἰκίαν τοῦ πλησίον σου οὔτε τὸν ἀγρὸν αὐτοῦ οὔτε τὸν παῖδα αὐτοῦ οὔτε τὴν παιδίσκην αὐτοῦ οὔτε τοῦ βοὸς αὐτοῦ οὔτε τοῦ ὑποζυγίου αὐτοῦ οὔτε παντὸς κτήνους αὐτοῦ οὔτε ὅσα τῷ πλησίον σου ἐστίν. C

Αὕτη ἡ δεκάλογος γενικῶν ἐντολῶν ἐστι διάταξις.

Ταῦτα τὰ θεῖα διατάγματα φοβερᾷ τινι ἐνάρθρῳ φωνῇ διατέτακται, ὁρῶντος τοῦ λαοῦ καὶ ἀκούοντος, ἧς τὸ κατάπληκτον καὶ ἀκοαῖς δυσάντητον μὴ φέροντες ᾔτησαν διὰ Μωϋσέως τὰ

1. β' om. G. ποιήσης B. ἑαυτῷ AB, σοι G. σεαυτῷ Exod. XX, 4. 3. γ'] β' G et γ' — θ' pro δ' — ι'. λήψει B. 5. ματαίῳ] μάτην G. 13. ι' Οὐκ ἐπιθυμ. τὴν οἰκίαν G. 17. τῷ] τοῦ G. 18. Αὐτὴ G. ἐστι] ἐστιν AB. ἐστιν ἡ G. 19. διατάγματα B. διδάγματα G. τινὶ καὶ ἐνάρθρῳ G.

erunt tibi dii alii praeter me. Non facies tibi idolum, nec cuiusquam similitudinem.

II. Non assumes nomen domini dei tui in vanum: non enim innoxium habebit dominus, qui sumpserit nomen eius in vanum.

III. Memento diei Sabbati, ut eum sanctifices.

IV. Honora patrem tuum et matrem tuam, ut bene tibi sit et ut longaevus sis super terram.

V. Non moechaberis.

VI. Non occides.

VII. Non furaberis.

VIII. Non falso testaberis contra proximum tuum.

IX. Non concupisces uxorem proximi tui.

X. Non concupisces domum proximi tui, non eius agrum, non eius servum, non eius ancillam, non eius bovem, non eius subiugale, neque ullum pecus eius, neque quaecunque proximi tui sunt.

Haec decem verba generalium mandatorum series est.

Ista divina documenta tremenda quadam et articulata voce vidente populo et audiente sunt pronunciata, cuius terrorem et gravem auribus sonum non ferentes Israëlitae, reliqua capitibus octo sancita et comprehen-

λοιπὰ τῶν ἐφεξῆς ἰδικῶς αὐτοῖς ἐν πεντήκοντα κεφαλαίοις νομοθετηθέντων λαληθῆναι. ἦσαν δὲ περί τε οἰκετῶν καὶ φόνων ἑκουσίων καὶ ἀκουσίων, ἀτιμίας γονέων καὶ κακολογίας, κλοπῆς, πατάξεως ἐν μαχαίραις πρὸς ζωὴν καὶ πρὸς θάνατον, ἐλευθέρων πρὸς ἐλευθέρους καὶ δεσπότου πρὸς δοῦλον καὶ ἀνδρῶν πρὸς
V. 105 ἔγκυον γυναῖκα, καὶ ἐκβολῆς ὀφθαλμοῦ δούλου καὶ δούλης, κε-
D ρατισμοῦ ταύρου πρὸς θάνατον καὶ τοῦ κυρίου αὐτοῦ, καὶ ὀρυγῆς λάκκου καὶ κτηνῶν ἐμπτώσεως ἐν τούτῳ, κερατισμοῦ ταύρου πρὸς ταῦρον, κλοπῆς μόσχου καὶ θανῆς τοῦ κλέπτου ἐν τῷ διορύγματι κατὰ βοσκημάτων, καὶ ἅλωνος ἐμπρησμοῦ, παρακαταθήκης ἀργυρίου καὶ χρυσίου καὶ ὑποζυγίων καὶ παντοίων κτηνῶν χρήσεως παρὰ τῷ πλησίον, φθορᾶς παρθένου, καὶ θανάτου, φαρμάκου, κτηνοβασίας, καὶ θυσίας εἰδώλων, κακώσεως προσηλύτου, καὶ ὀρφανῶν καὶ χηρῶν δανειζομένων, κακολογίας εἰς θεὸν καὶ ἄρχοντας λαοῦ, ἀπαρχῶν ἅλωνος καὶ ληνοῦ, πρωτοτόκων υἱῶν μόσχων τε καὶ προβάτων καὶ ὑποζυγίων, τοῦ εἶναι
P. 132 αὐτοὺς ἄνδρας ἁγίους θεῷ, καὶ κρέα θηριαλώτων μὴ ἐσθίειν, ἀλλὰ κυσὶν ἀπορρίπτειν, μὴ παραδέχεσθαι ἀκοὴν ματαίαν, μὴ συμμαρτυρεῖν ἀδίκῳ, μὴ συνεῖναι πολλοῖς ἐπὶ κακίᾳ, μὴ ἐκκλῖναι μετὰ πολλῶν κρίσιν, μήτε ἐλεῆσαι πτωχὸν ἐν κρίσει, ἀποστρέφειν καὶ ἀποδιδόναι τὸν βοῦν καὶ τὸ ὑποζύγιον τοῦ ἐχθροῦ

1. πεντήκοντα B. ν' A. η' G. νομοθετηθέντων B. νομοθετηθέντα G. 2. ἑκουσίων καὶ ἀκουσίων B. ἀκουσίων καὶ ἑκουσίων G. 4. μαχαίραις] μάχαις B. 5. δοῦλον B. δούλου A. δούλους G. 6. ὀφθαλμοῦ B. ὀφθαλμῶν G. 11. ὑποζυγίων B. ὑποζυγίου G. 12. παρὰ] περὶ G. 15. ἄρχοντα G. 17. θηριάλωτον B. θηριάλωτα G. 19. μὴ ἐκκλῖναι B. καὶ ἐκκρῖναι G. 20. κρίσιν] κρίσει G. μήτε] καὶ G.

sa privatim sibi postmodum a Mose postulaverunt exponi. Illa vero de famulis et involuntariis spontaneisque caedibus, de parentum contemptu et in eos maledicentia, de furto, gladii percussione ad vitam et mortem, a liberis in liberos factam, a domino in servos, a viris in mulierem praegnantem, excaecatione oculorum servi et ancillae, vulnere cornuum tauri in mortem, et de eius domino, de fossione foveae et iumentorum in eam casu, pugna tauri in taurum, furto vituli, et furis dum murum diripiendis pecoribus effoderet nece, de area incensa, argenti vel auri deposito, subiugali et omnium armentorum usu proximis concesso, virginum stupro, de morte et veneficio, coitu cum bestia, idolorum cultu, advenis et orphanis vexatis, viduis mutua accipientibus, maledicentia in deum et populi magistratum, areae et torcularis primitiis, primogenitis, et tandem de vitulis, ovibus et subiugalibus edisserit; edocet insuper qua ratione sanctos ac deo votos esse conveniat, ne carnes a bestiis captas comedant, sed canibus proiiciant, ne vanam auditionem suscipiant, ne faventes impio sint testes, ne cum pluribus malo proposito conversentur vel cum iis a iudicio declinent, ne in iudicio pauperis misereantur, retro agant bovem

πλανώμενον, εὑρόντα καὶ πεπτωκὸς ὑπὸ τὸν γόμον συνεγείρειν, μὴ διαστρέφειν κρίσιν πένητος δικαίαν, ἀπὸ παντὸς ῥήματος ἀδίκου ἀφίστασθαι, μὴ ἀναιρεῖν ἀθῷον καὶ δίκαιον, μὴ δικαιοῦν τὸν ἀσεβῆ, δῶρα μὴ λαμβάνειν ὡς ἐκτυφλοῦντα βλέποντας καὶ τὸ δίκαιον λυμαινόμενον. προσήλυτον εὖ ποιεῖν, ἓξ ἔτη σπείρειν τὴν γῆν καὶ τῷ ἑβδόμῳ ἄφεσιν αὐτῇ παρέχειν εἰς ἀπόλαυσιν πτωχοῖς B ἢ θηρίοις· ὁμοίως καὶ τὸν ἀμπελῶνα καὶ τὸν ἐλαιῶνα ἓξ ἡμέρας ἐργάζεσθαι τῆς ἑβδομάδος, τῷ δὲ σαββάτῳ ἀναπαύεσθαι. ὀνόματι θεὸν ἀλλότριον μὴ ὀμνύειν, μήτε προσφέρειν διὰ στόματος· τρεῖς καιροὺς τοῦ ἔτους ἑορτάζειν· τὴν ἑορτὴν τῶν ἀζύμων πρώτην ἑπτὰ ἡμερῶν τῷ μηνὶ τῶν νέων ἤτοι κατὰ τὴν πρώτην τοῦ ἔαρος πανσέληνον· δευτέραν ἑορτὴν θερισμοῦ πρωτογεννημάτων· καὶ τρίτην συναγωγῆς ἔργων τοῦ ἀγροῦ συντελείας ἀπὸ ἐξόδων ἐνιαυτοῦ. μὴ ὀφθῆναι κενὸν ἐνώπιον κυρίου, καὶ πᾶν ἄρσεν ὀπτάνεσθαι ἐνώπιον κυρίου κατὰ τὰς τρεῖς ἑορτὰς ταύτας. μὴ C θύειν ἐπὶ ζύμῃ αἷμα θυσιάσματος κυρίου, ἀλλ' ἐπ' ἀζύμοις· μὴ μένειν ἕως πρωῒ στέαρ τῆς ἑορτῆς, καὶ τὰς ἀπαρχὰς τῶν πρωτογεννημάτων τῆς γῆς εἰσάγειν εἰς τὸν οἶκον τοῦ θεοῦ. ἐφ' ἅπασι μὴ ἕψειν ἄρνα ἐν γάλακτι μητρὸς αὐτοῦ.

Ταῦτα τὰ δικαιώματα τοῦ θεοῦ Μωϋσῆς ἐλθὼν ἀπήγγειλε τῷ λαῷ μετὰ καὶ ἄλλων τινῶν θείων παραινέσεων, καὶ ἀπεκρίθη

1. εὑρόντα] εὑρῶντα B. εὑρόντας m. πεπτωκὼς B. συναγείρειν G. συναρεῖς est Exod. XXIII, 5. 5. λυμαινόμενα m. 7. ὁμοίως δὲ τὸν G. 9. θεῶν ἀλλοτρίων G. προφέρειν m. 10. ἑωρτάζειν B et infra ἑωρτῆς. 12. αἴαρος B. πρωτογεννημάτων B. 13. τρίτην m. τρίτον G. συναγωγὴν G. ἔργων Bm. ἔργον G. 19. Vulgo ἑψεῖν. 21. τινῶν om. G.

ad dominum et subiugale errans restituant, si sub onere prolapsum inveniant, ipsi sublevent, ne iustum pauperis iudicium pervertant, ab omni verbo iniusto abstineant, ne innocentem et iustum morti tradant, ne impium iustificent, ne dona ceu videntium oculos excaecantia et ius omne pervertentia accipiant, ut advenis benefaciant, sex annis terram serant et septimo in pauperum et bestiarum escam requiem ei praebeant, vites pariter et oliveta sex hebdomados diebus colant et Sabbato a labore cessent, per alienorum deorum nomen ne iurent vel ore solo proferant, tribus anni temporibus festum agant: primum Azymorum festum diebus septem, novorum mense, hoc est circa primum veris novilunium; secundum messis primitivorum; et tertium festum consummationis de anni proventibus in collectione operum agri; ne vacui coram domino appareant, cuncti masculi tribus his festis diebus in domini conspectu se sistant, ne super fermento, sed super Azymis sacrificii sanguinem offerant; ne usque mane festi adeps remaneat, primitivorum primitias in domini domum inferant et prae omnibus ne in matris suae sanguine agnum coquant.

Has dei iustificationes ac simul omnia sacra documenta populo Moses exposuit et una voce populus omnis respondit: omnia verba domini facie-

πᾶς ὁ λαὸς μιᾷ φωνῇ, λέγοντες, πάντας τοὺς λόγους κυρίου ποιήσομεν καὶ ἀκουσόμεθα. καὶ ἔγραψε ταῦτα πάντα. τότε ὀρθρίσας ᾠκοδόμησε θυσιαστήριον ὑπὸ τὸ ὄρος καὶ ιβ' λίθους κατὰ φυλὴν ἔστησε· καὶ θύσας τῷ θεῷ μόσχους προσέχεε τὸ ἥμισυ τοῦ αἵματος πρὸς τὸ θυσιαστήριον· ἐπανέγνω τε αὖθις εἰς τὰ D ὦτα τοῦ λαοῦ τὸ βιβλίον τῆς διαθήκης, καὶ εἶπον, πάντα ὅσα ἐλάλησε κύριος ποιήσομεν καὶ ἀκουσόμεθα. καὶ λαβὼν τὸ ἄλλο ἥμισυ τοῦ αἵματος τῶν θυσιῶν ἐν κρατῆρι κατεσκέδασε τοῦ λαοῦ καὶ εἶπεν, ἰδοὺ τὸ αἷμα τῆς διαθήκης ἧς διέθετο πρὸς ἡμᾶς κύριος περὶ πάντων τῶν λόγων τούτων. παραλαβὼν δὲ Μωϋσῆς τὸν Ἀαρὼν καὶ Ναδὰβ καὶ Ἀβιοὺδ σὺν ἄλλοις ο' τῆς γερουσίας ἀνέβη, οὗ εἱστήκει ὁ θεὸς τοῦ Ἰσραήλ. καὶ εἶδον τὸν τόπον καὶ τὰ ὑπὸ τοὺς πόδας αὐτοῦ ὡσεὶ ἔργον λίθου σαπφείρου, καὶ ὥσπερ εἶδος στερεώματος τοῦ οὐρανοῦ τῇ καθαρότητι, καὶ τῶν ἐπιλέκτων P. 133 τοῦ Ἰσραὴλ οὐ διεφώνησεν οὐδὲ εἷς. καὶ ὤφθησαν ἐν τῷ τόπῳ, καὶ ἔφαγον καὶ ἔπιον.

V. 106 Τοῖς οὖν γενικοῖς καὶ ἰδικοῖς νόμοις Μωϋσῆς προκαταρτηθεὶς τὴν διάνοιαν ἐπὶ τὴν ἀκρώρειαν ἀνελθεῖν ὑπὸ τοῦ θεοῦ προσετάχθη, ἔνθα σὺν Ἰησοῦ τῷ τοῦ Ναυῆ μόνῳ προσαναβὰς ἐπὶ τελειοτέραν μυσταγωγίαν ἀνάγεται, ναοῦ τινος αὐτῷ παραδειχθέντος παμποικίλου καὶ δυσερμηνεύτου, προπυλαίοις καὶ

2. ποιήσωμεν AB. ἀκουσόμεθα B. ἀκουσώμεθα A. ἀκούσομεν G. Vide Exod. XXIV, 3. ἔγραψεν AB. ἔγραψαν G. 3. καὶ om. G. 4. φυλὰς G. 5. πρὸς B. εἰς G. τὰ om. B. 6. εἶπον Bm. εἰπὼν G. 7. ποιήσωμεν καὶ ἀκουσώμεθα AB. 10. περὶ om. G. τὸν λόγον τοῦτον A. 11. ναδὰβ B. Ναδὰμ G. ο' om. G. 12. εἶδον m. ἰδὼν G. 13. ὡσεὶ] ὥσπερ G. 19. ναυὴ B.

mus et audiemus. Et ea cuncta descripserunt. Surgens autem Moses mane aedificavit altare ad montis radicem duodecim positis lapidibus pro duodecim tribuum numero; et immolatis deo vitulis medium sanguinis effudit in altare; rursumque testamenti librum audiente populo perlegit et exclamaverunt cuncti: omnia quaecunque locutus est dominus faciemus et audiemus. Acceptamque aliam sanguinis victimarum partem mediam respersit in populum et ait: ecce sanguis testamenti, quod disposuit dominus de omnibus verbis istis. Et assumptis Aaron, Nadam et Abiud cum aliis e senioribus, adscendit Moses in locum, quo steterat deus Israël. Et viderunt locum et quae sub pedibus eius, velut speciem lapidis Sapphiri ac velut speciem firmamenti caeli in sua puritate. Et de primoribus Israël non contradixit vel unus. Et visi sunt in loco, et comederunt et biberunt.

Communibus itaque privatisque legibus Moses instructus, ad montis cacumen a deo conscendere iussus est; illucque solus cum Iesu Nave penetrans, ad sublimiorem rerum divinarum agnitionem elevatur, ostenso ei quodam templo rerum difficile explicandarum varietate ornato ac vestibu-

στύλοις καὶ παραπετάσμασι τραπέζῃ τε καὶ λύχνοις καὶ θυμιατηρίῳ καὶ ἀνεπιβάτοις ἀδύτοις κεκαλλωπισμένου· ὧν τὴν τῆς κατασκευῆς ἱστορίαν οὐ γραφῇ παραδοῦναι μόνῃ κελεύεται, ἀλλὰ καὶ αὐτοῖς ἔργοις ὅσον ἀνθρώποις ἐκμιμήσασθαι δυνατὸν τὴν ἄϋλον ἐκείνην καὶ θαυμαστὴν δημιουργίαν ἐν ὑλικῇ κατασκευῇ, B
διὰ τῶν κατὰ γῆν εὑρισκομένων τιμιωτάτων ὑλῶν ἐκμιμήσασθαι σκηνῆς τύπῳ συμπεριφερομένης τοῖς ἐκ τόπου τόπον ἀμείβουσι μετανάσταις. ἐν δὲ τῇ κατασκευῇ πλέον μὲν ὁ χρυσὸς παρελήφθη κύκλῳ περικεχυμένος τοῖς στύλοις, κατὰ δὲ τὰς κορυφὰς καὶ τὰς βάσεις καὶ ὁ ἄργυρος. ἔστι δέ που καὶ ὁ χαλκὸς ἐν κεφαλαῖς καὶ βάσεσι τῶν ἀργυρῶν κιόνων. ὁ δὲ περίβολος τοῦ ναοῦ καὶ ὁ τῶν κιόνων ὄροφος τά τε παραπετάσματα καὶ καταπετάσματα πάντα δι' ὑφασμάτων ὑακινθίνων καὶ πορφυρῶν καὶ κοκκίνων βαπτῶν καὶ τοῦ λαμπροῦ καὶ αὐτοφυοῦς λευκοτάτου βύσσου ἐμπείρως καθυφασμένων. ἔν τισι δὲ καὶ λίνον καὶ τρίχες καὶ ἐρυθρὰ δέρματα παρελήφθη πρὸς τὴν κατάλληλον ἑκάστου χρείαν. C
ἐφ' οἷς ἱερατικὴ στολὴ δι' ἐπωμίδων ἐκ διαφόρων βαφῶν, ἐξ ὧν ἦν καὶ τὸ καταπέτασμα πεποικιλμένον, πλέον ἐχουσῶν τοῦ χρυσοῦ νήματος, τῶν τε πορπῶν καθ' ἕτερον μέρος, αἳ συνέχουσι τὰς ἐπωμίδας σμαράγδοις ἐν κύκλῳ διαχρύσοις περισφίγγουσαι, τῇ χλοερᾷ φύσει τῶν λίθων διαλαμπουσῶν, αὐτῶν τε τῶν λίθων

1. περιπετάσμασι G. 7. τύπῳ B. τύπον G. τόπων ἀμείβουσαν B. 8. παρελήφθη A. παρελείφθη G. 10. βάσεις καὶ] καὶ om. G. ἔστι] ἔτι G. 12. περιπετάσματα G. 14. αὐτοφαοῦς G. Correctum ex B. 15. λίνον Bm. λίνων G. 17. ἱερατικῇ στολῇ AB. ἐπωμίδων] ἐπωμίδα G.

lis, columnis, velis, mensa, lucernis, thuribulis et inaccessis penetralibus sacris arte mira absoluto, quorum apparatus historiam non solum scripto mandare, verum etiam, quantum hominum ferrent vires, ipsis factis mirandum illud et materiei expers opus in materiali mole exquisitis pretiosae supellectilis ornamentis varium, tentorii, inquam, de loco in locum a vagis et incertae stationis hominibus circumferendi figuram imitari iubetur. In his vero disponendis frequentius aurum columnis circumducendum, basibus autem et capitellis argentum, nonnunquam etiam aes in episteliis et sustentaculis argentearum columnarum conflandis est adhibitum. Templi vero septum et columnarum tectum, aulaea et vela cuncta erant ex opere textili, hyacintho, purpura, cocco tincto et bysso pellucida genuinoque candore coruscante perite intertextis. Interdum etiam linum et lana rubraeque pelles venerunt in usum, prout respondentia sibi invicem opera exigebant. His praecipuum ornamentum sacerdotale additum est; humerale nimirum, diversis coloribus (quibus velum etiam distinctum erat) et aureis filis, quibus maxime abundabat radians; accedebant quoque altera ex parte fibulae, (quae smaragdis auro per gyrum inclusis humeralia constringunt et continent), lapidibus innato virore micantibus illustres, alii vero lapides sena

ἐγγεγλυμμένα τὰ τῶν πατριαρχῶν ἀνὰ ἓξ ἐχόντων ὀνόματα, καὶ τὰ τούτων ἀπηρτημένα κοσμίως ἀσπίδια κατὰ τὸ ἔμπροσθεν μέρος, αἵ τε καθ᾽ ἑκάτερον μέρος ἀπὸ τῆς πόρπης ἄνωθεν καθει-
D μέναι τῶν ἀσπίδων διάπλοκοι σειραὶ ἐν ἀλλήλων διαλλὰξ κατά τινα ῥυθμὸν, ἐκ χρυσοῦ δικτυοειδῶς πεπλεγμέναι καὶ βαφαῖς συνηνθισμέναι. τούτοις ἑξῆς τὸ λόγιον τῶν κρίσεων τοῦ στήθους προβεβλημένον τοῦ ἀρχιερέως κατὰ ῥυθμὸν τῆς ἐπωμίδος, ἐκ χρυσίου καὶ ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου κεκλωσμένον κατεσκεύαστο καὶ βύσσου, τετράγωνον, διπλοῦν, ἰσόπλευρον, σπιθαμῆς μῆκος καὶ πλάτος ιβʹ, λίθοις ἐν τέτρασι στίχοις κειμένοις καὶ ἐγκαθυφασμένοις οὕτως· πρῶτος στίχος λίθων τριῶν, σάρδιον, τοπάζιον καὶ σμάραγδος. δεύτερος στίχος, ἄνθραξ,
P. 134 σάπφειρος, ἴασπις. τρίτος στίχος, λιγύριον, ἀχάτης, ἀμέθυστος. τέταρτος στίχος, χρυσόλιθος, βηρύλλιον, ὀνύχιον. οὗτοι οἱ ιβʹ λίθοι, φέροντες τὰ τῶν ιβʹ φυλῶν ὀνόματα τοῦ Ἰσραὴλ ἐγγεγλυμμένα καθ᾽ ἕνα αὐτῶν περικεχρυσωμένοι καὶ ἐνδεδυμένοι χρυσίῳ καθαρῷ, ἐπὶ τοῦ λογίου ἦσαν. τὸ δὲ λόγιον κροσσοῖς συμπεπλεγμένοις ἁλυσιδέτοις ἐκ χρυσίου καθαροῦ καὶ δυσὶ δακτύλοις χρυσοῖς ἀπεκρέματο τῶν ὤμων τοῦ ἀρχιερέως συμβεβλημένοις μηχανήμασι σφιγκτοῖς πρὸς τὰς δύο ἐπωμίδας, ὡς κεῖσθαι αὐτὸ κατὰ μέσον τοῦ στήθους τοῦ ἀρχιερέως ἐν ταῖς εἰσόδοις ταῖς εἰς τὸ ἅγιον· ἐπὶ δὲ τὸ λόγιον, φησὶ, τῆς κρίσεως ἐπιθή-

7. προβεβλημένον B. προβεβλημένων G. 10. τέτρασι] τέσσαρσι m. στίχοις] στοιχεὶ (sic) B. 13. ἀχάτις A. 14. βηρύλλιος G. 15. φέροντες δὲ G. 18. ἁλυσειδέτοις A. ἁλύσει δὲ τοῖς B. ἁλυσιδέσιν G. Fortasse ἁλυσιδωτοῖς B dare voluit. Conf. Exod. XXVIII, 22. 19. ἀπεκρέμματο A. 21. αὐτὸ B. αὐτὸν G. 22. φησὶ] Exod. XXVIII, 30.

hinc inde gerebant patriarcharum insculpta nomina, scutulaque pariter de pectore eleganter pendentia, tum catenae ex utroque humero fibulis superius annexae et scutulis demissae, in invicem et alterne arte mirabili implexae diversisque coloribus auro permixtis radiabant. Erat praeter ista rationale iudiciorum pectori pontificis appensum ad humeralium modum, auro, hyacintho, purpura, cocco et bysso intextis compositum, quadrangulum, duplex, per latera aequale, palmo uno longum et latum, duodecimque lapidibus per quatuor ordines fixis et insitis distinctum, hoc pacto. Primus lapidum trium ordo: sardius, topazius et smaragdus. Secundus ordo: carbunculus, sapphirus et iaspis. Tertius ordo: ligurius, achates et amethystus. Quartus ordo: chrysolitus, beryllius et onychinus. Duodecim isti lapides duodecim tribuum Israël insculpta sibi singulis nomina praeferentes, auro puro inclusi et rationali erant affixi. Rationale vero fimbriis ex auro puro concatenatis et implexis et duabus ansulis tenacibus apte versus humeralia duo commissis ex pontificis humeris ita pendebat, ut in eius medio pectore, eo in sancta penetrante, positum effulgeret. Et impones, in-

σεις τὴν δήλωσιν καὶ τὴν ἀλήθειαν, καὶ ἔσται ἐπὶ τοῦ στήθους Ἀαρών, ὅταν εἰσπορεύηται εἰς τὸ ἅγιον ἔναντι κυρίου, καὶ οἴσει Ἀαρὼν ἔναντι κυρίου τὰς κρίσεις τῶν υἱῶν Ἰσραήλ, ἐπὶ τοῦ στήθους διὰ παντός.

Περὶ τούτου τοῦ λογίου φησὶν ὁ Ἰώσηππος ἐν τρίτῳ ὅτι οἱ δύο σαρδώνυχοι οἱ ἐπὶ τῶν ὤμων τοῦ ἀρχιερέως καὶ οἱ ἐπὶ τοῦ στήθους δωδεκάλιθοι λόγιον ἐκαλοῦντο, διὰ τὸ σημαίνειν ἔκ τε τῆς V. 107 αὐγῆς τὰ χρηστὰ καὶ ἐκ τῆς ἐπισκοτήσεως τὰ δεινὰ ἐν πολέμοις· καὶ ἄλλοις παντοίοις πράγμασι τῷ Ἰσραήλ. ἡ δὲ τοιαύτη σημασία δήλωσις ἐλέγετο καὶ ἀλήθεια ἐν τῷ λογίῳ θεόθεν ἀναφαινομένη, ἥτις κατὰ ἁμαρτίας τοῦ λαοῦ, φησίν, ἐπαύσατο ἐνεργοῦσα C τῶν Ἰωσήππου χρόνων πρότερον ἔτεσι διακοσίοις. μετὰ τὸ λόγιον ὑποδύτην ποδήρη ὅλον ὑακίνθινον ὑφαντὸν ἔνδον ἐπωμίδων ἐξ αὐχένος εἰς πόδας κατιόντα προστέτακται, τοῖς τῶν κοσυμβῶν διαστήμασιν εὐπρεπῶς κεκοσμημένον, τὸ κράσπεδόν τε ἐξ ὑφαντικῆς ποικιλίας καὶ χρυσῶν ἀπαρτημάτων ἔχοντα κώδωσι καὶ ῥοΐσκοις ἐκ παραλλήλου κεκαλλωπισμένον, τεκτήνασθαι. εἶτα πέταλον χρυσοῦν ἁγίῳ τινὶ καὶ ἀρρήτῳ χαράγματι κατασεσημασμένον ἐπιτίθεσθαι τῷ μετώπῳ τοῦ ἀρχιερέως, καὶ κίδαριν καὶ ζώνην. καὶ ὁ τῶν κρυφίων κόσμος καὶ ὅσα ἄλλα περὶ ἱερα-

2. τοῦ Ἀαρὼν G. τοῦ om. B. Legebatur εἰσπορεύεται. εἰσπορευόμενος A. 5. ὁ add. B. ἐν τρίτῳ] Cap. 8. 6. σαρδόνυχοι B. 8. ἐπισκοτήσεως A. ἐπισκοτίσεως B. σκοτήσεως G. 13. καὶ ὑποδύτην m. ὑποδύτην] Exod. XXVIII, 31. ὑφαντὸν Bm. ὑφαντῶν G. 14. προστέτακται om. G. κοσύμβρων A. 15. κεκοσμημένον Bm. κεκοσμημένων G. 16. ποικιλίας B. ποικίλλης A. ποικίλης G.

quit, super rationale iudicii demonstrationem et veritatem. Et erit super pectus Aaron, quando ingredietur in sanctum ante dominum. Et offeret Aaron iudicia filiorum Israël super pectus ante dominum semper.

De rationali isto refert Iosephus in tertio, duos in humeris pontificis sardonychos et duodecim in pectore gestatos lapides, rationale vocatos, quod ex splendore fortunata, ex obscuritate adversa, cum in bellis tum in rebus aliis ab Israël gerendis, praenunciarent. Illud porro vaticinium, demonstratio videlicet et veritas in rationali caelitus manifestata, propter populi peccata ducentis annis ante Iosephi aetatem nullius rei futurae dabat indicium. Praeter rationale et talarem tunicam puri coloris hyacinthini textilem, sub humeralibus a cervice ad pedes usque demissam, subligaculorum discriminibus decenter ornatam, fimbriasque eius textiles et varias aureis pensilibus, tintinnabulis nimirum et malis punicis collustratas iussit componi, mox laminam auream sancto quodam et secreto charactere exaratam pontificis fronti, mitramque et zonam superaddi. Interior autem ornatus et alia quaecunque circa pontificiam dignitatem memorata, sub vestimentorum ostentatione virtutum figuras et indicia oculis obiiciebant.

τικῆς ἐκπέφανται δι' αἰνιγμάτων ἀρετῆς ἐν περιβολῇ σχήματος.
D ταῦτα πάντα ἐν ἡμέραις μ' μυηθεὶς καὶ ὅσα λοιπὰ κατὰ μέρος περὶ κατασκευῆς τῆς σκηνῆς καὶ ἱερωσύνης καὶ θυσιῶν καὶ ἐξιλασμῶν. ἔτι τε δύο πλάκας ἱερὰς καὶ θεοτεύκτους οἷόν τι δῶρον ἀχειροποίητον ἐκ θεοῦ λαβὼν θείῳ δακτύλῳ γεγραμμένας κατῄει ταύτας ἐπιφερόμενος, εἰπόντος πρὸς αὐτὸν τοῦ θεοῦ, βάδιζε, κατάβηθι τὸ τάχος ἐντεῦθεν, ἠνόμησε γὰρ ὁ λαός σου, οὓς ἐξήγαγες ἐκ γῆς Αἰγύπτου. παρέβησαν ταχὺ ἐκ τῆς ὁδοῦ ἧς ἐνετειλάμην αὐτοῖς. ἐποίησαν ἑαυτοῖς μόσχον καὶ προσκεκυνήκασιν αὐτῷ καὶ τεθύκασιν αὐτῷ, καὶ εἶπαν, οὗτοι οἱ θεοί σου Ἰσραήλ, οἵτινες ἀνεβίβασάν σε ἐκ γῆς Αἰγύπτου. καὶ νῦν ἔασόν με, καὶ θυμωθεὶς ὀργῇ ἐκτρίψω αὐτούς, καὶ ποιήσω σε εἰς ἔθνος μέγα καὶ ἰσχυρότερον ἢ τοῦτο. ταῦτα πρὸς αὐτὸν εἰπόντος, αὐτοῦ τε
*Ἀρμαῖος, ὁ καὶ Δαναός, φεύγων τὸν ἀδελφὸν Ῥαμεσσῆν τὸν Αἴγυπτον ἐκπίπτει τῆς κατ' Αἴγυπτον βασιλείας αὐτοῦ, εἰς Ἑλλάδα τε ἀφικνεῖται. Ῥαμεσσῆς δὲ ὁ ἀδελφὸς αὐτοῦ, ὁ καὶ Αἴγυπτος καλούμενος, ἐβασίλευσεν Αἰγύπτου ἔτη ξη', μετονο-* C
*μάσας τὴν χώραν Αἴγυπτον τῷ ἰδίῳ ὀνόματι, ἥτις πρότερον Με-* V. 124
*στραία, παρ' Ἕλλησι δὲ Ἀερία ἐλέγετο. Δαναὸς δέ, ὁ καὶ Ἀρμαῖος, κρατήσας τοῦ Ἄργους καὶ ἐκβαλὼν Σθένελον τὸν Κρο-*

1. *τίθωνος* B. 4. *ἀντίγραφος*] Apud Eusebium p. 44. *δὲ* delet m. 6. Lacunae indicio caret A. *Θιναῖος* supplevit Scaliger p. 29. 7. *,δτξβ'* om. B. 8. *δέρκυλος* AB. 11. *ἀχερρὴς* B. *Ἀχερὴς* G. 12. *,δμα'* m. 14. *,δμθ'* m. 16. *αἰγύπτιον* AB. *Αἰγύπτων* G. *Αἴγυπτον* Scaliger. 18. *αἰγύπτιος* AB. *Αἰγύπτος* G. *Αἴγυπτος* Scaliger. 20. *ἀερεία* B. 21. *ἐκβαλὼν* B. *ἐμβαλὼν* G.

**Babius iste Tithonus est Graecorum vocibus laudatus Assyriorum rex 32, cuius filius Memnon adversus Graecos Priamo tulit auxilium et Achillis manu sublatus est. Epistolae ad eum a Priamo datae inter nonnullos circumfertur exemplar. Idem secundus Tautanes agnoscitur.**

**Assyriorum rex 33 [Thinaeus] annis 30, mundi vero 4362.**

**Assyriorum rex 34 Dercylus annis 40, mundi vero 4392.**

## Aegyptiorum reges.

**Aegyptiorum rex 45 Acheres annis 8 vel 30, mundi vero 4041.**

**Aegyptiorum rex 46 Armaeus, qui et Danaus, annis 9, mundi vero 4049.**

**Armaeus, qui et Danaus, fratrem Ramessem Aegyptum fugiens, quod tenebat, Aegypti regno excidit et in Graeciam profectus est. Frater eius Ramesses, Aegyptus etiam dictus, Aegypti regnum occupavit annis 68 et ex eius proprio nomine regioni Mestraeae nonnullis, Graecis autem Aeriae primitus vocatae, Aegypti nomen indidit. Danaus porro, qui et Armaeus, Argis potitus, in Argivos, Sthenelo Crotopi filio eiecto, tyrannidem arri-**

τωποῦ Ἀργείων ἐβασίλευσε· καὶ οἱ ἀπόγονοι αὐτοῦ μετ' αὐτὸν Δαναΐδαι καλούμενοι ἐπ' Εὐρυσθέα τὸν Σθενέλου τοῦ Περσέως. μεθ' οὓς οἱ Πελοπίδαι ἀπὸ Πέλοπος παραλαβόντες τὴν ἀρχὴν, ὧν πρῶτος Ἀτρεύς.

Ἀργείων βασιλεῖς.

D Ἀργείων ι' ἐβασίλευσε Δαναὸς ἔτη νη'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δξδ'.

Ἀργείων ια' ἐβασίλευσε Λυγκεὺς ἔτη λε'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δρκβ'.

Ἀργείων ιβ' ἐβασίλευσεν Ἄβας ἔτη λζ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δρνζ'.

Ἀργείων ιγ' ἐβασίλευσε Προῖτος, ὁ καὶ Περσεὺς, ἔτη ιζ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δρϟδ'.

Ἀργείων ιδ' ἐβασίλευσεν Ἀκρίσιος ἔτη λα'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δσια'.

Μετὰ Ἀκρίσιον, ὥς φασι, τῆς ἀρχῆς τῶν Ἀργείων εἰς Μυ-
P. 156 κήνας μετατεθείσης διεγένοντο βασιλεῖς οἵδε· Περσεὺς, ὃς ἀνεῖλεν ἀκουσίως τὸν Ἀκρίσιον, Σθένελος, Εὐρυσθεὺς, Πέλοψ, Ἀτρεὺς, Θυέστης, Ἀγαμέμνων, Αἴγισθος, Ὀρέστης, Τισαμενὸς, Πενθεὺς καὶ Κομήτης. μεθ' οὓς Ἡρακλειδῶν κάθοδος.

Ἕως τούτου ,δσμγ' κοσμικοῦ ἔτους γίνονται τῆς Ἀργείων

8. οὓς Scaliger. Legebatur ἧς. 8. Λυγκεὺς Eusebius p. 131. λυγεὺς A. λυγεῦς B. Λογεὺς G. 9. ,δρκβ' m. ,δρνζ' G. 10 et 11. om. AB. 10. addidi ἦν ἔτος. 12. ὁ add. B. 14. λα'] λγ' m. 16. μυκήνους B. 17. ὃς add. B. 19. θυεστὴς AB. 20. κομήτης A. Κομίτης G. ἡρακλείδης A. 21. Σημείωσον πρὸς τὴν στοιχείωσιν ὑπειλήφει τῶν βασιλέων ἔτη ς'. margo A.

puit; tum eius posteri, Danaidae ab eo nuncupati, ad Eurystheum filium Stheneli, qui Perseo natus est, regnum exceperunt; quibus Pelopidae, potestate a Pelope transmissa, successerunt. Horum primus fuit Atreus.

Argivorum reges.

Argivorum rex 10 Danaus annis 58, erat porro mundi annus 4064.
Argivorum rex 11 Lynceus annis 35, mundi vero 4122.
Argivorum rex 12 Abas annis 37, mundi vero 4157.
Argivorum rex 13 Proetus, qui et Perseus, annis 17, mundi vero 4194.
Argivorum rex 14 Acrisius annis 33, mundi vero 4211.

Post Acrisium, regno Argis Mycenas translato, reges isti, prout fertur, successerunt. Perseus, qui Acrisium incautus sustulit, Sthenelus, Eurystheus, Pelops, Atreus, Thyestes, Agamemnon, Aegisthus, Orestes, Tisamenus, Pentheus et Comites, quos excepit reducum Heraclidarum descensus.

Ad praesentem ab orbe condito annum 4243 Argivorum imperii nume-

*βασιλείας ἔτη φνα' ἐν γενεαῖς ιδ', ἤτοι βασιλεῦσιν· ὧν θ' μὲν κυρίως Ἀργεῖοι λέγονται, ε' δὲ Δαναΐδαι οἱ ἀπὸ Δαναοῦ ἕως Ἀκρισίου ἄρξαντες, καθ' οὓς καὶ Δαναοὶ Ἀργεῖοι ἐλέγοντο. μετὰ δὲ τούτους ἐβασίλευσε τοῦ Ἄργους Πέλοψ, παρ' Ὁμήρῳ τῷ ποιητῇ λεγόμενος πλήξιππος ἐν τῇ Ἰλιάδι τὸ σκῆπτρον τῆς βασιλείας παρ' αὐτοῦ Διὸς εἰληφέναι· οὗτος Ἀτρεῖ παιδὶ κατέλιπε* B *τὴν βασιλείαν. μεθ' οὓς Θυέστης, εἶτα Ἀγαμέμνων καὶ Μενέλαος υἱοὶ Ἀτρέως, οἳ καὶ κατὰ τῆς Τροίας διὰ τὴν Ἑλένης κλοπὴν ἐπιστρατεύσαντες σὺν Ἀχιλλεῖ καὶ Ὀδυσσεῖ, Αἴαντι καὶ τοῖς λοιποῖς τῆς Εὐρώπης καὶ τῶν νήσων βασιλεῦσι καὶ ναυσὶ καὶ στρατεύμασι. μεθ' οὓς Αἴγισθος, εἶτα Ὀρέστης καὶ οἱ λοιποὶ Πελοπίδαι Ἀργείων καὶ αὐτοὶ βασιλεῖς ἀναγορευόμενοι κατὰ τὴν Ὁμήρου ποίησιν· κατὰ δέ τινας τῶν ἱστορικῶν, Μυκηνῶν, διὰ τὸ κυριεύειν ἄμφω τῶν χωρῶν, οἷς καὶ Εὐσέβιος ἕπεται. ἡμεῖς δὲ αὐτοὺς Ἀργείων ἐφεξῆς κατατάττομεν λογιζόμενοι κατὰ συνέχειαν τῶν Δαναϊδῶν τοῦ Ἄργους μὲν βασιλεύσαντας, Πελοπί-* C *δας δὲ καλουμένους ἀπὸ Πέλοπος, εἰς ὃν καὶ τὸ γένος ἀναφέρουσι, καὶ τὴν Ἀργείων ἀρχὴν ἐπὶ πλέον αὐξήσαντας. τινὲς δὲ διαφέρονται λέγοντες μετὰ Ἀκρίσιον εἰς Μυκήνας μετατεθείσης τῆς ἀρχῆς τῶν Ἀργείων βασιλεῦσαι Περσέα, Σθένελον, Εὐρυσθέα πρὸ τοῦ Ἀτρέως, Πέλοπος μνήμην οὐδ' ὅλως ποιούμενοι, οἷς οὐχ ἑπόμεθα μάρτυρα ἔχοντες Ὅμηρον.*

2. *ε' δὲ — ἐλέγοντο* addidi ex B. *δανάου* et *δάναοι* B, ut solet. 6. *κατέλειπεν* B. 9. *καὶ Αἴαντι* m. 15. *αὐτοὺς* A. *αὐτὸς* B. omisit G. *κατατάκτομεν* A. *κατατάπτωμεν* B. 16. *δαναΐδων* AB. 18. *δὲ* add. B. 21. *πρὸ*] *πρὸς* B.

rantur anni 551 in generationibus, id est, regibus 14, e quibus novem proprie nuncupantur Argivi. His exactis Pelops Argis imperavit, equorum agitator apud Homeri poetae Iliadem et a Iove ipso regni sceptrum accepisse celebratur. Hic filio Atreo regnum reliquit; post quem imperavit Thyestes, deinde Agamemnon et Menelaus Atrei filii, qui raptae Helenes iniuriam ulturi cum Achille, Ulysse, Aiace et reliquis Europae insularumque regibus, navibus et exercitibus in Troiam profectionem susceperunt. Successit Aegisthus deinde Orestes et Pelopidae reliqui, quibus Argivorum, apud Homeri opera, iuxta alios autem Historicos, quorum usum sequitur Eusebius, Mycenarum regum, quod utriusque loci domini fuerint, appellatio adscripta est. Eos sane ad Argivorum laterculum adnectimus Danaidas continuata serie Argis imperium exercuisse contemplati; qui etiam a Pelope, in quem generis referunt originem, Pelopidarum nomen mutuantur et Argivorum fines et imperium plurima locorum accessione propagasse leguntur. His adversa tenent, qui Mycenas translato Argivorum regno post Acrisium sentiunt imperasse Perseum, deinde Sthenelum, mox Eurystheum, ante Atreum, Pelopis autem regnum omissuri, ne quidem eius nomen memoratum volunt, quorum sententiam certiore Homeri testimonio firmati sequi non possumus.

V. 125 *Σποράδην.*

D *Ἀμφίων Θηβῶν ἐβασίλευσεν, ὡς ἄλλοι· οὗτος ἐμυθεύετο κιθαρίζων θέλγειν τοὺς λίθους, οὓς εὐλόγως ὑποληπτέον ἠλιθίους τινὰς ἀνθρώπους.*

*Ζῆθος δὲ καὶ Ἀμφίων ἀδελφοὶ ἦσαν ποιμένες λυρικοὶ καλούμενοι διὰ τὸ κιθαρίζειν ποιμενικῶς.*

*Ὀρφεὺς Θρᾷξ ἐγνωρίζετο. τούτου μαθητὴς Μουσαῖος ὁ Εὐμόλπου υἱός.*

*Τὰ κατὰ Ὑψιπύλην ἐν Λήμνῳ καὶ σφίγγα. Παλαίφατος*
P. 157 *Κάδμου γυναῖκά φησι γενομένην διὰ ζῆλον Ἁρμονίας ἀποστᾶσαν Καδμείοις πολεμεῖν. τά τε περὶ Οἰδίπου, ὡς εἷλεν αὐτήν, καὶ τὰ κατὰ τὴν Ἀργῶ καὶ τοὺς Ἀργοναύτας, ἐν οἷς ἦσαν Ἡρακλῆς καὶ οἱ Διόσκοροι καὶ Ἀσκληπιός. εἰ δὲ τούτοις οἱ Διόσκοροι συνήκμαζον, πῶς δύναται τούτων εἶναι ἀδελφὴ Ἑλένη, εἰ μή που μετὰ πολλὰ ἔτη παρθένος ἁρπάζεται ὑπὸ Θησέως;*

*Ἐν Ἄργει ἱεράτευσεν Ὑπερμνήστρα Δαναοῦ.*

*Ζῆθος καὶ Ἀμφίων Κάδμον ἐκβαλόντες Θηβῶν ἐβασίλευσαν.*

*Κρήτης ἐβασίλευσε Λάπις.*

*Κρήτης ἐβασίλευσεν Ἀπτέρας, ὃς καὶ τὴν πόλιν ἔκτισεν.*

5. δὲ delet m. 9. *Τὰ*] τῷ A. *Λήμνῳ* Scaliger. *λίμνῳ* G. 11. ὡς] ὃς *καὶ* G. 12. τὰ add. A. ἀργῷ B. 13. ὁ *Ἀσκληπιὸς* G. 14. εἶναι add. B. 18. *Λάπις*] λάπης A. λάμπης B. 19. *Ἀπτέρας* ὃς] Legebatur *Ἀπτέρας* τε. ἀπτέρασθε AB.

## Miscellanea.

Amphion, ut plures alii, Thebis regnavit. Hic cithara delinitos lapides quo vellet trahere fictus est; verum stolidis et agrestibus nonnullis hominibus ad civilem vitam eius ingenio traductis portentum eiusmodi aequiori sensu asserendum.

Zethus et Amphion fratres fuere pastores inter lyricos numerati, quod pastoritias cantilenas ad citharae modulos componerent.

Orpheus Thracia oriundus hac aetate florebat. Eius discipulus Musaeus Eumolpi filius extitit.

Ea quae de Hypsipile in Lemno memorantur.

Sphingem Cadmi uxorem scribit Palaephatus, eamque concepta in Harmoniam invidia virum deseruisse et Cadmeis bellum indixisse narrat. Res deinde ab Oedipo gestae, tum quae Argo navem et Argonautas attinent; in quibus Hercules, Castor et Pollux Dioscori, nec non Aesculapius numerabantur. Verum si Dioscori memoratis tempore fuerint aequales, quomodo soror eorum Helena a Theseo deinceps potuit rapi, nisi forsan post annos plurimos virgo permanserit?

Hypermnestra, Danai filia, sacerdotio apud Argos functa est.

Zethus et Amphion Thebarum regnum Cadmo eiecto occupant.

In Creta regnavit Lapis.

In Creta regnavit Apteras, qui et urbem condidit.

## Ἀθηναίων βασιλεῖς. B

Ἀθηναίων δεύτερος ἐβασίλευσε Κραναὸς αὐτόχθων ἔτη θ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γϡϟε'.

Κραναοῦ τούτου δευτέρου βασιλέως τῆς Ἀττικῆς θυγάτηρ ἦν Ἀτθὶς, καθ' ἣν Ἀττικὴ ἡ χώρα ὠνομάσθη, πρότερον Ἀκτὴ λεγομένη.

Κατὰ τοῦτον τὸν Κραναὸν ὁ ἐπὶ Δευκαλίωνος κατακλυσμὸς ἐν Θεσσαλίᾳ καὶ ὁ ἐπὶ Φαέθοντος ἐμπρησμὸς ἐν Αἰθιοπίᾳ. πολλαὶ δὲ καὶ ἄλλαι γεγόνασιν Ἕλλησι τοπικαὶ φθοραὶ, ὡς Πλάτων ἐν Τιμαίῳ.

Ἀπὸ δὲ Ἕλληνος τοῦ Δευκαλίωνος Ἕλληνες οἱ Γραικοὶ καλοῦνται.

Ἀθηναίων τρίτος ἐβασίλευσεν Ἀμφικτύων ἔτη ι', υἱὸς Δευκαλίωνος, γαμβρὸς Κραναοῦ. τοῦ δὲ κόσμου ἦν ἔτος ,δδ'. C

Κατὰ Ἀμφικτύωνα τὸν Δευκαλίωνος υἱόν τινές φασι Διόνυσον εἰς τὴν Ἀττικὴν ἐλθόντα ξενωθῆναι Σημάχῳ καὶ τῇ θυγατρὶ αὐτοῦ νεβρίδα δωρήσασθαι. ἕτερος δ' ἦν οὗτος ἐκ Σεμέλης.

Ἀθηναίων δ' ἐβασίλευσεν Ἐριχθόνιος ἔτη ν', τοῦ δὲ κόσμου ἦν ἔτος ,διδ'.

Οὗτος Ἐριχθόνιος Ἡφαίστου ὁ παρ' Ὁμήρῳ Ἐρεχθεύς ἐστιν. Ἐριχθόνιος ἅρμα πρῶτος Ἕλλησιν ἐφεῦρεν. ἦν γὰρ παρὰ βαρβάρων.

5. ἀττθὶς (sic) AB. 17. νεβρίδα B. νευρίδα G. οὗτος hic B. Legebatur post Σεμέλης. 19. ἐριχθόνιος AB. 21. ἐρεχθόνιος A.

## Atheniensium reges.

Atheniensium rex secundus Cranaus indigena annis 9, mundi vero 3995.

Cranai regis huius Atticae secundi filia fuit Atthis, a qua regio Acte prius dicta, Atticae nomen deinceps accepit.

Ad Cranai eiusdem tempus Deucalionaeum diluvium in Thessalia ac Phaëtontis incendium in Aethiopia revocantur. Plures etiamnum clades et strages per varia loca grassatae sunt, de quibus Plato in Timaeo.

Ab Hellene vero Deucalionis Graeci Hellenes nuncupati sunt.

Atheniensium rex tertius Amphictyon, Deucalionis filius, Cranai gener annis 10 imperavit; erat porro mundi annus 4004.

Amphictyone Deucalionis filio regnante Bacchum in Atticam profectum a Semacho receptum hospitio ac eius filiae pellem cervinam donasse narrant. Alius autem a Semeles filio hic Bacchus extitit.

Atheniensium rex 4 Erichthonius annis 50, mundi vero 4014.

Erichthonius iste, Vulcani filius, Erechtheus Homero dicitur. Erichthonius primus e Graecis currum invenit; iam enim in usu erat apud barbaros.

V. 126 *Ἀθηναίων ε΄ ἐβασίλευσε Πανδίων ἔτη μ΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δξδ΄.*

*Τούτου θυγατέρες Πρόκνη καὶ Φιλομήλα τοῦ Πανδίονος.*

*Σποράδην.*

*Λακεδαιμονία ἐκτίσθη ὑπὸ Λακεδαίμονος τοῦ ἐκ Μεσσήνης.*

P. 158 *Ἔπαφος Ἰοῦς τῆς δευτέρας καὶ Διὸς υἱὸς Μέμφιν ἔκτισεν ἐν Αἰγύπτῳ.*

*Ἀρκὰς ὁ Καλλιστοῦς καὶ Διὸς υἱὸς Πελασγῶν κρατήσας Ἀρκαδίαν τὴν χώραν μετωνόμασε.*

*Δάρδανος ἔκτισε Δαρδανίαν.*

*Κάδμος Θηβαίων ἐβασίλευσεν, οὗ τῆς θυγατρὸς Σεμέλης υἱὸς ὁ Διόνυσος ἐκ μοιχείας, ὃν Ἕλληνες Διός φασι μυθικῶς. κατὰ τούτους Λίνος καὶ Ἀμφίων καὶ Ζῆθος λυρικοὶ Θηβαῖοι καὶ μουσουργοὶ ἐγνωρίζοντο, ὥς τινες· ἄλλοι δὲ μετὰ ταῦτα.*

B *Φοίνιξ Τυρίοις ἐβασίλευσε.*

*Μίνως Κρήτης ἐβασίλευσεν ὁ Εὐρώπης.*

*Ῥαδάμανθυς καὶ Σαρπηδὼν Λυκίων ἦρχον.*

*Ἀμφίων καὶ Ζῆθος Θηβαίων ἑπταπύλων ἐβασίλευον.*

*Δαρδανίας Ἐριχθόνιος Δαρδάνου ἐβασίλευσεν.*

1. *Δίων* G. 4. *Σποράδην* G ante *Τούτου θυγατέρες* posuit. 5. *μεσσίνης* (sic) B. *Μεσήνης* G. 6. *Ἰοῦς*] *υἱὸς* B. 8. *καλιστοὺς* B. 10. *δαρδάνος* B. 12. *μοιχίας* B. 13. *Λίνος* Scaliger p. 30. *αἰνὸς* B. *ἐνὸς* G. 15. *φοίνιξ* B. *Φοῖνιξ* G. 19. *δαρδανείας* B *ἐρυχθόνιος* AB. *Δαρδάνου* Scaliger. *Δάρδανος* G. *δαρδάνος* B.

Atheniensium rex 5 Pandion annis 40, mundi vero annus erat 4064. Huius Pandionis Procne et Philomela filiae celebrantur.

Miscellanea.

Lacedaemonia a Lacedaemone Messenio construitur.

Epaphus, Ius secundae nomine Iovisque filius, Memphim in Aegypto condidit.

Arcas, Callistus et Iovis filius, Pelasgis superatis Arcadiae nomen imposuit regioni.

Dardanus condidit Dardaniam.

Cadmus Thebanorum regnum tenuit, cuius filiae Semeles Bacchus filius ex scortatione natus est, quem Graeci Iove natum fabulose narrant. Horum tempore, ut quidam scribunt, Linus et Amphion et Zethes lyrici Thebani musicesque peritissimi memorabantur; ex aliorum vero sententia posterioribus saeculis vixere.

Phoenix Tyriis imperavit.

Minos Europae filius Cretae rex designatur.

Rhadamanthus et Sarpedon Lyciorum principes effecti.

Amphion et Zethus Thebarum septem portis illustrium regno sunt potiti.

Dardanus Erichthonius regnat in Dardania.

*Εὐρώπης ἁρπαγή.*

*Ἁρμονία ἡρπάγη ὑπὸ Κάδμου.*

*Οἱ Ἰδαῖοι Δάκτυλοι, οἱ σίδηρον εὑρόντες, κατὰ τούτους ἦσαν.*

*Μῆλος καὶ Θάσος καὶ Ἀλκίσθη ἐκτίσθησαν καὶ Πάφος.* C

*Βιθυνία ἐκτίσθη ὑπὸ Φοίνικος, ἡ πρὶν Μαριανδυνὴ καλουμένη.*

*Ἐφύρα ἡ νῦν Κόρινθος ὑπὸ Σισύφου ᾠκίσθη.*

*Κόρης ἁρπαγὴ Περσεφόνης ὑπὸ Ἀϊδωνέως τοῦ Μολοσσῶν βασιλέως, ὃς εἶχε κύνα παμμεγέθη τὸν λεγόμενον Κέρβερον, ᾧ τὸν Πειρίθουν ὕστερον διεχρήσατο παραγενόμενον ἐφ' ἁρπαγῇ τῆς γυναικὸς ἅμα Θησεῖ. Θησέα δὲ παρατυχὼν Ἡρακλῆς ἐρρύσατο μέλλοντα συνδιαφθείρεσθαι τῷ Πειρίθῳ. διὰ δὲ τὸ τοῦ κινδύνου προῦπτον ἐξ Ἅιδου νομίζεται Θησεὺς ἀνεληλυθέναι, ὡς Φιλόχορος ἱστορεῖ ἐν Ἀτθίδος δευτέρῳ.* D

*Ἐλευσῖνος πόλεως Κελεὸς ἐβασίλευσε, καθ' ὃν Τριπτόλεμος ἦν, ὅν φησιν ὁ Φιλόχορος μακρῷ πλοίῳ προσβαλόντα ταῖς πόλεσι τὸν σῖτον διδόναι, ὑπονοεῖσθαι δὲ πτερωτὸν ὄφιν εἶναι τὴν ναῦν· ἔχειν δέ τι καὶ τοῦ σχήματος.*

*Ἀχαΐα ὑπὸ Ἀχαιοῦ ἐκτίσθη.*

3. *Ἰδαῖοι Δάκτυλοι* Scaliger. *ἰδασυδάκτυλοι* AB. *δὲ Ηδασοδάκτυλοι* G. *οἱ σίδηρον*] *οἱ* om. G. *τούτους* B. *τούτοις* G. 5. *ἀλκισθῆ* A. *ἀλκισθὴ* B. *Καλλίσθη* m. 6. *Μαριανδυνὴ* Scaliger. *Μαριανδινὴ* G. 8. *ἔφυρα* B. 9. *περσεφόνη* A. *περσεφώνη* B. *Ἀϊδωνέως* Scaliger. *ἀνδωνέως* A. *ἀνδονέως* B. *Αὐδωνέως* G. 11. *περίθουν* AB. 12. *ἀμηθήσει* B. 13. *διαφθείρεσθαι* G. *τῷ Περίθῳ* Scaliger. *τῷ περίθου* B. *τὸ Περίθου* G. *διὰ δὲ τὸ τοῦ*] *διὰ τὸ* G. 16. *τριπόλεμος* AB.

Europae raptus.

Harmonia a Cadmo rapta.

Idaei Dactyli, ferri et operum eius inventores, his temporibus vivebant.

Melus, Thasus, Callista et Paphus conditae.

Bithynia, prius Mariandyne dicta, a Phoenice constructa.

Ephyra, quae nunc Corinthus, a Sisypho habitatur.

Proserpinae puellae raptus ab Aedoneo Molossorum rege, cui canis erat ingentissimus nomine Cerberus, quo deinde Pirithoum cum Theseo ad rapiendam uxorem profectum ultus est. Theseum vero iam in mortis periculo constitutum adveniens Hercules liberavit, unde propter insperatam ex imminenti periculo salutem, ex inferis reversus creditur Theseus, prout Philochorus rerum Atticarum libro secundo narrat.

Eleusinae Celeus regnavit, cuius tempore Triptolemus celebrabatur, quem Philochorus ait longa navi vectum ad urbes varias accedentem, frumentum suppeditasse, unde navis serpens alis instructus aestimata ac nonnihil serpentis figuram retulisse.

Achaia ab Achaeo fundata.

*Καδμεία ἐκτίσθη καὶ Σίδη ἐν Κιλικίᾳ.*
*Διονύσου γένεσις ἐκ Σεμέλης.*

## *ΚΟΣΜΟΥ ΕΤΗ.*

*Ὁ Ἰσραὴλ ἁμαρτήσας παρεδόθη τοῖς Μαδιναίοις ἔτη ζ΄. τοῦ δὲ κόσμου ἦν ἔτος ,δρη΄.*

P. 159 *Γεδεὼν ἔκρινε τὸν Ἰσραὴλ ἔτη μ΄. τοῦ δὲ κόσμου ἦν ἔτος ,δριε΄.*

*Γεδεὼν ἐπαναστὰς κατὰ ἀλλοφύλων ὁ ἐκ φυλῆς Μανασσῆ υἱὸς Ἰωᾶς τοῦ Ἀβιεζρεί, ἀγγέλου ἐπιστασίᾳ τότε πατρικὸν καθεῖλε*
V. 127 *θυσιαστήριον καὶ θεῖον ἀντῳκοδόμησε, ἀνοίσας τὸν μοσχὸν τὸν σιτευτὸν τῷ θεῷ ὁλοκαύτωσιν ἐν τοῖς ξύλοις τοῦ ἄλσους, οὗ ἐξέκοψε τοῦ Βαάλ. οὗτος τὸ πνεῦμα θεοῦ λαβὼν καὶ τοῖς ἐπὶ τῷ πόκῳ σημείοις πεπιστευκώς, ποτὲ μὲν ὑγρῷ, ποτὲ δὲ ξηρῷ γε-*
B *γονότι, παραδόξως σὺν λάψασι τριακοσίοις ιβ΄ μυριάδας ἀνδρῶν ἐτρωπώσατο, συλλαβὼν τὸν Ὠρὴβ καὶ τὸν Ζὴβ καὶ τοὺς δύο μεγάλους ἄρχοντας Ἀμαλὴκ καὶ τὸν Ζεβεὲ καὶ τὸν Σαλμανά, δύο βασιλεῖς Μαδιάμ, καὶ ἀνελὼν αὐτοὺς ἐν ῥομφαίᾳ. τούτῳ τῷ Γεδεὼν ο΄ υἱοὶ γεγόνασιν ἐκ τῶν γυναικῶν αὐτοῦ, καὶ Ἀβιμέλεχ ἐπὶ τούτοις ὁ ἐκ τῆς παλλακῆς αὐτοῦ.*

*Ἀβιμέλεχ ἔτη γ΄. τοῦ δὲ κόσμου ἦν ἔτος ,δρνε΄.*

*Τοῦτον τὸν Ἀβιμέλεχ καὶ τοὺς ο΄ ἀδελφοὺς αὐτοῦ ἡ̊ βίβλος*

1. *Καδμεία* Scaliger. Vulgo *Καδμία*. 6] Iudic. cap. VI. 8. *Ἀβιεζρεὶ*] Ἐσδρὶ Iudic. 9. ἀνοίσας B. ἀνύσας G. Vide Iudic. VI, 26. 11. θεοῦ B. τοῦ θεοῦ G. 13. σὺν λαμψάσι (sic) Bm. συμλαμψάσι G. 14. ὀρὴβ B. καὶ τοὺς B. καὶ om. G. 18. ὁ ἐπὶ G. 19] Iudic. cap. VIII. IX.

Caducea et Side in Cilicia constructae.
Bacchi nativitas e Semele.

## MUNDI ANNI.

Israël praevaricatus traditus est Madianitis annis 7, erat vero mundi annus 4108.

Gedeon iudicavit Israël annis 40, mundi vero 4115.

Gedeon e tribu Manasse ducens originem, filius Ioas, filii Esdri, arreptis adversus alienigenas armis, angeli monitis paternum diruit altare ac aliud in honorem dei construxit taurumque pinguem in holocaustum obtulit ex lignis luci Baal, quem exscidit. Ille divino spiritu motus ac portentis in vellere, nunc quidem rorido, nunc autem exsiccato visis confisus, duodecim exercitus adversi myriades, solis trecentis viris lampadibus instructis stipatus, praeter omnem exspectationem vertit in fugam; Orebque et Zeb praecipuos Amalecitarum principes et Zebee et Salmana, duos reges Madian, gladio confecit. Isti Gedeon septuaginta filii ex variis uxoribus suscepti sunt ac demum Abimelech ex pellice natus.

Abimelech populum rexit annis tribus, anno mundi 4155.

Abimelech istum et septuaginta eius fratres liber Iudicum, primo qui-

τῶν κριτῶν πρῶτον μὲν τοῦ Γεδεὼν υἱοὺς λέγει τρανῶς, ἔπειτα δὲ τοῦ ἀδελφοῦ αὐτοῦ τοῦ Ἱεροβαάλ, ὃς συνῴκησε τῷ Γεδεὼν περὶ τὰ τέλη αὐτοῦ, ὡς αὐτόθι γέγραπται, καὶ δοκεῖ πως ἄπο- C ρον εἶναι. Ἀφρικανὸς δὲ τοῦ Ἱεροβαὰλ αὐτοὺς λέγει πάντας. Ἀβιμέλεχ ὁ ἐκ τῆς παλλακῆς υἱὸς Γεδεὼν ἀποκτείνας πάντας τοὺς ἀδελφοὺς αὐτοῦ πλὴν Ἰωνάθου τοῦ νεωτέρου ἐξεπόρνευσε τὸν λαόν. Ἰωνάθης δ' ἀνελθὼν εἰς ὄρος τὸ Γαριζὶν τὸ ἐν Σαμαρείᾳ, ὃ ἑρμηνεύεται ὄρος ἅγιον, τὸν περὶ τῶν ξύλων μῦθον ἐξεῖπε, προδηλῶν τὴν ἐσομένην τοῖς ὑπηκόοις τῷ Ἀβιμέλεχ φθορὰν ἐξ αὐτοῦ. οὗτος τὴν Βαιθὴλ πολιορκῶν ὕστερον λίθῳ μυλικῷ πληγεὶς τὸ κρανίον ὑπὸ γυναικὸς ῥιφέντι διεφθάρη, κρατήσας ἔτη γ'.

Θωλὰ ἐκ φυλῆς Ἰσσάχαρ υἱὸς Φουὰ ἔκρινε τὸν Ἰσραὴλ ἔτη κγ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δρνη'.

## Ἀσσυρίων βασιλεῖς.

Ἀσσυρίων λε' ἐβασίλευσεν Εὐπάκμης ἔτη λη'. τοῦ δὲ κόσμου ἦν D ἔτος ,δυλβ'.

Ἀσσυρίων λϛ' ἐβασίλευσε Λαοσθένης ἔτη με'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δυο'.

Ἀσσυρίων λζ' ἐβασίλευσε Περτιάδης ἔτη λ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δφιε'.

Ἀσσυρίων λη' ἐβασίλευσεν Ὀφραταῖος ἔτη κα'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δφμε'.

7. ἰωνάθης Bm. Ἰωνάθῃ G. ὄρος B. τὸ ὄρος G. Vulgo Γαρίζιν. γαρίζειν B. Σαμαρίᾳ G. 8. τὸν] τὸ B. 9. τῷ] τοῦ G. 10. μυλικῷ om. B. 12] Iudic. cap. X. Vulgo Ἰσάχαρ. φουᾶ B. 15. Ευπάκμης G. 21. ὀφραταιὸς B.

dem Gedeon filios manifeste nuncupat, postmodum fratris eius Hierobaal, qui circa vitae illius terminum vicinam sibi habitationem selegit, ut ibidem scribitur, licet hoc dubium omnino videatur; Africanus vero Hierobaal patrem omnium fuisse testatur. Abimelech ex pellice Gedeon ortus fratres omnes, uno Ionatha iuniore dempto necavit et seduxit Israël. Ionathas autem in Garizin Samariae montem profectus (montem sanctum alias dixeris) exposita de lignis ficta fabula, perniciem subditis Abimelech ex eius societate iam iam imminentem praedixit. Ille admota circa Baethel obsidione molari lapide a muliere proiecto caput percussus interiit, cum imperium tenuisset annis tribus.

Thola ex tribu Isachar filius Phua iudicavit Israël annis 23, mundi vero 4158.

## Assyriorum reges.

Assyriorum rex 35 Empacmes annis 38, mundi vero 4432.
Assyriorum rex 36 Laosthenes annis 45, mundi vero 4470.
Assyriorum rex 37 Pertiades annis 30, mundi vero 4515.
Assyriorum rex 38 Ophrataeus annis 21, mundi vero 4545.

P. 160 Ἀσσυρίων λθ' ἐβασίλευσεν Ἐφεχερῆς ἔτη ς'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δφξς'.

Ἀσσυρίων μ' ἐβασίλευσεν Ἀκραγάνης ἔτη μβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δχιη'.

## Αἰγυπτίων βασιλεῖς.

Αἰγυπτίων μζ' ἐβασίλευσε Ῥαμεσσῆς ὁ καὶ Αἴγυπτος ἔτη ξη'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δνη'.

Αἰγυπτίων μη' ἐβασίλευσεν Ἀμένωφις ἔτη η'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δξς'.

V. 128 Αἰγυπτίων μθ' ἐβασίλευσε Θούωρις ἔτη ιζ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δρλδ'.

Αἰγυπτίων ν' ἐβασίλευσε Νεχεψὼς ἔτη ιθ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δρνα'.

Αἰγυπτίων να' ἐβασίλευσε Ψάμμουθις ἔτη ιγ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δρο'.

Αἰγυπτίων νβ' ἐβασίλευσεν . . . . . . ἔτη δ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δρπγ'.

Αἰγυπτίων νγ' ἐβασίλευσε Κήρτως ἔτη ις'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δρπζ'.

Αἰγυπτίων νδ' ἐβασίλευσε Ῥάμψις ἔτη με'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δσζ'.

C Αἰγυπτίων νε' ἐβασίλευσεν Ἀμενσὴς ὁ καὶ Ἀμμενέμης ἔτη κς'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δσνβ'.

1. ἐφεχερῆς A. Εφεχερὴς G. ς'] νβ' m cum Scaligero. 6. Αἴγυπτος Scaliger p. 30. Αἰγύπτιος G. 8. ἀμενωφὴς A. ἀμενωφὶς B. Αμενοφὶς G. 9. ,δξς'] ,δνη' B ex superiore versu. ,δρκς' m. 14. ψαμμουθὶς B. 18. Vulgo Κῆρτος. κήρτος B. ις'] κ' m. 22. ὁ om. G. ἀμμενέμης B. ἀνμενέμης A. Αμενέμης G.

Assyriorum rex 39 Ephecheres annis 52, mundi vero 4566.
Assyriorum rex 40 Acraganes annis 42, mundi vero 4618.

## Aegyptiorum reges.

Aegyptiorum rex 47 Rameses, qui Aegyptus, annis 68, mundi vero 4058.
Aegyptiorum rex 48 Amenophis annis 8, mundi vero 4126.
Aegyptiorum rex 49 Thuoris annis 17, mundi vero 4134.
Aegyptiorum rex 50 Nechepsus annis 19, mundi vero 4151.
Aegyptiorum rex 51 Psammuthis annis 13, mundi vero 4170.
Aegyptiorum rex 52. . . . annis 4, mundi vero 4183.
Aegyptiorum rex 53 Certus annis 20, mundi vero 4187.
Aegyptiorum rex 54 Rhampsis annis 45, mundi vero 4207.
Aegyptiorum rex 55 Amenses, qui et Amenemes, annis 26, mundi vero 4252.

## Ἀργείων βασιλεῖς.

Μυκηνῶν Ἀργείων ιε΄ ἐβασίλευσε Πέλοψ ἔτη λε΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δσμδ΄.

Τὸν Πέλοπα τινὲς οὐ μόνον Ἀργείων καὶ Μυκηνῶν ἱστοροῦσι βασιλεῦσαι, ἀλλὰ καὶ πάσης τῆς Πελοποννήσου.

Οὗτος Ὀλυμπίων προέστη καὶ στρατεύσας ἐπὶ Ἴλιον ἡττήθη ὑπὸ Δαρδάνου.

Ἀπ' αὐτοῦ Πελοπόννησος ὠνομάσθη.

Οὗτος Ἱπποδάμειαν ἔγημε.

Τινὲς δὲ νγ΄ ἔτη καὶ ἄλλοι ξγ΄ λέγουσιν αὐτὸν βασιλεῦσαι, D
καὶ ἕτεροι λε΄.

Μυκηνῶν Ἀργείων ις΄ ἐβασίλευσαν Ἀτρεὺς καὶ Θυέστης ἔτη λγ΄, κατὰ δὲ ἄλλους ἔτη ξε΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δσοθ΄.

Μετὰ τὴν Πέλοπος τελευτὴν ἐμερίσαντο τὴν ἀρχὴν Ἀτρεὺς καὶ Θυέστης τῶν Μυκηνῶν κατὰ τοὺς αὐτοὺς χρόνους. ὧν θανόντων Ἀγαμέμνων διεδέξατο τὴν ἀρχὴν Μυκηνῶν καὶ Ἀργείων. Μενέλαος δὲ Ἀγαμέμνονος ἀδελφὸς Λακεδαιμονίων ἐβασίλευσε μετὰ τὸν Ἀτρέως θάνατον, ὡς ἑξῆς σύγκειται.

2. καὶ Ἀργείων m. 5. πελοπονήσου B. 6. ἐπὶ B. κατὰ G. 8. αὐτοῦ ἡ G. πελοπόνησος B. ὠνόμασται A. 9. ἱπποδαμίαν B. 10. καὶ ἄλλοι B. ἄλλοι δὲ G. solum ἄλλοι G. 12. καὶ Ἀργείων m. ἐβασίλευσαν A. ἐβασίλευσεν G. 14. τὴν] δὲ G. 15. τῶν Scaliger p. 31. δὲ G. καὶ ὁ μὲν Ἀργείων ἐβασίλευσεν, ὁ δὲ m.

## Argivorum reges.

Mycenarum et Argivorum rex 15 Pelops annis 35, mundi vero 4244.

Non Argorum modo et Mycenarum imperium gessisse Pelopem nonnulli memorant, sed et totius Peloponnesi.

Hic Olympiis quoque praefuit et in Ilium expeditione suscepta victus est a Dardano.

Ab eo Peloponneso datum nomen.

Hippodamiam duxit uxorem.

Illum annis 53 regnasse quidam memorant, alii 63, alii denique 35.

Mycenarum et Argivorum rex 16, Atreus et Thyestes annis 33, iuxta nonnullos annis 65, mundi vero 4279.

Mortuo Pelope diviserunt imperium Atreus et Thyestes; et hic quidem Argivorum, ille Mycenarum urbem adiit eadem temporis tempestate; iisque vita functis Mycenarum et Argivorum regno successit Agamemnon. Menelaus autem, Agamemnonis frater, post obitum Atrei Lacedaemoniis imperavit, ut ex sequentibus manifestum erit.

P. 161 Ἀθηναίων βασιλεῖς.

Ἀθηναίων ϛʹ ἐβασίλευσεν Ἐρεχθεὺς ἔτη νʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δρδʹ.

Ἐρεχθέως τούτου θυγατέρα Βορέας υἱὸς Ἀστραίου Θρᾷξ ἥρπασεν Ὠρείθυιαν. ὁ δὲ μῦθος τὸν ἄνεμον, ὡς Φιλόχορος ἐν δευτέρᾳ φησίν.

Ἐπὶ τούτου δὲ καὶ τὰ λεγόμενα μυστήρια ἤρξαντο.

Ἀθηναίων ζʹ ἐβασίλευσε Κέκροψ ἔτη μʹ, ὁ δεύτερος Ἐρεχθέως ἀδελφός. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δρνδʹ.

B Ἀθηναίων ηʹ ἐβασίλευσε Πανδίων Ἐρεχθέως ἔτη κεʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δρϟδʹ.

Ἀθηναίων ἐβασίλευσεν Αἰγεὺς Πανδίονος ἔτη μηʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δσιθʹ.

V. 129 Σποράδην.

Κατὰ τούτους Φρίξος, ὃς ἔδοξε τισὶν ὀχεῖσθαι ἐπὶ χρυσομάλλῳ κριῷ ἅμα τῇ ἀδελφῇ Ἕλλῃ φεύγων μητρυιὰν ἐπιβουλεύουσαν. καὶ ηὐτύχησε πλοίου, ᾧ τὸ παράσημον κριὸς ἦν. Παλαίφατος δὲ Κριόν φησι καλεῖσθαι τὸν διασώσαντα αὐτοὺς τροφέα.

C Ὁ κατὰ Εὔμολπον πόλεμος, ἀφ' οὗ οἱ Εὐμολπίδαι Ἀθήνησιν.

Τὰ κατὰ Πρόκνην καὶ Φιλομήλαν θυγατέρας Πανδίονος.

5. Ὠρείθυιαν] Vulgo Ὀριθυίαν. ὠριθυῖαν B. ἐν τῷ δευτέρῳ G. 7. μνηστήρια B. 12. Vulgo Πανδίωνος hic et alibi. 14. Σποράδην in margine habet A. 16. Ἕλλῃ Scaliger. Vulgo Ἀέλλῃ. 17. ηὐτύχησε B. εὐτύχησεν G. 18. σώσαντα G.

Atheniensium reges.

Atheniensium rex 6 Erechtheus annis 50, mundi vero 4104.

Orithyam, Erechthei huius filiam, Boreas Thrax, Astraei filius, rapuit; puellam, teste Philochoro in secundo, a vento raptam fabula praedicavit.

Mysteria dicta huius tempore coeperunt.

Atheniensium rex 7 Cecrops secundus Erechthei frater annis 40, mundi vero 4154.

Atheniensium rex 8 Pandion Erechthei filius annis 25, mundi vero 4194.

Atheniensium rex 9 Aegeus, Pandionis filius, annis 48, mundi vero 4219.

Miscellanea.

Horum aetate Phrixus dictus, a nonnullis ariete aureo vellere conspicuo vectus, cum Helle sorore novercam insidias molientem fugiens navem, cuius insigne aries fuit, prospere sortitur. Palaephatus autem nutritium eos servantem Crium, id est arietem, vocatum asserit.

Bellum in Eumolpum, a quo Eumolpidae.

Res a Procne et Philomela, Pandionis filiabus, Athenis gestae.

Πυθοῖ Φημονόη χρησμῳδὸς πρώτη δι' ἑξαμέτρων ἱστορεῖται προθεσπίσαι.

Τῆς Δαρδανίας ἐβασίλευσε Τρὼς καὶ Ἶλος, ἀφ' οὗ Τρῶες καὶ Τρωὰς ἡ πόλις καὶ Ἴλιον.

Καθ' οὓς Τάνταλος ἐβασίλευσε τῆς Φρυγίας ἤτοι Μαιονίας, ἀφ' ἧς καὶ Μαίονες.

Τιτυὸς συνεχρόνισε Ταντάλῳ.

Κατὰ δὲ Τιτυὸν Λητώ, ἀφ' ἧς Ἀπόλλων, ὃς καὶ σὺν Ἡρακλεῖ τῷ Ἀδμήτῳ ἐδούλευσε.

Σποράδην. D

Γανυμήδην ὁ Τάνταλος ἁρπάσας υἱὸν τοῦ Τρωὸς ὑπ' αὐτοῦ κατεπολεμεῖτο Τρωός, ὡς ἱστορεῖ Δίδυμος ἐν ἱστορίᾳ ξένῃ καὶ Φανοκλῆς. μάτην ἄρα τοῦ Διὸς ὡς ἀετοῦ τοῦτον ἁρπάσαντος ὁ μῦθος καταψεύδεται.

Ἴλιον ὑπὸ Ἴλου ἐκτίσθη.

Μελάμπους μάντις ἐγνωρίζετο.

Τὰ κατὰ Φρίξον καὶ Μελικέρτην, ἐφ' οὗ τὰ Ἴσθμια.

Τὰ κατὰ Δήμητραν, ἥν τινες Ἶσίν φασι.

Καὶ τὰ περὶ Δανάην, ἐξ ἧς ὁ Περσεύς. Περσεὺς τὰς στρατείας ἐπετέλει καὶ ἐπὶ Πέρσας ἐστράτευσε, τὴν δὲ Γοργόνα ἑκα-

1. φημονόη B. φῆμονον A. φασὶ μονὸν G. 3. Τρῶς Scaliger. Vulgo Τρῶος. Ἴλος B. Ἰλλος G. οἱ Τρῶες G. 7 et 8. τίτυος et τίτυον AB. 10. Σποράδην delet m. 15. Ἴλου Scaliger. Vulgo Ἰλίου. 19. Alterum Περσεὺς addidi ex B. Conf. Euseb. p. 290.

Phemonoe Pythia prima e fatidicis hexametris versibus narratur de futuris vaticinata.

Tros et Ilus, a quibus Troes populi et Troas urbs et Ilium, regnant in Dardania.

Horum tempore Phrygiae, id est Maeoniae, unde Maeones, Tantalus regnum tenuit.

Tityus Tantalo coaevus.

Tityi vero aetate vixit Latona, e qua natus Apollo, qui Herculis consors Admeti famulatum subiit.

Tantalus ob raptum Ganymedem, Trois filium, multas belli sustinuit calamitates, prout Didymus in peregrina historia et Phanocles referunt; frustra igitur in Iovem, quasi sub aquilae forma puerum rapientem, fabula mentitur.

Ilium ab Ilo fundatum.

Melampus vates agnoscitur.

Res circa Phrixum et Melicertem, sub quo Isthmia celebrata.

Cereris acta, quam quidam Isim vocant.

Res pariter ad Danaen spectantes, ex qua Perseus, qui, expeditione suscepta, Persis bellum intulit; Gorgonem vero, formosissimum scortum,

P. 162 ρατόμησεν ἑταίραν εὔμορφον διὰ κάλλους ἐξιστῶσαν τοὺς θεατὰς, ὡς ἀπολιθοῦσθαι δοκεῖν. Δίδυμός φησιν ἐν ἱστορίᾳ ξένῃ καὶ παρατίθεται τὸν συγγραφέα ταύτης. ὁ Πήγασος, τάχα τις ἵππος ὀξὺς, κτῆμα τῆς γυναικός. ὡς δὲ Παλαίφατος, Βελλεροφόντου πλοῖον ἦν ὁ Πήγασος.

Τὰ πρὸς Μελέαγρον καὶ Οἰνέα ἐν Αἰτωλίᾳ.

Κυρήνη ἐκτίσθη ἐν Λιβύῃ.

Ἴων πολέμαρχος γεγονὼς Ἴωνας τοὺς Ἀθηναίους ἀφ᾽ ἑαυτοῦ ὠνόμασε.

B Διόνυσος ἐπὶ Ἰνδοὺς ἐστράτευσε καὶ Νῦσαν πόλιν ἔκτισε πρὸς τῷ Ἰνδῷ ποταμῷ.

Μίδας Φρυγῶν ἐβασίλευσε.

Λάϊος Χρύσιππον ἥρπασε.

Μίλητος ἐκτίσθη πόλις.

Ὁ ἐν Ἐλευσῖνι νεὼς ἐκτίσθη.

Εὐρώπη Ἀγήνορος ὑπὸ Κρητῶν ἡρπάγη ἐμπόρων, ὥς φησιν Ἡρόδοτος· τοῦ δὲ πλοίου παράσημον ἦν ταῦρος. ταύτης ἐπὶ ζήτησιν ὁ Κάδμος ἐξελθὼν κτίζει τὴν Καδμείαν καὶ Θηβῶν ἐβασίλευσε· τοὺς δὲ πλησιοχώρους αἰφνιδίως ἐπελθόντας αὐτῷ, C διὰ τὸ πανταχόθεν ὡς ἀπὸ γῆς συρρεῖν κατ᾽ αὐτοῦ, Σπάρτους ὠνόμασεν, ὡς Παλαίφατος ἐν πρώτῳ φησί.

1. κάλλος G. 3. τὸν Scaliger. Vulgo τῷ. 4. Vulgo Βελλερεφόντου. βελερεφάντου A. βελοραφάντου B. 6. οἰνέα A. ὑναία B. Πηλέα G. 7. Κυρήνη Scaliger. Vulgo Κυρίν. 8. ἀφ᾽ B. ἐφ᾽ G. 10. καὶ τὴν G. Νῦσαν] Vulgo Νύσσαν. 13. χρύσιππος A. 18. καδμίαν B. 19. ἀφνηδίως B. ἐπελθόντας B. ἐπανελθόντας G.

illecebris et specie spectatores exanimans, ac idcirco in lapides vertisse dictum, capite truncavit, inquit Didymus in peregrina historia, scriptoris alterius adiuncto testimonio. Pegasus celocissimus forsan equus a muliere possessus; ut autem memorat Palaephatus Bellerophontis navis fuit Pegasus.

Res a Meleagro et Peleo in Aetolia gestae.

Cyrene in Libya construitur.

Ion dux praeclarus Iones Athenienses de suo nomine nuncupatos voluit.

Bacchus in Indos expeditionem suscipit et Nyssam civitatem ad Indum fluvium aedificat.

Midas Phrygum rex constituitur.

Laius Chrysippum rapit.

Miletus civitas construitur.

Fanum quoque Eleusinum erigitur.

Europa, Agenoris filia, rapitur a Cretensibus mercatoribus, ut scribit Herodotus; taurus autem ad navis eorum insigne pictus erat. Cadmus ad eam repetendam profectus Cadmeam aedificat et Thebarum imperium arripit. Vicinos autem populos derepente in se motos, Spartanos nuncupavit, quod velut e terra prodeuntes undequaque in se confluerent, ut Palaephatus in primo historiarum edisserit.

*Διονύσου πράξεις καὶ τὰ περὶ Ἰνδοὺς, Λυκοῦργόν τε καὶ
Ἀκταίωνα καὶ Πενθέα, ὅπως τε Περσεῖ συστὰς εἰς μάχην ἀναι-
ρεῖται, ὥς φησι Δείναρχος ὁ ποιητὴς, οὐχ ὁ ῥήτωρ. τῷ δὲ βου-
λομένῳ πάρεστιν ἰδεῖν αὐτοῦ τὴν ταφὴν ἐν Δελφοῖς παρὰ τὸν
Ἀπόλλωνα τὸν χρυσοῦν, ἔνθα καὶ τὸ ὅπλον ἀνάκειται Αὐγούστου* V. 130
*Καίσαρος καὶ Νέρωνος ἡ κιθάρα. βάθρον δέ τι νομίζεται τοῖς
ἀγνοοῦσιν ὁ Διονύσου τάφος, στρατηγὸς δὲ δοκεῖ γενέσθαι, καὶ
οὕτω γράφεται θηλύμορφος διά τε ἄλλας αἰσχρὰς αἰτίας καὶ
διὰ τὸ μιξόθηλυν στρατὸν ὁπλίζειν· ὥπλιζε γὰρ σὺν τοῖς ἄρρεσι* D
*τὰς θηλείας, ὥς φησιν ὁ Φιλόχορος ἐν δευτέρῳ.*

*Λίνος διδάσκαλος Ἡρακλέους ἐγνωρίζετο.*

*Ἀνδρόγεως ἐδολοφονήθη ἐν Ἀθήναις.*

*Φιλάμμων ὁ Δελφὸς ἤκμαζεν, ὁ πρῶτος στήσας Πυθοῖ χορόν.*

*Τὰ κατὰ Δαίδαλον, ὃς ἔδοξεν ἀγάλματα κινούμενα ποιεῖν.
πρῶτος γὰρ διέστησε τοὺς τῶν ἀγαλμάτων πόδας, ὡς ὁ Παλαί-
φατος ἱστορεῖ, τῶν πρὸ αὐτοῦ πάντων συμπεφυκότας αὐτοὺς* P. 163
*πλαττόντων. οὗτος ἀποπτῆναι μυθεύεται σὺν Ἰκάρῳ τῷ υἱῷ αὐ-
τοῦ πλοίου λαβόμενος, καὶ διαφυγὼν τὸν Μίνωα διὰ τὸ ἀνεύρε-
τον γενέσθαι τῷ διώκοντι.*

2. *ἀκτέωνα* B. 3. *δίναρχος* B. *Δήχαρνος* G. Vide Euseb. p. 292. 5. *χρυσὰν* B. 9. Legebatur *μιξοθηλύστρατον*. Correxit Scaliger. *ὁπλίζειν*] *ὀπλίζει* A. 10. *καὶ τὰς* G. *καὶ* om. B. *φασὶν* B. 13. *ὁ δελφιὸς* B. *ὁ ἀδελφιὸς* A. *ὁ Δέλφειος* Scaliger. *ὁ Δέλφιος* G. *χορὸν* B. *χῶρον* G. 14. *δέδαδον* A. 17. *ἀποπτῆναι*] *ἀποστῆναι* G.

Bacchi acta et res ab eo adversus Indos, Lycurgum, Actaeonem et Pentheum gestae; ut commisso in Perseum praelio mortem oppetierit, Decharnus poeta, non ille rhetor, commemorat. Eius autem sepulcrum apud Delphos ad auream Apollinis statuam, ubi Caesaris Augusti repositae sunt armorum exuviae et Neronis cithara cuilibet curiosius inspectanti cernere licet. At non nisi gradus quidam aut statuae basis ab ignaris Bacchi sepulcrum creditur; plurimam licet bellici ducis referat speciem; ad femineum tamen adspectum accedit eius figura, cum propter eiusdem turpes et nefandas occasiones, tum propter armatas et admixtas viris feminas in eius exercitu. Ut enim mares, ita, referente Philochoro in secundo, feminas armis instructas in campum et aciem educebat.

Linus Herculis praeceptor summa laude florebat.

Androgeus Athenis dolo peremptus est.

Philammon Delphicus nobilis habetur, qui primus apud Pythium chorum constituit.

Eae, quae de Daedalo fabulae feruntur, qui visus est simulacra fecisse se moventia. Prior siquidem omnium, ut auctor est Palaephatus, statuarum pedes ad sese invicem a sculptoribus compactos discriminavit. Hic arrepta nave cum Icaro filio Minoem fugiens, quod deinde minime ab insequente attingi potuerit, ob discessum praeclarae fabulae suggessit argumentum.

*Θάμυρις ὁ Φιλάμμωνος ἤκμαζε.*

*Μίνως ἐθαλασσοκράτει καὶ Κρησὶν ὡς παρὰ Διὸς ἐνομοθέτει, κομίζων τοὺς νόμους ἐξ ἄντρου τοῦ ἐν τῇ Ἴδῃ διὰ ἐννεαετηρίδος, ὅπερ ὁ Πλάτων ἐν τοῖς Νόμοις ἐλέγχει.*

*Ἡρακλῆς τοὺς ἄθλους ἐτέλει καὶ Ἀνταῖον ἐν Λιβύῃ καταπαλαίσας ἀναιρεῖ τὸν λεγόμενον γηγενῆ, διὰ τὸ ἐπιστήμονα εἶναι*
B *τὸν λεγόμενον παρὰ τοῖς παλαισταῖς τρόπον χαμαί, ὡς ἀπὸ τῆς μητρὸς γῆς βοηθεῖσθαι δοκεῖν, ὃν Ἡρακλῆς ἰσχυρὸς ὢν μὴ προσδεηθεὶς ζώσας τὸν Ἀνταῖον τοῖς ἅμμασι καὶ μετεωρίσας διεχειρίσατο.*

*Τὴν δὲ Ὕδραν τὸ μυθευόμενον ζῶον ὁ Πλάτων σοφίστριαν λέγει, δι' ἣν ὁ αὐτὸς Ἡρακλῆς τὸ Ἴλιον ἐπόρθησε.*

*Μήδεια Κολχὶς ἀνεχώρησεν Αἰγέως.*

*Πόλεμος Κενταύρων καὶ Λαπιθῶν. Κένταυροι δὲ Θεσσα-*
C *λῶν ἦσαν ἱππεῖς ἄριστοι, ὥς φησι Παλαίφατος ἐν πρώτῃ ἀπίστων.*

*Οἱ ἑπτὰ ἐπὶ Θήβας ἐστράτευσαν.*

*Τὰ περὶ τὸν Μινώταυρον, ὡς μὲν ὁ μῦθος, ὅτι δὴ ἐκ ταύρου τοῦ ζώου καὶ Πασιφάης μιξόθηρ ἐγένετο καὶ τὸν παρ' Ἀθηναίων δασμὸν κομιζόμενος ἐθοινᾶτο τοὺς παῖδας. αὐτοὶ δὲ οἱ Κνώσιοι λέγουσιν εἶναι τοῦ Μίνω στρατηγὸν, ὃς ὠνομάζετο*

2. *Κρησὶν ὡς* Bredovius. *κρίσινος* A. *κρίσιν ὅς* B. *κρίσιν* G. *Κρησὶ* Scaliger p. 31. 3. *ἐξάνδρου* B. *τῇ* om. G. *Ἴδῃ διὰ* Bredovius. Legebatur *ἰδίᾳ*. *ἐννεατηρίδος* AB. *ἐννεατηρίδι* G. 5 et 9. *ἄνταιον* B. 8. *δοκεῖ* A. 12. *Ἴλιον* Scaliger. *τὸ ἴλεον* B. *τὸ εἴλεον* A. *τὸν Εἴλεον* G. 18. *Ἀθηναίων* Scaliger. *ἀθήναιον* AB. *Ἀθήναις* G. 20. *Μίνω*] *μίνως* B. *Μίνωος* G.

Thamyris Philammonis filius florebat.

Minos maris principatum obtiuuit, deportatisque ex antro nono quoque anno legibus, ius, quasi a Iove ad hoc munus institutus, dicebat, quod tamen reprehenditur a Platone tractatu de legibus.

Hercules labores et certamina obibat, luctaque decertans cum Anteo terrigena aestimato, eo quod luctatoribus laudatum inclinato corpore pugnandi modum perite calleret, eam ob rem a terra matre, quasi opem ferente, vires recipere est habitus; hunc Hercules palaestrae vinculis liber ceu corporis robore validus loris revinctum in altum sustulit et confecit.

Hydram autem animalis nomine celebratam Plato sophisticam interpretatur.

Hercules Ilium depopulatus est.

Medea Colchensis ab Aegaeo discessit.

Bellum inter Centauros et Lapithas. Centauri porro Thessalorum equites fuere peritissimi, inquit Palaephatus in primo rerum paradoxarum.

Septem duces adversus Thebas expeditionem susceperunt.

Sequuntur quae ad Minotaurum attinent, de quibus fabulae frequentius personant; ut ex tauro animante et Pasiphae femina semiferus homo feraque simul est natus, qui pueros ab Atheniensibus tributi onere pensos devorabat. Ipsi vero Cnossii ducem sub Minoe promereutem, Taurum no-

Ταῦρος, τὴν δὲ φύσιν ὠμὸς καὶ ἀνήμερος ἦν. ἐπεὶ δὲ Μίνως ἀγῶνα ἐπ' Ἀνδρογέῳ ἐτίθει, ὃν ἀπέκτειναν Ἀθηναῖοι, τοὺς Ἀττικοὺς δὲ παῖδας ἔπαθλον ἐδίδου, ἰσχυρὸς ὢν ὁ Ταῦρος πάντων κατεκράτει. ὡς δὲ καὶ τῷ Θησεῖ τοῦ ἀγῶνος μετεδόθη καὶ τὸν Ταῦρον κατεπάλαισε, συνέβη καὶ τοὺς παῖδας διασωθῆναι καὶ D τὴν πόλιν ἀφεθῆναι τοῦ δασμοῦ, ὡς Φιλόχορος ἱστόρησεν ἐν δευτέρᾳ Ἀτθίδος.

Οἱ Ἐπίγονοι τῶν ἑπτὰ ἐπὶ Θήβας ἐστράτευσαν. V. 131

Φαίδρα Ἱππολύτου ἠράσθη.

Μίνως ἐπὶ Σικελίαν στρατεύσας διὰ Δαίδαλον ἀναιρεῖται ὑπὸ τῶν Κωκάλου θυγατέρων.

Κατὰ τούτους τοὺς χρόνους Σαμψὼν ἦν, ὁ παρ' Ἕλλησι βοώμενος Ἡρακλῆς, ὃς μετὰ τοὺς ἄθλους καὶ τὴν Ἀνταίου ἀναίρεσιν P. 164 τοῦ γηγενοῦς ἐν Λιβύῃ καὶ τὸν ἐν Ὀλυμπίᾳ ἀγῶνα καὶ τὴν πρώτην ὑπ' αὐτοῦ ἅλωσιν Τροίας ἐπὶ Λαομέδοντος πατρὸς Πριάμου βασιλέως Τροίας λοιμώδει νόσῳ περιπεσὼν εἰς πῦρ ἐνήλατο, καὶ οὕτως ἐξ ἀνθρώπων ἐγένετο, βιώσας τὰ πάντα ἔτη νβ'. τινὲς δὲ πρὸ τούτου μικρὸν ἱστοροῦσι γενέσθαι Ἡρακλῆν, ἄλλοι τε πλείονα ἔτη ζῆσαί φασιν αὐτόν.

## ΚΟΣΜΟΥ ΕΤΗ.

Ἰαΐρ τὸν Γαλααδίτην κριτὴν ἔδωκεν ὁ θεὸς τῷ Ἰσραὴλ μετὰ

5. καὶ τοὺς] δὲ τοὺς G. 6. ἀφεθῆναι B. ἀφαιρεθῆναι G. 9. φαιδρὰ B. ἐράσθη AB. 16. νόσῳ B. ἀγνοίᾳ AG. 17. ἐνήλατο B. ἐνήλλατο G. οὗτος A. 19. φασιν add. B. 21] Iudic. cap. X. XI. Vulgo Ἰαήρ. Ἰαείρ B.

mine, moribus ferum et immitem ferunt. Porro certamine in Androgei memoriam ab Atheniensibus occisi a Minoe instituto, quo pueros Atticos in praemium victoribus dividebat, cum Taurus viribus praestaret, cunctorum facile superior evadebat. Consertis autem cum Theseo manibus devictus est; quocirca pueri Atticorum liberati ac urbs Athenarum imposito tributo facta immunis; ita Philochorus scripto reliquit rerum Atticarum libro secundo.

Septem ducum interfectorum posteri, Epigoni dicti, in Thebas expeditionem susceperunt.

Phaedra Hippolyti amore capta.

Bello in Siciliam Daedali causa moto Minos a Cocali filiabus occiditur.

Temporibus istis vivebat Sampson, a Graecis Herculis nomine celebratus, qui post diversos labores exantlatos, post Antaei terrigenae caedem in Libya, post Olympicum agonem ac Troiam sub Laomedonte Priami regis primo captam, pestilentiali morbo mentis insaniam provocante correptus, insiluit in ignem et ex hominibus sublatus est, cum vixisset integris annis 52. Herculem nonnulli Sampsonem praecessisse memorant, alii pluribus annis vitam produxisse.

## ANNI MUNDI.

Iair Galaaditem dedit deus iudicem Israël post Tholam, qui filios ha-

B τὸν Θωλᾶν, ὃς εἶχεν υἱοὺς λβʹ καὶ λβʹ πόλεις, ὧν ἦρχεν. οὗτος ἔκρινε τὸν λαὸν ἔτη κʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,δρπαʹ.

Ἀμανῖται ἐκράτησαν τοῦ Ἰσραὴλ ἔτη ιηʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,δσαʹ.

Μετὰ τὸν Γαλααδίτην Ἰαῒρ ἁμαρτήσας ὁ Ἰσραὴλ παρεδόθη Ἀμανίταις δουλεύειν ἔτη ιηʹ. ἐξομολογησαμένοις δὲ αὐτοῖς τῷ θεῷ ἐδόθη αὐτοῖς Ἰεφθάε ὁ ἐκ φυλῆς Μανασσῆ, υἱὸς Γαλαὰδ καὶ γυναικὸς πόρνης. οὗτος εὐξάμενος τῷ θεῷ θύσειν μετὰ τὴν

C κατὰ Μωαβιτῶν νίκην τὸ συναντῆσαν αὐτῷ ζῶον ἐπανιόντι τοῦ πολέμου ἐκ τῆς οἰκίας αὐτοῦ, εἰ νικήσοι. μιᾶς αὐτοῦ μονογενοῦς θυγατρὸς δʹ οὔσης καὶ φιλτάτης συναντησάσης αὐτῷ ταύτην ἔθυσε τῷ θεῷ οὐκ ἄκουσαν, ἐπὶ μῆνας δύο τὴν παρθενίαν αὐτῆς προπενθήσασαν.

Ἰεφθάε ἔκρινε τὸν Ἰσραὴλ ἔτη ςʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,δσιθʹ.

Οὗτος ἐπολέμησε τοῖς υἱοῖς Ἐφραῒμ μεμφομένοις αὐτῷ ὅτι οὐ παρέλαβεν αὐτοὺς ἐν τῷ πολέμῳ, καὶ ἀπέκτεινε τρισμυρίους δισχιλίους αὐτῶν.

D Ὁ Ἰεφθάε τὰ ἀπὸ Μωϋσέως ἕως αὐτοῦ τʹ λέγει εἶναι ἐν τῇ βίβλῳ τῶν κριτῶν, δηλονότι χωρὶς τῆς τῶν ἀλλοφύλων ἐπικρατήσεως. οὕτω γὰρ χρὴ νοεῖν καὶ οὐχ ὡς Εὐσέβιος, συναριθμῶν τοῖς τῶν κριτῶν χρόνοις τοὺς τῶν ἀλλοφύλων καὶ μὴ λογιζόμενος αὐτοὺς ἰδίως ἑκάστου, ὡς ἡ γραφή.

3 et 6. ἀμαν — B. Ἀμμαν — G. 5. Vulgo Ἰαήρ. ἰαεὶρ B. 10. αὐτοῦ B. αὐτοῖς A. αὐτῆς G. 19. κριτῶν] XI, 26. χωρὶς add. B. 20. γὰρ om. G. 20. ὁ Εὐσέβιος G. ὁ om. B. 22. ἑκάστους G.

buit 32, paris numeri civitatum principes; hic Israël annis 20 indicavit; erat porro mundi annus 4181.

Ammanitae Israël subiectum tenuerunt annis 18, mundi vero 4201.

Defuncto Iair Galaadite Israël filii criminum rei Ammanitarum servitute sunt oppressi annis 18, iisdemque deo peccata confessis datus est liberator Iephthaë ex tribu Manasse, filius Galaad et mulieris meretricis. Hic voto facto se primum illud animans immolaturum deo, quod e pugna redeunti, repertata a Moabitis hostibus victoria, occurreret, filiam e coniugio solam susceptam et carissimam semper habitam, obviam e domo prodeuntem, aris destinavit, non invitam quidem et mori detrectantem, at obtentis tantummodo duorum mensium induciis de virgineo decore nihil sibi profuturo luctum ducentem.

Iephthaë iudicavit Israël sex annis, anno mundi 4219.

Hic filiis Ephraim, quod eos belli socios non adscivisset, incusantibus bellum intulit et ex ipsis triginta duo millia delevit.

A Mose ad suam aetatem trecentos supputat annos Iephthaë in libro Iudicum, dempto videlicet alienigenarum imperii numero. Id solerter advertendum et ab Eusebii, Iudicum annos alienigenarum imperio connumerantis, nec uniuscuiusque ad scripturae instar proprios annos computantis, errore cavendum.

Ἐσέβων καὶ Ἐσβὰλ ἔκριναν τὸν Ἰσραὴλ ἔτη ζ' μετὰ τὸν Ἰεφθάε. τοῦ δὲ κόσμου ἦν ἔτος ,δσκε'.

Ἐσέβων ὁ Βηθλεεμίτης φυλῆς Ἰούδα, πατὴρ λ' υἱῶν καὶ θυγατέρων λ', ἔκρινε τὸν Ἰσραήλ.

Ἀειλὼν κριτὴς ἔκρινε τὸν Ἰσραὴλ ἔτη ι' μετὰ τὸν Ἐσέβωνα ἐκ P. 165
φυλῆς Ζαβουλών. τοῦ δὲ κόσμου ἦν ἔτος ,δσλβ'.

Ἀβδὼν κριτὴς ἔκρινε τὸν Ἰσραὴλ ἔτη η'. Ἀφρικανὸς ἔτη κ' φησίν, οὐ καλῶς. τοῦ δὲ κόσμου ἦν ἔτος ,δσμβ'.

Ἀβδὼν υἱὸς Σελήμ, πατὴρ παίδων λ' καὶ ἐκγόνων λ', ἔκρινε τὸν
Ἰσραὴλ ἔτη η'. μετὰ δὲ τὴν τούτου τελευτὴν παραβὰς ὁ V. 132
Ἰσραὴλ ἀπεδόθη πάλιν τοῖς ἀλλοφύλοις ἔτη μ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δσν'.

Ἀλλόφυλοι Φυλιστιαῖοι ἐκράτησαν τοῦ Ἰσραὴλ ἔτη μ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δσν'.

Εὐσέβιος ὁ Παμφίλου τὰ μ' ἔτη ταῦτα τῶν ἀλλοφύλων τοῖς B
τοῦ Σαμψὼν συναριθμεῖ ἀλόγως καὶ τῶν μετ' αὐτοῦ κριτῶν ἔτεσι, μὴ στοιχειώσας αὐτὰ ἐν τῷ κανόνι αὐτοῦ, μηδὲ τῶν λοιπῶν ἀλλοφύλων, κατά τινα, φησίν, Ἑβραίων παράδοσιν. προφανῶς δέ, ὡς καὶ ἐν ἄλλοις, ἀντίκειται τῇ γραφῇ.

1 et 3. Ἐσέβων] Ἀβαισσὰν m ex Iudic. XII, 8. 5. Ἀειλὼν] Αἰλὼμ Iudic. 8. ,δσκβ' A. 9. Σελὴμ] Ἐλλὴλ m. λ'] μ' m. ἐκγόνων B. ἐγγόνων G. 13. Φιλισταῖοι G. τοῦ δὲ — ,δσν' add. B.

**Abaessan et Esbal iudicaverunt Israël annis 7 post Iephthaë; erant porro a conditu mundi anni 4225.**
**Abaessan Bethleemites de tribu Iuda, pater filiorum 30 et filiarum 30, iudicavit Israël.**
**Aelom iudex ex tribu Zabulon iudicavit Israël post Abaessan 10 annis, mundi vero 4232.**
**Abdon iudex iudicavit Israël annis 8, scribit Africanus 20, verum erranter; mundi vero 4242.**
**Abdon, filius Ellel, filiorum 40 et nepotum 30 pater, iudicavit Israël annis 8; post illius vero mortem transgressus Israël iterum Allophylis traditus est annis 40, mundi vero 4250.**
**Allophyli Philistaei egerunt Israël in servitutem annis 40.**
**Eusebius Pamphili quadraginta Philistaeae servitutis annos, cum Sampson, et eorum qui sequuti sunt, iudicum propriis, absque ratione confusos annumerat, nec illos vel aliorum Allophylorum annos, quandam, inquit, Hebraeorum traditionem amplexus, in tabularum seriem componit; in eo vero, sicut in aliis plerisque, scripturae manifesto contradicit.**

## Ἀσσυρίων βασιλεῖς.

Ἀσσυρίων μα΄ ἐβασίλευσε Θῶνος ὁ λεγόμενος Κονκόλερος, Ἑλληνιστὶ Σαρδανάπαλλος, ἔτη κ΄. τοῦ δὲ κόσμου ἦν ἔτος ,δχξ΄.

C Σαρδανάπαλλος Ταρσὸν ἔκτισε καὶ Ἀγχιάλην τὰς πόλεις ἐν μιᾷ ἡμέρᾳ.

Ἡ τῶν Ἀσσυρίων βασιλεία εἰς τὸ καθολικὸν κοσμικὸν ,δχοε΄ ἔτος ἔληξε, διαρκέσασα ἔτη ,αυξ΄ ἀπὸ τοῦ κοσμικοῦ ,γσις΄ ἔτους.

Ἕως τοῦδε τοῦ ,δχοε΄ ἔτους τοῦ κόσμου διαρκέσασα ἡ τῶν Ἀσσυρίων βασιλεία ἐπὶ ,αυξ΄ ἔτη κατελύθη τῷ κ΄ ἔτει τοῦ Σαρδαναπάλλου τοῦ μα΄ βασιλέως Ἀσσυρίων, ὃς παρά τισι Θῶνος Κονκόλερος ὠνομάζετο, περὶ οὗ καὶ ὁ Διόδωρος λέξεσιν αὐταῖς οὕτω γράφει „Σαρδανάπαλλος δὲ τριακοστὸς μὲν καὶ πέμπτος ἀπὸ Νίνου τοῦ συστησαμένου τὴν ἡγεμονίαν, ἔσχατος δὲ γενό-
D μενος βασιλεὺς Ἀσσυρίων, ὑπερῆρεν ἅπαντας τοὺς πρὸ αὐτοῦ τρυφῇ καὶ ῥᾳθυμίᾳ." καὶ μετ' ὀλίγα „καὶ τοιοῦτος ὢν τὸν τρόπον οὐ μόνον αὐτὸς αἰσχρῶς κατέστρεψε τὸν βίον, ἀλλὰ καὶ τὴν Ἀσσυρίων ἡγεμονίαν ἄρδην ἀνέστρεψε πολυχρονιωτάτην γενομένην τῶν μνημονευομένων. Ἀρβάκης γάρ τις, Μῆδος μὲν τὸ γένος, ἀνδρείᾳ δὲ καὶ ψυχῆς λαμπρότητι διαφέρων, ἐστρατήγει Μήδων τῶν κατ' ἐνιαυτὸν ἐκπεμπομένων εἰς τὴν Νίνον. κατὰ δὲ τὴν

3. Vulgo Σαρδανάπαλος hic et infra. κ΄] ιε΄ G. 5. ἔκτισεν m. Vulgo ᾤκησεν. ᾤκισεν Scaliger p. 32. 10. κ΄ ἔτει] κ΄ ἔτη G. ιε΄ ἔτει m. 11. τοῦ μα΄ Bm. τῷ G. ὃς παρά τισιν m. Vulgo ὡς παρίστησι. ὅς πέρ τισι Scaliger. 12. Διόδωρος] II, 23. 13. μὲν om. G. 14. τοῦ om. G. στησαμένου G. 16. τὸν add. B. 21. τῶν] καὶ G. νίνον B. Νῖνον G.

## Assyriorum reges.

Assyriorum rex 41 Thonus, dictus Concolerus, Graece Sardanapalus, annis 15, mundi vero 4660.

Sardanapalus Tarsum et Anchialen urbes uno die construxit.

Assyriorum regnum annis 1460 stans, a mundi nimirum vulgari anno 3216 ad annum 4675 finem sortitur.

Ad hunc usque 4675 mundi annum Assyriorum regnum annis 1460 stabilitum, 15 Sardanapali anno, qui fuit Assyriorum rex 41, et a nonnullis Thonus Concolerus vocatus, eversum est; de quo Diodorus haec ad verbum scribit: „Sardanapalus, a Nino primo imperii fundatore tricesimus quintus ac postremus Assyriorum princeps, maiores omnes luxuria vitaeque socordia superavit." Et paucis interiectis, „pravis huiusmodi moribus infectus non foedo solum exitu finivit vitam, sed et Assyriorum imperium cunctorum memoria vetustissimum funditus evertit. Arbaces enim quidam genere Medus, viribus et animi celsitudine praeclarus, Medorum copiis per singulos annos Niniven missis praefectus, ob rei bellicae societatem Babylonio-

στρατείαν γενόμενος συνήθης τῷ στρατηγῷ τῶν Βαβυλωνίων ὑπ' ἐκείνου παρεκλήθη καταλῦσαι τὴν τῶν Ἀσσυρίων ἡγεμονίαν." ταῦτα ὁ Διόδωρος περὶ τῆς Σαρδαναπάλλου καταστροφῆς, καὶ ὅτι λε' ἀπὸ Νίνου γέγονε βασιλεὺς Ἀσσυρίων, ὃν πρῶτον εἶναι βασιλέα τῶν αὐτῶν Ἀσσυρίων προλαβὼν ἀνωτέρω ἔφη οὕτως P. 166 „τὸ παλαιὸν τοίνυν κατὰ τὴν Ἀσίαν ὑπῆρχον ἐγχώριοι βασιλεῖς, ὧν οὔτε πράξεις ἐπίσημοι οὔτε ὀνόματα μνημονεύεται. πρῶτος δὲ τῶν ἱστορίᾳ καὶ μνήμῃ παραδεδομένος Νίνος ὁ βασιλεὺς τῶν Ἀσσυρίων μεγάλας πράξεις ἐπετελέσατο." καὶ μεθ' ἕτερα „μετὰ δὲ ταῦτα γεννήσας ἐκ Σεμιράμιδος υἱὸν Νινύαν ἐτελεύτησε, τὴν γυναῖκα ἀπολιπὼν βασίλισσαν. τὸν δὲ Νίνον ἡ Σεμίραμις ἔθαψεν ἐν τοῖς βασιλείοις." καὶ ἐπάγει „αὕτη μὲν οὖν βασιλεύσασα τῆς Ἀσίας ἁπάσης πλὴν Ἰνδῶν ἐτελεύτησε τὸν προειρημένον τρόπον, βιώσασα μὲν ἔτη ξβ', βασιλεύσασα δὲ δύο πρὸς τοῖς μ'." καὶ B μεθ' ἕτερα „παραπλησίως δὲ καὶ οἱ λοιποὶ βασιλεῖς παῖς παρὰ πατρὸς διαδεχόμενοι τὴν ἀρχὴν ἐβασίλευσαν ἐπὶ γενεὰς με' μέχρι Σαρδαναπάλλου. ἐπὶ τούτου γὰρ ἡ τῶν Ἀσσυρίων ἡγεμονία μετέπεσεν εἰς Μήδους ἔτη διαμείνασα πλείω τῶν ͵α' καὶ τ', καθάπερ φησὶ Κτησίας ὁ Κνίδιος ἐν τῇ β' βίβλῳ. τὰ δὲ ὀνόματα τῶν V. 133 βασιλέων καὶ τὸ πλῆθος τῶν ἐτῶν οὐ κατεπείγει γράφειν, διὰ τὸ

1. στρατείαν] Vulgo στρατηγίαν. στρατηγείαν B. Correxi ex Diodoro. 4. ὃν Scaliger. Vulgo ὧν. 5. τὸν αὐτὸν G. ἀνωτέρω] Cap. 1. Conf. Eusebium I, 14. p. 37. οὕτως B. οὗτος G. 6. παλαιὸν] πάλαι G. 8. παραδιδομένων AB. τῶν om. B. 9. ἀπετέλεσεν B. μεθ' ἕτερα] Cap. 7. 12. τοῖς om. G. 15. δὲ καὶ] καὶ om. G. παῖς B. παῖδες G. 16. με'] λ' ἐβασίλευσαν Diodorus cap. 21. 20. βασιλειῶν B. οὐκ ἐπεγεγράφει G.

rum duci coniunctus, eius hortatibus ac monitis Assyriorum exstinxit imperium." Haec de infelici Sardanapali a Nino regis Assyriorum quinti supra tricesimum exitu Diodorus. Ninum autem memoratorum Assyriorum primum regem extitisse, auctor idem in superioribus hoc pacto declarat: „olim quidem in Asia ex indigenis creabantur reges, quorum gesta vel nomina nulla hominum memoria celebrat. Primus autem quorum historiae vel hominum notitiae fama commendata est, fuit Ninus Assyriorum rex memorandorum facinorum auctor." Et aliis interiectis, „filio Ninya ex Semiramide suscepto, regnique habenis uxori commendatis, occubuit. Semiramis in regia Nino tumulum posuit." Ad haec infert: „haec itaque cum universae Asiae, demptis Indis, imperasset, modo praefato morte sublata est, vitae quidem annum agens 62, imperii vero secundum supra quadragesimum." Et post nonnulla, „in hunc ferme modum reliqui reges decessorum haeredes, suscepto a patribus regno, ad capita 35, hoc est, ad Sardanapalum, potestatem sunt adepti; eius enim temporibus Assyriorum imperium quod a primo exortu plus quam per annos mille et trecentos steterat, ad Medos postremo translatum est, ut sentit etiam Ctesias Cnidius libro secundo. Regum vero nomina vel eorum numerum, quod nihil ipsis

μηδὲν ἐπ᾽ αὐτῶν πεπρᾶχθαι μνήμης ἄξιον. μόνη γὰρ τέτευχεν ἀναγραφῆς ἡ πεμφθεῖσα συμμαχία τοῖς Τρωσὶν ὑπὸ Ἀσσυρίων, ἧς ἐστρατήγει Μέμνων ὁ Τιθωνοῦ. Ταυτάνου γὰρ βασιλεύοντος C τῆς Ἀσίας, ὃς ἦν κςʹ ἀπὸ Νίνου τοῦ Σεμιράμιδος, φασὶ τοὺς μετὰ Ἀγαμέμνονος Ἕλληνας ἐπὶ Τροίαν στρατεῦσαι τὴν ἡγεμονίαν ἐχόντων τῆς Ἀσίας Ἀσσυρίων ἔτη πλείω τῶν χιλίων."

Ταῦτα ὁ Διόδωρος ἡμῖν παραδίδωσι μηδ᾽ οὕτω θαρρήσας ἀποφήνασθαι τὸν τῶν βασιλέων ἀριθμὸν ἢ χρόνου τὴν ἀκριβῆ ποσότητα προσηγορίας τε αὐτῶν καὶ ἐπὶ τίνος ἡ κατὰ Τροίας τῶν Ἀχαιῶν ἔφοδος γέγονεν, ἀλλὰ πάντα φειδόμενος διὰ τὸ τῶν παλαιοτέρων αὐτοῦ ἱστορικῶν ἀσύμφωνον, μόνον δ᾽ ὅτι πλείω τῶν D ͵ατʹ ἐτῶν ὁ χρόνος τῶν ἀπὸ Νίνου λεʹ βασιλέων ἐστὶν ἀπεφήνατο· καὶ ὅτι τὴν Τροίας ἅλωσιν ἐπὶ τοῦ κςʹ ἀπὸ Νίνου βασιλεύσαντος Ἀσσυρίων Ταυτάνου φασὶ γενέσθαι μετὰ ͵αʹ ἔτη πλείω, ἄλλοις ἐπιγράφων τὰ λεγόμενα, ὡς μὴ πάντη συντιθέμενος. ὁ γὰρ Ταυτάνου χρόνος τῷ ϡμβʹ ἔτει συντρέχει τῆς Ἀσσυρίων ἀρχῆς, κζʹ λογιζομένου Ταυτάνου ἀπὸ Βήλου. εἰ γὰρ τὰ Βήλου νεʹ ἔτη ἀφέλωμεν ἐκ τῶν ϡμβʹ, πολλοῖς ἔτεσι κατὰ τὸν ἀκριβῆ λόγον ἐλαττωθήσεται ἐκ τῶν ͵αʹ πλείω χρόνων ἢ μετὰ ͵αʹ πλείω κατὰ

1. τέτευχεν B. τέτυχε G. 3. Ταυτάνου] Τευτάμου Diodorus. 4. ὃς ἦν κςʹ ἀπὸ m. ἦν ἀπὸ κςʹ G. 6. ἔτη ex Diodoro additum. 14. ταυτάνου B. ταῦτά μοι G. φασὶ] φησὶ G. πλείω] ἢ πλείω m. 16 et 18. ϡμβʹ] ϡθʹ m. 17. κζʹ B. κʹ καὶ ἑπτὰ A. κʹ καὶ ζʹ G.

dignum memoria sit actum, colligere non studuit; sola namque Assyriorum auxilia ad Troiam missa, quorum dux fuit Memnon Tithoni filius, scriptis celebrantur. Teutamo enim in Asia regnante, qui vigesimus sextus est a Ninya Semiramidis filio, Graecos, imperatore Agamemnone, bello Troiam obsedisse ferunt; cum plus mille annis Assyrii imperium Asiae iam tenuissent."

Ἀθηναίων ιεʹ ἐβασίλευσε Θυμοίτης ἔτη θʹ, Ἀφείδαντος ἀδελφός. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δτξεʹ.

1. Ἰούλιος] ἰοῦ AB. 3. Σιλουΐου] Σιλούϊος G. 9. ἡρακλείδων AB constanter. Ὕλλου Scaliger p. 34. Vulgo Ὕλου. Ἡρακλέους Scaliger. Ἡρακλείους G. 12. δέξιππος B. Ζεύξιππος G. 13. μετοικισάντων G. Correctum ex B. 20. Θυμοίτης] Vulgo Θυμίτης G.

Latinorum rex 4 Sylvius Iulius annis 31, mundi vero 4409.
Latinorum rex 5 Aeneas Sylvius annis 50, mundi vero 4440.
Latinorum rex 6 Sylvius annis 30, mundi vero 4490.

## Miscellanea.

Lyciorum primum certamen ludicrum institutum.

Heraclidarum descensus Hyla seniore Herculis filio belli adversus Peloponnesios duce. Annis haud paucis Peloponnesios inter et Heraclidas stetit discordia. Tunc Lacedaemonii Heraclidarum invasionibus afflicti, ut Zeuxippus auctor est, Peloponneso migrantes Rhodum insulam incoluerunt.

Eo quoque tempore Mycenarum regnum annis ex quorundam calculo 200, ex aliorum opinione paucioribus, hucusque perseverans, dissipatum est.

Amazones Cimmeriis adiunctae in Asiam irruperunt.

Eaedem templum Ephesinum primo incendio vastaverunt.

## Atheniensium reges.

Atheniensium rex 15 Thymites Aphidantis frater annis 9, mundi vero 4365.

Ἐπὶ τούτου ἡ τῶν Ἐρεχθειδῶν βασιλεία κατελύθη παρὰ B
Ἀθηναίοις Ἀττικῶν λεγομένη, καὶ μετῆλθεν εἰς ἕτερον γένος.
Θυμοίτην γὰρ προσκαλεσαμένου Ξάνθου τοῦ Βοιωτίου καὶ μὴ
ὑπακούσαντος τοῦ Θυμοίτου, Μέλανθος Ἀνδροπόμπου Πύλιος
ἀναδεξάμενος ἐμονομάχησε καὶ νικήσας ἐβασίλευσεν. ἔνθεν Ἀθή-
νησιν ἡ τῶν Ἀπατουρίων ἑορτὴ ἄγεται διὰ τὸ σὺν ἀπάτῃ γενέσθαι
τὴν νίκην.

Ἀθηναίων ιϛʹ ἐβασίλευσε Μέλανθος Ἀνδροπόμπου Πύλιος ἔτη
λζʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δτοδʹ.

Ἀθηναίων ιζʹ ἐβασίλευσε Κόδρος Μελάνθου ἔτη καʹ. τοῦ δὲ C
κόσμου ἦν ἔτος ͵δυιαʹ.

Ἐπὶ τούτου ἡ τῶν Ἡρακλειδῶν κάθοδος εἰς Πελοπόννησον
γέγονεν.

Ἴωνές τε εἰς Ἀθήνας κατέφυγον ἐκπεσόντες ἐξ Ἀχαΐας.

Πελοποννήσιοι ἐστράτευσαν ἐπ᾽ Ἀθήνας, οἷς ἑαυτὸν ἐξέ-
δωκε διὰ χρησμὸν Κόδρος Μελάνθου.

Καὶ οὐκ ἔτι βασιλεῖς, ἄρχοντες δὲ διὰ βίου τοῖς Ἀθηναίοις
καθίσταντο.

Ἀθηναίων ιηʹ ἐβασίλευσε Μέδων Κόδρου ἔτη κʹ. οὗτος πρῶτός V. 143
ἐστι τῶν διὰ βίου λεγομένων ἀρχόντων παρ᾽ Ἀθηναίοις. τοῦ
δὲ κόσμου ἦν ἔτος ͵δυλβʹ. D

2. ἕτερον] ὕστερον G. 3. θυμοίτην B. Θυμίτην G. 4. Vulgo Θυμίτου. 5. ἐβασίλευσεν ἐν Ἀθήνησιν. Η τῶν G. 6. συναπάτῃ B. 16. χρησμὸν Scaliger p. 35. κόσμου G. 18. καθίστατο B. 19. Legebatur Μελόδων et infra Μελόδοντος. Correctum ex Eusebio p. 136. Κόδρου, quod in AB κο. scriptum est, om. G.

Eius aetate Erechthidarum regnum, quod Atticorum Athenienses dixere, eversum est et ad genus aliud translatum Xantho namque Boeotio Thymitem ad pugnam provocante et Thymite conflictum recusante, Melanthus Pyliensis Andrópompi filius, cum singulare certamen sustinuisset, superior evasit et Athenis regnavit.

Apaturiorum festum celebratur, quod dolo parta fuisset victoria.

Atheniensium rex 16 Melanthus Pyliensis, Andropompi filius, annis 37, mundi vero 4374.

Atheniensium rex 17 Codrus, Melanthi filius, annis 21, mundi vero 4411.

Eius tempore Heraclidae in Peloponnesum profectionem susceperunt.

Iones Achaia pulsi Athenas se receperunt.

Peloponnesii adversus Athenienses bellum moverunt, quibus ex oraculi responso Codrus, Melanthi filius, se tradidit.

Hinc non ulterius reges, sed praesides perpetui Atheniensibus praeficiebantur.

Atheniensium gubernator 18 Melodon annis 20. Iste perpetuorum praesidum primus apud Athenienses institutus; mundi vero 4432.

Ἀθηναίων ιθʹ ἄρχων βʹ Ἄκαστος Μέδοντος ἔτη λεʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δυνβʹ.

Ἐπὶ Ἀκάστου Ἰώνων ἀποικία. καὶ Ὅμηρος ἱστορεῖται γεγονὼς παρ' Ἕλλησιν, ὥς τινές, οἱ δὲ ὀλίγῳ πρότερον καὶ ἄλλοι ὕστερον.

### Λακεδαιμονίων βασιλεῖς.

Λακεδαιμονίων αʹ ἐβασίλευσεν Εὐρυσθεὺς ἔτη μβʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δυκγʹ.

P. 179 Εὐρυσθεὺς καὶ Προκλῆς Σπάρτης ἐκράτησαν.

Λακεδαιμονίων βʹ ἐβασίλευσεν Ἆγις ἔτος αʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δυξεʹ.

Λακεδαιμονίων γʹ ἐβασίλευσεν Ἐχέστρατος ἔτη λεʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δυξϛʹ.

Λακεδαιμονίων δʹ ἐβασίλευσε Λαβώτης ἔτη λζʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δφαʹ.

Λακεδαιμονίων εʹ ἐβασίλευσε Δόρυσθος ἔτη κθʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δφληʹ.

### B Ἐκ τῶν Διοδώρου περὶ τῆς τῶν Κορινθίων ἀρχῆς.

### Κορινθίων βασιλεῖς.

Τούτων ἡμῖν διευκρινημένων λείπεται περὶ τῆς Κορινθίας καὶ Σικυωνίας εἰπεῖν ὃν τρόπον ὑπὸ Δωριέων κατῳκίσθησαν. τὰ γὰρ

1 et 3. Legebatur Ἄκατος et Ἀκάτου. 4. ὀλίγον G. 9. Vulgo Πρόκλης. σπαρτῆς B. 18. Διοδώρου] Apud Eusebium I, 34. p. 163. Est ex libro VI. τῆς om. G.

Atheniensium gubernator 19 praeses 2 Acatus, Melodontis filius, annis 35, mundi vero 4452.

Acati tempore coloniae Ionum missae; Homerum pariter apud Graecos nonnulli ortum narrant; quidam aliquo temporis spatio superius, alii multo posterius.

### Lacedaemoniorum reges.

Lacedaemoniorum rex 1 Eurystheus annis 42, mundi vero 4423.

Eurystheus et Procles Spartam sibi fecere subditam.

Lacedaemoniorum rex 2 Agis anno uno, mundi vero 4465.

Lacedaemoniorum rex 3 Echestratus annis 35, mundi vero 4466.

Lacedaemoniorum rex 4 Labotes annis 37, mundi vero 4501.

Lacedaemoniorum rex 5 Doristhus annis 29, mundi vero 4538.

### Ex Diodoro de Corinthiorum imperio.

### Corinthiorum reges.

His ita positis de Corinthia et Sicyone, qua ratione a Doriensibus habitatae fuerint, superest dicendum. Nationes enim per Peloponnesum ferme

κατὰ τὴν Πελοπόννησον ἔθνη σχεδὸν πάντα, πλὴν Ἀρκάδων, ἀνάστατα συνέβη γενέσθαι κατὰ τὴν κάθοδον τῶν Ἡρακλειδῶν. οἱ τοίνυν Ἡρακλεῖδαι κατὰ τὴν διαίρεσιν ἐξαίρετον ποιησάμενοι τὴν Κορινθίαν καὶ τὴν ταύτης πλησιόχωρον διεπέμψαντο πρὸς τὸν Ἀλήτην, παραδιδόντες αὐτῷ τὴν προειρημένην χώραν. ἐπιφανὴς δὲ ἀνὴρ γενόμενος καὶ τὴν Κόρινθον αὐξήσας ἐβασίλευσεν C ἔτη λη'. μετὰ δὲ τὴν τούτου τελευτὴν ὁ πρεσβύτατος ἀεὶ τῶν ἐκγόνων ἐβασίλευσε μέχρι τῆς Κυψέλου τυραννίδος, ἥτις τῆς καθόδου τῶν Ἡρακλειδῶν ὑστερεῖ ἔτεσι υμζ'. καὶ πρῶτος μὲν παρ' αὐτοῖς διεδέξατο τὴν βασιλείαν Ἰξίων ἔτη λη'. μεθ' ὃν ἦρξεν Ἀγέλας ἔτη λζ'. μετὰ δὲ τούτους Πρύμνης ἔτη λε', καὶ Βάκχις ὁμοίως τὸν ἴσον χρόνον γενόμενος ἐπιφανέστατος τῶν πρὸ αὐτοῦ. διὸ καὶ συνέβη τοὺς μετὰ ταῦτα βασιλεύσαντας οὐκ ἔτι Ἡρακλείδας, ἀλλὰ Βακχίδας προσαγορεύεσθαι. μετὰ τοῦτον Ἀγέλας μὲν ἔτη λ', Εὔδημος δὲ ἔτη κε', Ἀριστομήδης ϛ' καὶ λ'. οὗτος δὲ τελευτήσας ἀπέλιπεν υἱὸν Τελέστην παῖδα τὴν ἡλικίαν, οὗ τὴν κατὰ D γένος βασιλείαν ἀφείλατο θεῖος ὢν καὶ ἐπίτροπος Ἀγήμων, ὃς ἦρξεν ἔτη ις'. μετὰ τοῦτον κατέσχεν Ἀλέξανδρος ἔτη κε'. τοῦτον ἀνελὼν Τελέστης ὁ στερηθεὶς τῆς πατρῴας ἀρχῆς ἦρξεν ἔτη ιβ'. τούτου δ' ὑπὸ τῶν συγγενῶν ἀναιρεθέντος Αὐτομένης μὲν ἦρξεν ἐνιαυτόν, οἱ δ' ἀπὸ Ἡρακλέους Βακχίδαι πλείους ὄντες διακο-

5. ἀλήτην B. Ἀλίτην G. 8. κυψέλου B. Κυψέλλου G. 11. πρύμνης B. Προύμνης G. *Primnis* Eusebius. Βάκχις] Vulgo Βάκχης. 12. Quod post χρόνον repetebatur ὁμοίως om. B. 15. Εὔδημος m. Εὔδαμος G. ϛ' καὶ] ἔτη G. 16. ἀπέλειπεν B. Vulgo Τελεστὴν hic et infra. 20. δ' om. G.

cunctas Heraclidarum descensu et irruptionibus vastari penitus et everti contigit. Heraclidae itaque cum armis parta regio divideretur, Corinthia cum agris vicinis praecipua victoriae portione aestimata, Aleti ad se advocato in manus memoratam regionem tradidere. Ille, ceu virtute illustris auctae a se Corintho annis 38 imperavit. Eo morte sublato semper e posteris qui aetate prior erat regnum moderatus est usque ad Cypselli tyrannidem, quae Heraclidarum descensu annis 447 posterior habetur. Ac primus quidem ex ipsis Ixion annis 38 imperavit; post quem Agelas successit annis 37, quos excepit Prumnes annis 35, et Bacches pariter aequali spatio cunctorum se priorum illustrissimus ubique aestimatus, quo factum, ut qui deinceps sceptra tenerent, non Heraclidae, sed Bacchidarum nomen ferrent. Post hunc Agelas quidem annis 30, Eudemus autem 25 et Aristomedes 30 regnavit. Hic moriens filium reliquit Telestem aetate puerum, cui regnum avitum patruus ac curator Agemon ademit et postmodum annis 16 occupavit. Potestatem deinde Alexander obtinuit annis 25, quo sublato Telestes patrio sceptro orbatus ad illud restitutus est, tenuitque annis 12, eo mox a consanguineis occiso Automenes quidem anno solo regnavit, Bacchidae vero Herculis posteri numero plus quam ducenti pote-

σίων κατέσχον τὴν ἀρχὴν καὶ κοινῇ μὲν προειστήκεισαν τῆς πό-
V. 144 λεως ἅπαντες, ἐξ αὐτῶν δὲ ἕνα κατ' ἐνιαυτὸν ᾑροῦντο πρύτανιν, ὃς τὴν τοῦ βασιλέως εἶχε τάξιν, ἐπὶ ἔτη Ϟ, μέχρι τῆς Κυψέλου τυραννίδος, ὑφ' ἧς κατελύθησαν.

P. 180 *Εἰσὶν οὖν οἵδε βασιλεῖς Κορινθίων.*

*Βάκχις ἔτη λε'. ρπγ'.*
*Ἀλήτης ἔτη λη'.*
*Ἰξίων ἔτη λη'. ος'.*
*Ἀγέλας ἔτη λζ'. ριγ'.*
*Πρύμνης ἔτη λε'. ρμη'.*
*Ἀγέλας ἔτη λ'. σιγ'.*
*Εὔδημος ἔτη κε'. σλη'.*
*Ἀριστομήδης ἔτη λε'. σογ'.*
*Ἀγήμων ἔτη ις'. σπθ'.*
B *Ἀλέξανδρος ἔτη κε'. τιδ'.*
*Τελέστης ἔτη ιβ'. ὁμοῦ τκς'.*
*Αὐτομένης ἔτος ἕν. τκζ'.*

1. προειστήκησαν B. 3. σκυφέλου B. Κυφέλλου G. 5. Haec Goarus in margine ita correxit: Αλήτης ἔτη λη'. Ιξίων ἔτη λη'. ὁμοῦ ος'. Αγέλας ἔτη λζ. ὁμοῦ ριγ'. Πρύμνης ἔτη λε'. ὁμοῦ ρμη'. Βάκχης ἔτη λε'. ὁμοῦ ρπγ'. Αγελαστὴς ἔτη λ'. ὁμοῦ σιγ'. Εὔδημος ἔτη κε'. ὁμοῦ σλη'. Αριστομήδης ἔτη λε'. ὁμοῦ σογ'. Αγήμων ἔτη ις'. ὁμοῦ σπθ'. Αλέξανδρος ἔτη κε'. ὁμοῦ τιδ'. Τελεστὴς ἔτη ιβ'. ὁμοῦ τκς'. Αὐτομενὴς ἔτος ἕν. 6. Vulgo Βάκχης. ρπγ' B. ρπε' G. 9. Ἀγέλας] Vulgo Ἀγελαστής. 10. λε'] λ' B. 14. Vulgo Ἀγήμνων. σπθ' B. σπη' G. 16. ὁμοῦ add. B. 17. τκζ' add. B.

**statem et regni ius sibi vindicaverunt et ex aequo civitatis praefecturam cuncti exercuere. Ex suorum autem consortio per annos singulos gubernatorem unum regis vices exsequentem deligere solebant, ad annum usque 90, quo Cypsellus tyrannide occupata Bacchidarum nomen et potestatem exstinxit.**

**Isti sunt itaque Corinthiorum reges.**

**Bacches annis 35, summa 185.**
**Aletes annis 38.**
**Ixion annis 38, summa 76.**
**Agelas annis 37; 113.**
**Prymnes annis 35; 148.**
**Agelastes annis 30; 313.**
**Eudemus annis 25; 238.**
**Aristomedes annis 35; 273.**
**Agemnon annis 16; 288.**
**Alexander annis 25; 314.**
**Telestes annis 12; 326.**
**Automenes anno uno.**

Μεθ' οὓς ἐνιαύσιοι πρυτάνεις ἔτη ϟ'.

Ὁμοῦ υιζ'.

Διϭολογία περὶ τῶν αὐτῶν.

Κορινθίων α' ἐβασίλευσεν Ἀλήτης ἔτη λη'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δυκγ'.

Κορινθίων β' ἐβασίλευσεν Ἰξίων ἔτη λη'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δυξα'. C

Κορινθίων γ' ἐβασίλευσεν Ἀγέλας ἔτη λε'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δυϟθ'.

Κορινθίων δ' ἐβασίλευσε Πρύμνης ἔτη λε'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δφλδ'.

Κορινθίων ε' ἐβασίλευσε Βάκχις ἔτη λε'. ἀφ' οὗ οἱ μετὰ αὐτὸν βασιλεῖς ἐκλήθησαν Βακχίδαι. τοῦ δὲ κόσμου ἦν ἔτος ,δφξθ'.

Κορινθίων ϛ' ἐβασίλευσεν Ἀγέλας ἔτη λ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δχα'.

Σποράδην.

Πελασγοὶ β' ἐθαλασσοκράτησαν ἔτη πε'. D

Νειλεὺς Πελοποννησίων καὶ Ἀθηναίων ἡγούμενος εἰς Ἀσίαν ἐλθὼν τὰς Ἰωνίας ᾤκισε πόλεις ἐκβαλὼν τοὺς Κᾶρας.

Ὅμηρον τὸν παρ' Ἕλλησι μέγαν ποιητὴν οἱ μὲν πρὸ τῆς Ἡρα-

12. Vulgo Βάκχης. λε'] λβ' m. αὐτὸν B. τὸν A. τοῦτον G. 17. Σποράδην om. AB. 19. νελεὺς A. 20. τὰς] τῆς G. ᾤκισε Scaliger p. 36. ᾤκησεν G.

**Sequuti sunt gubernatores, quorum potestas in annum solum prorogabatur, annis 90.**
**Summa omnium anni 417.**

Iterata eorundem describendi ratio.

**Corinthiorum rex primus Aletes annis 38, erat porro mundi annus 4423.**
**Corinthiorum rex 2 Ixion annis 38, erat vero mundi 4461.**
**Corinthiorum rex 3 Agelas annis 35, erat vero mundi 4499.**
**Corinthiorum rex 4 Prumnes annis 35, erat vero mundi 4534.**
**Corinthiorum rex 5 Bacches, a quo posteri Bacchidae vocati, annis 32; erat vero mundi 4569.**
**Corinthiorum rex 6 Agelas annis 30, mundi vero 4601.**

Miscellanea.

**Pelasgi secundo loco maris dominatum obtinuerunt annis 85.**
**Nileus Peloponnesiorum et Atheniensium dux in Asiam transfretans, eiectis Cariae incolis Ioniis in urbibus habitavit.**
**Homerum celebrem apud Graecos poetam hi quidem ante Heraclida-**

*κλειδῶν καθόδου φασὶ γεγονέναι περικρατήσαντα, οἱ δὲ περὶ Ἐρατοσθένην μετὰ ἔτη ρ' τῶν Τρωϊκῶν, οἱ δὲ περὶ Ἀρίσταρχον κατὰ τὴν Ἰωνικὴν ἀποικίαν μετὰ ἔτη ρ', οἱ δὲ περὶ Φιλόχορον ἐπὶ τῆς Ἰωνικῆς ἀποικίας, καθ' ἕνα τῶν διὰ βίου ἀρχόντων Ἀθήνησιν Ἄρχιππον μετὰ τὰ Τρωϊκὰ ἔτεσιν ρπ'. οἱ δὲ περὶ Ἀπολλόδωρον*
P. 181 *τὸν Ἀθηναῖον ὕστερον τῶν Ἰλιακῶν ἔτη σμ'. ἄλλοι μικρὸν πρὸ τῶν ὀλυμπιάδων ἔτεσι υ' ἐγγὺς μετὰ Ἰλίου ἅλωσιν, καὶ ἕτεροι κατὰ Ἀρχίλοχον περὶ τὴν κγ' ὀλυμπιάδα μετὰ ἔτη φ' που τῆς ἁλώσεως Τροίας· καὶ ἁπλῶς εἰπεῖν ὁ περὶ αὐτοῦ χρόνος πάντη τοῖς παλαιοῖς ἀσύμφωνος.*

*Μυρίνα ἡ παρά τισι Σμύρνα λεγομένη ἐκτίσθη ἐν Ἀσίᾳ.*

*Ἔφεσος ἐκτίσθη ἐν Ἀσίᾳ ὑπὸ Ἀνδρονίκου.*

*Κύμη ἐκτίσθη ἐν Ἰταλίᾳ.*

*Καρχηδὼν ἐπεκτίσθη ὑπὸ Καρχηδόνος τοῦ Τυρίου, ὡς δ'*
V. 145 *ἄλλοι ὑπὸ Διδοῦς τῆς ἐκείνου θυγατρὸς μετὰ τὰ Τρωϊκὰ ἔτεσιν ρλγ'. ἐκαλεῖτο δὲ πρὸ τούτου Ὀριγώ.*

B *Τρίτοι ἐθαλασσοκράτησαν Θρᾷκες ἔτη οθ'.*

*Θρᾷκες ἀπὸ Στρυμόνος διαβάντες κατέσχον τὴν νῦν Βιθυνίαν, τότε δὲ Βεβρυκίαν καλουμένην.*

*Θρᾷκες ἐθαλασσοκράτουν.*

3. *ἐπὶ* Scaliger. *τὸν* G. 4. *ἀποικίας*] *γραφία* add. m. 11. *σκοράδην* praefixum in B. *μυρίνα* AB. *Μυρῖνα* G. *ἡ* om. G. 13. *κυμῆ* B. 16. *ὀριγῶ* A. *ὀριγὼ* B. *Ορίγω* G. 18. *στρυμῶνος* AB. *Στρύμωνος* G.

rum descensum extitisse scribunt, alii, Eratosthenis nimirum asseclae, Troianis rebus annis 100 supparem, quidam ad Aristarchi mentem post alios annos centum, quibus Ionicae coloniae deducebantur; Philochorum rerum Ionicarum et coloniarum scriptorem qui sequuntur, circa unius perpetui Atheniensium principis Archippi videlicet aetatem annis ab excidio Troiano 180, qui Apollodoro Atheniensi favent, post res Iliacas annis 240, alii paulo ante institutas Olympiadas annos circiter a capta Troia 400, ultimi denique Archilochi auctoritate ad Olympiadem 23 ab urbis Troiae excidio annis 500 numeratis; et ut semel dicam eius aetas antiquis omnibus magno discrimine controvertitur.

Myrina, nonnullis Smyrna nuncupata, in Asia constructa est.

Ephesus in Asia ab Andronico fundata.

Cumae in Italia aedificatae.

Carthago a Tyrio Carchedone absoluta; ut vero nonnulli aestimant, a Didone eius filia, post res Troicas annis 133; prius autem Origo dicebatur.

Ordine tertio maris dominium obtinuere Thraces annis 79.

Strymone traiecto Bithyniam, Bebryciam olim dictam, Thraces occupaverunt.

Thraces maris domini.

Τέταρτοι ἐθαλασσοκράτησαν Ῥόδιοι, κατὰ δέ τινας πέμπτοι, ἔτη κγ'.

Κατὰ δέ τινας Ὅμηρος ἤκμαζε.

Φρύγες πέμπτοι ἐθαλασσοκράτησαν ἔτη κε'. κατὰ δέ τινας ἔτη ς'.

## ΚΟΣΜΟΥ ΕΤΗ.

Σολομὼν υἱὸς Δαβὶδ ἐβασίλευσε τοῦ Ἰσραὴλ ἔτη μ'. τοῦ δὲ κό- C
σμου ἦν ἔτος ͵δυο'.

Αὐτὸς τὸν ἐν Ἱερουσαλὴμ πρῶτον ναὸν ᾠκοδόμησε τῷ β' ἔτει τῆς βασιλείας αὐτοῦ, ἔνθα ὁ Δαβὶδ ὁ πατὴρ αὐτοῦ τὴν Σιὼν ἐπήξατο, σὺν αὐτῷ καὶ βασιλικοὺς οἴκους ἐκπρεπῶς δειμάμενος· πάντας τε τοὺς πλησιοχώρους βασιλεῖς δορυφόρους ἐκτήσατο. οὗτος ἐν σοφίᾳ θείᾳ καὶ ἀνθρωπίνῃ πλούτῳ τε καὶ δόξῃ πάντας τοὺς πρὸ αὐτοῦ ὑπερῆρε, μέγας καὶ θεοφιλὴς ἐν νεότητι φανεὶς, ἕως τοῦ παρατραπῆναι εἰς γυναικομανίαν. οὗ τὴν σοφίαν βασίλισσα νότου πόρρωθεν ἦλθεν ἀκοῦσαι, καὶ πολλοῖς προβλήμασι καὶ αἰνίγμασι τοῦτον πειράσασα πάντων ηὗρεν ἀνώ- D
τερον· ὅθεν καὶ τὴν νομικὴν πολιτείαν ἐξ αὐτοῦ μαθοῦσα τὸν ὑπ' αὐτῇ συνετῶς ἐξεπαίδευσε λαόν.

7. σολομὼν B. Σαλομὼν G. 9. πρῶτον] τὸν πρῶτον G. β' Bredovius. Vulgo ιβ'. 11. ἐκπρεπῶς B. εὐπρεπῶς A. εὐπρεπεῖς G. 12. δορυφόρους A. δωροφόρους BG. ἐκτήσατο A. ἐκτίσατο B. om. G. 15. τοῦ] τὸ G. 16. ἡ βασίλισσα G. 17. ηὗρεν B. εὗρεν G. 19. ἐπαίδευσε G.

Quarto loco maris principatum Rhodii assecuti sunt (alii ordine quinto reponunt) annis 23.

Hac aetate ex nonnullorum calculis Homerus florebat.

Phrygii quinto ordine maris domini annis 25, ex aliorum sensu non ulterius annis sex.

## MUNDI ANNI.

Salomon, filius David, regnavit in Israël annis 40, erat porro mundi annus 4470.

Templi Hierosolymorum primi ipse fundamenta posuit regni sui anno 12, ubi pater eius David tabernaculum in Sion fixerat; regias et ornatissimas aedes una cum templo construxit, regesque vicinos omnes, quorum donis colebatur, longo spatio superavit. Hic maiores suos divina humanaque sapientia antecessit, pietate summus et religione praestans iuveniles annos exegit, donec insano mulierum amore de mentis statu deturbatus est; eius sapientiam austri regina auditura remotis e regionibus venit, multisque dubiis et obscuris quaestionibus propositis, de eius scientia sumpto experimento, eruditis quibuscunque superiorem comperit; quocirca legum peritiam et iuris dicundi solertiam ab eo docta subiectum sibi populum prudenter deinceps instruxit.

Ἐπ᾽ αὐτοῦ προεφήτευον Νάθαν καὶ Ἀχίας ὁ Σιλωνίτης Σαμμαίας τε καὶ Ἀδδὼ καὶ Σαδώκ.

Σολομὼν τὸν ἐν Ἱερουσαλὴμ ναὸν ἀρξάμενος κτίζειν ἀπὸ δευτέρου ἔτους τῆς βασιλείας αὐτοῦ, ὅπερ ἦν ιδ´ τῆς ζωῆς αὐτοῦ, ἐν ζ´ ἔτεσιν ἐτελείωσεν, ὀγδόῳ ἔτει τῆς βασιλείας αὐτοῦ, κ´ δὲ ἔτει τῆς ζωῆς αὐτοῦ.

Εἰσὶν οὖν ἀπὸ Ἀδὰμ ἕως η´ ἔτους αὐτοῦ ἔτη ͵δυοη´, κατὰ δὲ τὸν Ἀφρικανὸν ͵δυνζ´, κατὰ δὲ Εὐσέβιον ͵δρο´, ἐκ δὲ τῶν θείων
P. 182 γραφῶν ἔξεστι καταμαθεῖν τῷ βουλομένῳ τὴν τοῦ ἡμετέρου λόγου ἀκρίβειαν.

Ἑβραίων ἀρχιερεὺς η´ ἀπὸ Ἀαρὼν Σαδὼκ ἐγνωρίζετο κατὰ τὸν Εὐσέβιον, κατὰ δὲ τὸν ἀκριβῆ λόγον ια´ ἐστὶν ὁ Σαδὼκ ἀπὸ Ἀαρὼν οὕτως· α´ Ἀαρὼν, β´ Ἐλεάζαρ, γ´ Φινεὲς, δ´ Ἀβιοὺδ, ε´ Βοχεὶ, ς´ Ὀζεὶ, ζ´ Ἠλεὶ, η´ Ἀχιτὼβ, θ´ Σαμουὴλ, ι´ Ἀβιάθαρ, ια´ Σαδώκ.

Ὁ Τυρίων βασιλεὺς ἀπέστειλε Σολομῶνι πρὸς βοήθειαν τῆς οἰκοδομῆς τοῦ ναοῦ μυριάδας ἀνδρῶν η´.

Εἰράμου τοῦ Τυρίων βασιλέως θυγατέρα ἔγημε Σολομὼν, ὡς Τατιανὸς ἱστορεῖ.

1. ἐπροφήτευον G. ἀχιὰς AB. *Τίνες προεφήτευον ἐπὶ Σολομῶντος τοῦ βασιλέως. Πότε ἤρξατο Σολομὼν κτίζειν τὸν ναὸν, καὶ πότε ἐτελείωσεν; β´. ἔτει τῆς βασιλείας ἤρξατο, καὶ ἐτελείωσεν τῆς ζωῆς αὐτοῦ, κ´. η´. τῆς βασιλείας* margo A. 4. ὅπερ — βασιλείας αὐτοῦ addidi ex B. 5. κ´ δὲ ἔτει τῆς] εἰκοστοῦ δὲ τῆς G. 8. ͵δυνζ´] ͵δυνξ´ B. 14. βοχεῖ AB. *Βοχᾶ* G. ὀζεῖ AB. ἠλεὶ A. Vulgo *Ἠλί*. οἰκοδομίας G. 18. *Εἰράμου*] σιράμου AB. *Αἰράμου* G. De hoc nomine dictum ab Hamakero Miscell. Phoenic. p. 209. ἔγημεν ὁ G. ὁ om. B.

Eius tempore Nathan, Achias Silonites, Sammaeas et Addo prophetiae dono clarebant.

Anno regni secundo Hierosolymorum templum aedificare Salomon aggressus est; perfecit aetatis vicesimo.

Ab Adamo igitur ad eius aetatis annum 8 anni numerantur 4478, ex Africani computo 4457, ex Eusebii 4170. Huius autem rei plenam investiganti notitiam ex sacrae scripturae testimoniis calculorum nostrorum integritatem et accuratam seriem fas est coniicere.

Hebraeorum post Aaron pontifex summus Sadoc recensetur octavus ex Eusebii scriptis, iuxta sanioris laterculi ordinem sede undecima reponitur, hoc pacto: 1 Aaron, 2 Eleazar, 3 Phineea, 4 Abiud, 5 Bocha, 6 Ozi, 7 Heli, 8 Achitob, 9 Samuel, 10 Abiathar, 11 Sadoc.

Tyriorum rex ad promovendum templi opificium myriadas hominum 8 misit ad Salomonem.

Irami Tyriorum regis filiam Salomon duxit uxorem, prout Tatianus narrat.

## Ἰωσήππου ἐκ τῆς Φοινίκων μαρτυρίας περὶ τῆς Τυρίων βασιλείας καὶ τοῦ ἐν Ἱεροσολύμοις ναοῦ. B

Ἔστι τοίνυν παρὰ Τυρίοις ἀπὸ παμπόλλων ἐτῶν γράμματα δημοσίᾳ γραφέντα καὶ πεφυλαγμένα λίαν ἐπιμελῶς, ἐν οἷς γέγραπται ὅτι ὁ ἐν Ἱεροσολύμοις ᾠκοδομήθη ναὸς ὑπὸ Σολομῶνος τοῦ βασιλέως ἔτεσι θᾶττον ρμγ´ καὶ μησὶν ὀκτὼ τοῦ κτίσαι Τυρίους Καρχηδόνα. ἀνεγράφη δὲ παρ' ἐκείνου οὐκ ἀλόγως ἡ τοῦ ναοῦ κατασκευὴ V. 146 τοῦ παρ' ἡμῖν. Σίρωμος γὰρ ὁ τῶν Τυρίων βασιλεὺς φίλος ἦν τοῦ βασιλέως ἡμῶν Σολομῶνος, πατρικὴν φιλίαν πρὸς αὐτὸν διαδε- C ξάμενος. οὗτος οὖν συμφιλοτιμούμενος εἰς τὴν τοῦ κατασκευάσματος τῷ Σολομῶνι λαμπρότητα χρυσίου μὲν εἴκοσι καὶ ἑκατὸν ἔδωκε τάλαντα· τεμὼν δὲ καλλίστην ὕλην ἐκ τοῦ ὄρους, ὃ καλεῖται Λίβανος, εἰς τὸν ὄροφον ἀπέστειλεν. ἀντεδωρήσατο δὲ αὐτῷ ὁ Σολομὼν ἄλλοις τε πολλοῖς καὶ διττὰ καὶ χώραν τῆς Γαλιλαίας ἐν τῇ Χαβόλῳ λεγομένῃ. μάλιστα δ' αὐτοὺς εἰς φιλίαν ἡ τῆς σοφίας συνήγαγεν ἐπιθυμία. προβλήματα γὰρ ἀλλήλοις ἀντέστελλον λύειν κελεύοντες, καὶ κρείττων ἐν τούτοις ἦν ὁ Σολομὼν καὶ τὰ ἄλλα σοφώτερος. σώζονται δὲ μέχρι δεῦρο παρὰ τοῖς Τυρίοις πολ- D λαὶ τῶν ἐπιστολῶν, ἃς ἐκεῖνοι πρὸς ἀλλήλους ἔγραφον. ὅτι δὲ οὐ λόγος ἐστὶν ὑπ' ἐμοῦ συγκείμενος ὁ περὶ τῶν παρὰ τοῖς Τυ-

1. Ἰωσήππου] Antiq. VIII, 2. c. Apion. I. 17. 18. Conf. Eusebium I, 17. p. 79. Ἰώσηππος G. 5. ὁ om. G. 5 et 9. σολόμωνος AB. Σολομῶντος G. 7. ἐκείνοις m. 11. εἴκοσι om. B. 15. Ζαβουλὼν m. φιλίαν ἡ τῆς] τὴν φιλίαν ἡ G. 16. ἐπήγαγεν G. 17. κρείττων m. κρείττω B. κρεῖττον G. 20. οὐ] ὁ G.

## Iosephus ex Phoenicum relationibus de Tyriorum regno et de Hierosolymorum templo.

Litterae publicis monimentis consignatae ab annis plurimis in hodiernum usque diem fideliter apud Tyrios asservantur, in quibus legitur, annis 143 et mensibus octo, priusquam a Tyriis Carthago construeretur, a Salomone rege Hierosolymis templum fuisse constructum. Nostri vero templi apparatus et ornatus scitissime ab eo describitur. Iromus enim Tyriorum rex summa necessitudine Salomoni regi nostro, paterno foedere ad eum servato, devinctus erat, mutuisque benevolentiae signis ab eo exceptus, ad praeparandae templi materiae cultum, Salomoni auri quidem talenta 120 donavit, et ex monte, cui nomen Libanus, ad tecti contignationem exstruendam, immensam excisorum lignorum silvam transmisit; aequali vero munerum pretio compensavit eum Salomon, tum aliis plerisque, tum etiam concessa Galilaeae regione Zabulon, Chabalonis appellationem sortita. Utrumque demum supra modum sapientiae studium ad invicem constrinxit; missis quippe mutuo dubiis quaestionibus, superior usquequaque ac scientia praestare Salomon visus est; et ad hanc usque tempora plures ex epistolis ad sese invicem missis apud Tyrios asservantur. Sane sermoni de Tyriorum litteris a me in medium prolato testem adiungam

ρίοις γραμμάτων παραθήσομαι μάρτυρα δεξιὸν ἄνδρα περὶ τὴν Φοινικικὴν ἱστορίαν ἀκριβῆ γεγονέναι πεπιστευμένον Δίωνα. οὗτος τοίνυν ἐν ταῖς περὶ Φοινίκων ἱστορίαις γράφει τὸν τρόπον τοῦτον „Ἀβιβάλου τελευτήσαντος υἱὸς αὐτοῦ Σίρωμος ἐβασίλευσεν. οὗτος τὰ πρὸς ἀνατολὰς μέρη τῆς πόλεως προσέχωσε καὶ μεῖζον τὸ ἄστυ ἐποίησε καὶ τοῦ Ὀλυμπίου Διὸς τὸ ἱερὸν καθ' ἑαυτὸ ὂν ἐν ἴσῳ χώσας τὸν μεταξὺ τόπον συνῆψε τῇ πόλει καὶ χρυσοῖς P. 183 ἀναθήμασιν ἐκόσμησεν. ἀναβὰς δὲ εἰς τὸν Λίβανον ὑλοτόμησε πρὸς τὴν τῶν ἱερῶν κατασκευήν. τὸν δὲ τυραννοῦντα Ἱεροσολύμων Σολομῶνα πέμψαι φασὶ πρὸς τὸν Σίρωμον αἰνίγματα καὶ παρ' αὐτοῦ λαβεῖν ἀξιοῦν· τὸν δὲ μὴ δυνηθέντα διακρῖναι τῷ λύσαντι χρήματα ἀποτίνειν. ὁμολογήσαντα δὲ τὸν Σίρωμον καὶ μὴ δυνηθέντα λῦσαι τὰ αἰνίγματα, πολλὰ τῶν χρημάτων εἰς τὸ ἐπιζήμιον ἀναλῶσαι. εἶτα δι' Ἀβδήμονόν τινα Τύριον ἄνδρα τά τε προτεθέντα λῦσαι καὶ αὐτὸν ἄλλα προβαλεῖν, ἃ μὴ λύσαντα τὸν Σολομῶνα πολλὰ τῷ Σιρώμῳ προσαποτῖσαι χρήματα." Δίων B μὲν οὕτως περὶ τῶν προειρημένων ἡμῖν μεμαρτύρηκεν. ἀλλὰ πρὸς τοῦτο παραθήσομεν καὶ Μένανδρον τὸν Ἐφέσιον. γέγραφε δ' οὗτος τὰς ἐφ' ἑκάστου τῶν βασιλέων πράξεις τὰς παρὰ τοῖς Ἕλλησι καὶ βαρβάροις γενομένας, ὅς φησι περὶ Σιρώμου· τελευτήσαντος δὲ Ἀβιβάλου διεδέξατο τὴν βασιλείαν ὁ υἱὸς αὐτοῦ Σίρω-

1. δεξιὸν] δῖον m. 5. τῆς πόλεως add. Bm. 7. ἐν νίσῳ m. 9. ὑλοτόμησε m. ὑλοτομῆσαι G. 12. Vulgo ἀποτείνειν. 14. Ἀβδήμονον m. Ἀβδάμονον G. 18. τοῦτον G. παραθήσομαι m. 19. οὗτος] οὕτως G. 20. γενομένοις G. ὅς m. ὡς G.

fidelissimum, Phoenicum videlicet historiae scriptorem diligentissimum et apud omnes fidem promeritum Dionem. Ille igitur sua de Phoenicibus narratione in hunc modum scribit: Abibalo vivis erepto filius eius Iromus regnavit, qui ad orientalem urbis plagam aggere comportato, ampliorem eam reddidit et Iovis Olympii templum ab omni vicinarum aedium strue seiunctum et in plano positum aggere interiecto, copulavit urbi immensisque ex auro donis appensis ditavit. E Libano quoque ad templorum apparatum silvam comportavit. Ferunt insuper Salomonem Hierosolymorum regem, missis obscuris quaestionibus ab Iromo responsum expetiisse ac pariter rogasse, ut aeque difficiles a se solvendas proponeret; eo pacto, ut qui nequiret exponere, ab interprete mulctam impositam exigeretur; conditione accepta cum Iromus dubia non potuisset enodare, in ignorantiae poenam magnam pecuniarum vim expendit. Abdemonum deinde Tyrium virum solvendorum huiusmodi aenigmatum peritum alia quaedam Salomoni proposuisse, circa quae cum dandi responsi fuisset impos repertus, Iromo non modicam pecuniarum summam exsolvit. Ita de his Dion testatus est; sed et Maenandrum Ephesium adiungamus." Singulorum quippe regum cum Graecorum, tum barbarorum gesta conscripsit et de Iromo nonnihil delibat. Abibalo vita functo, Iromus filius eius regnum excepit, qui vita

μος, ὃς βιώσας ἔτη νγ' ἐβασίλευσεν ἔτη λδ'. οὗτος ἔχωσε τὸν εὐρύχωρον, τόν τε χρυσοῦν κίονα ἐν τοῖς τοῦ Διὸς ἀνέθηκεν. ἐπί τε ὕλην ξύλων ἀπελθὼν ἔκοψεν ἀπὸ τοῦ Λιβάνου ὄρους κέδρινα ξύλα εἰς τὰς τῶν ἱερῶν στέγας. εἶτα ἐπὶ τούτου ἦν Ἀβδήμονος C παῖς νεώτερος, ὃς ἀεὶ ἐνίκα τὰ προβλήματα ἃ ἐπέτασσε Σολομὼν ὁ Ἱεροσολύμων βασιλεύς. ψηφίζεται δὲ ὁ χρόνος ἀπὸ τούτου τοῦ βασιλέως ἄχρι Καρχηδόνος κτίσεως οὕτως· Σίρωμος ἔτη λδ'. Βααλβάζερος υἱὸς ἔτη ιζ'. Ἀβδάσταρτος υἱὸς ἐβασίλευσεν ἔτη θ'. τοῦτον οἱ τῆς τροφοῦ αὐτοῦ τρεῖς παῖδες ἀνεῖλον· καὶ ἐβασίλευσεν ὁ πρεσβύτερος αὐτῶν· μεθ' ὃν Ἄσταρτος Ἐλεαστάρτου ιβ'. μεθ' ὃν Ἀσθάρυμος ἀδελφοῦ αὐτοῦ ἔτη θ'. ὃν ἀδελφὸς Φέλλης ἀνελὼν μῆνας η' ἐβασίλευσε. τοῦτον Εἰθόβαλος ὁ τῆς Ἀστάρτης βασιλεὺς κτείνας ἐβασίλευσεν ἔτη λβ'. μεθ' ὃν Βαλέζερος υἱὸς ἔτη η'. τούτου Μέτινος υἱὸς ἔτη κε'. μεθ' ὃν Μυγδαλίων Φυ- V. 147 σμανοῦν ἔτη μζ'. τούτου ἔτει ζ' ἡ ἀδελφὴ αὐτοῦ Καρθάγενα φυ- D γοῦσα ἐν Λιβύῃ πόλιν ἔκτισε Καρθάγεναν, τὴν καὶ Καρχηδόνα. ἔτει ιβ' τῆς Σιρώμου βασιλείας ὁ ἐν Ἱεροσολύμοις ναὸς ᾠκοδομήθη. γίνονται ἔτη ἀπὸ τούτου ἕως Καρχηδόνος οἰκοδομῆς ρμγ', μῆνες η'.

4. ἀβδήμοννος AB. 5. τὰ om. B. 6. δὲ] γὰρ B. 7. οὗτως AB. οὕτω G. 8. Βαλβάζερος G. Αὐδάσταρτος G. 9. αὐτοῦ om. G. 12. εἰθόβαλος B. Εἰθόβαλλος G. ἀστάρτης B. Ἀστάρτου G. 13. βασιλεὺς] ἱερεὺς m. Βάλζερος G. Vide Hamakeri Miscell. Phoenic. p. 181. 14. μέτινος A. μέτηνος B. Λετῖνος G. Μυγδαλίων] Πυγμαλίων m. φυσμανοῦν AB. Φυσιμανοῦν G. delet m. Vide Hamaker. l. c. p. 203. 15. ἔτει m. ἔτη G. Ὅτι Μυγδαλίωνος ἀδελφὴ Καρθάγεναν ἔκτισεν margo A. 16. καρθάγεναν B. Καρθάγενα G. 17. ἔτει B. ἔτη G.

ad annum 53 producta, 34 in regno exegit. Aggere composito, vastissimum exaequavit locum et auream columnam in Iovis templo consecravit; et ad lignorum silvam profectus, e Libano construendis templorum tectis cedros excidit. Eius aetate Abdemonus puer iunior clarebat, qui problematum a Salomone Hierosolymorum rege explicari iussorum difficultatem omnem ingenii subtilitate superabat. Spatium autem omne ab hoc rege usque ad Carthaginem conditam hoc pacto dimetiuntur. Iromus regnavit annis 34, Balbazerus filius annis 17, Audastartus filius annis novem. Hunc nutricis suae filii tres interfecerunt eiusque sedem senior eorum invasit; cui Astartus, Eleastarti filius, successit annis 12, hunc Astarymus fratris eius filius excepit annis 9, quem frater Phelles cum occidisset, mensibus 8 tyrannidem arripuit; cui vitamque regnumque ademit Ithoballus, Astartis sacerdos, qui deinde sceptra tenuit annis 32; post quem Balzerus filius sedem annis 8 occupavit, deinde Letinus eius filius annis 25, tum Pygmalion annis 47. Huius anno 7 soror nomine Carthagena fugiens in Libyam, civitatem Carthaginem aedificavit, Graecis dictam Carchedonem. Anno 12 regis Iromi templum Hierosolymis exstructum est. Ab huius imperio usque ad Carthaginis posita fundamenta fluxerunt anni 143 cum mensibus octo.

Σολομὼν ἐλάτρευσε τῇ Ἀστάρτῃ, καταλείψας τὸν θεὸν καὶ τῷ Χαμὼς βδελύγματι Μωαβιτῶν καὶ τῷ Μολὼχ Ἀμανιτῶν, γυναιξὶν ἐθνικαῖς ἀπατηθείς. εἶχε γὰρ ἑπτακοσίας γαμετὰς Ἰσραη-
P. 184 λίτιδάς τε καὶ ἐθνικὰς, τριακοσίας δὲ παλλακάς. πάσας δὲ τὰς ἐθνικὰς παρὰ τὴν θείαν ἐντολὴν ἠγάγετο. ἕνα δὲ μόνον ἔσχεν ἄρσενα, καὶ τοῦτον ἐξ ἀλλοφύλου Ναάμας τῆς Ἀμανίτιδος ἀνάξιον τῆς ἀρχῆς.

Ἀχίας ὁ Σιλωνίτης προεφήτευσε τῷ Ἱεροβωὰμ ὅτι βασιλεύσει τῶν ι' φυλῶν, ὅπερ ἀκούσας Σολομὼν ἐζήτει ἀνελεῖν τὸν Ἱεροβωάμ. ὁ δὲ προσφυγὼν τῷ Σουσακεὶμ βασιλεῖ Αἰγύπτου γαμβρὸς αὐτοῦ γίνεται ἐπὶ θυγατρὶ, καὶ μετὰ θάνατον Σολομῶνος κρατεῖ τῶν αὐτῶν ι' φυλῶν.

Τῷ ,δφζ' ἔτει τοῦ κόσμου Σολομὼν ἐτελεύτησε, καὶ ἐσχίσθη
B ἡ βασιλεία τῶν υἱῶν Ἰσραὴλ εἰς δύο κατὰ τὴν θείαν ἀπόφασιν τὴν ἐξενεχθεῖσαν κατὰ Σολομῶνος καὶ τοῦ υἱοῦ αὐτοῦ, πρὸς Ἱεροβωὰμ, δι' Ἀχία τοῦ Σιλωνίτου. καὶ ἐβασίλευσε Ῥοβωὰμ υἱὸς αὐτοῦ ἐν Ἱερουσαλὴμ τῶν δύο φυλῶν, τοῦ τε Ἰούδα καὶ τοῦ Βενιαμίν· αἱ δὲ ἄλλαι ι' φυλαὶ τοῦ Ἰσραὴλ ἐβασίλευσαν ἑαυταῖς ἐν Σαμαρείᾳ τὸν Ἱεροβωὰμ δοῦλον Σολομῶνος, καὶ ἔμειναν οὕτω διῃρημέναι αἱ δύο βασιλεῖαι ἕως τῆς εἰς Χαλδαίους αἰχμαλωσίας.

2. χαμῶς AB. 4. παλλακίδας G. 6. ἄῤῥενα G. 8. 9 et 15. ἱεροβωὰμ B. Ιερωβοὰμ G. 9. ι'] ιβ' G. 11. 15 et 19. Vulgo Σολομῶντος. 13. „Infra ,δφι'." m. 16. δι' ἀχιᾶ A. διὰ ἀχιᾶ B. δι' Ἀχίου G. ἐβασίλευσεν ῥοβωὰμ B. ἐβασίλευσεν ὁ Ροβοὰμ G. 17. ἐν] ἐν τοῦ G. 19. ἱεροβωὰμ B. ἱερωβοὰμ A. Ιεροβοὰμ G. δοῦλον τοῦ G. 20. εἰς Χαλδαίους om. G.

Salomon relicto deo, Astarten et Chamos Moabitarum execrandum idolum, et Moloch Ammonitarum deum, a mulieribus gentilibus seductus coluit. Septingentas autem sive ex Israël sive ex gentibus uxores selectas penes se habuit, pellices ter centum; gentilesque huiusmodi dei mandatum praetergressus duxit. Ex cunctis porro solum unum marem filium suscepit, eundemque alienigenae mulieris Naamae Ammanitidis copula procreatum et imperio penitus indignum.

Achias Silonites praedixit Hieroboam decem tribuum imperio potiturum; quo audito necis Hieroboam inferendae captabat Salomon occasionem. Ille vero ad Susacim Aegypti regem fugiens, gener eius filia ducta efficitur; mortuoque Salomone tribuum decem principatum assequitur.

Anno mundi 4510 Salomon excessit e vivis et dei sententia in Salomonem et eius filium lata, per Achiam prophetam ad Hieroboam, regnum filiorum Israël in duas partes divisum est; duarumque tribuum, Iuda nimirum et Beniamin, Roboam obtinuit imperium in Hierusalem; aliae vero decem Israël tribus Hieroboam Salomonis servum sibi praefecerunt regem in Samaria; et utrumque regnum ab alio divisum permansit usque ad captivitatem.

### *Αἰγυπτίων βασιλεῖς.*

*Αἰγυπτίων οβ' ἐβασίλευσεν Ὀσόρθων ἔτη ιε'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δχξ'.* C

*Αἰγυπτίων ογ' ἐβασίλευσε Τακαλῶφις ἔτη ιγ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δχοε'.*

*Αἰγυπτίων οδ' ἐβασίλευσε Βόκχωρις ἔτη μδ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δχπη'.*

*Βόκχωρις Αἰγυπτίοις ἐνομοθέτει, ἐφ' οὗ λόγος ἀρνίον φθέγξασθαι.*

*Αἰγυπτίων οε' ἐβασίλευσε Σαβάκων Αἰθίοψ ἔτη ιβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δψλβ'.*

*Οὗτος τὸν Βόκχωριν αἰχμάλωτον λαβὼν ζῶντα ἔκαυσεν.*

*Αἰγυπτίων ος' ἐβασίλευσε Σεβήχων ἔτη ιβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δψνς'.* D

### *Λατίνων βασιλεῖς.*

*Λατίνων ζ' ἐβασίλευσεν Ἀγχίσης Σιλουΐου ἔτη ι'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δφκ'.*

*Λατίνων η' ἐβασίλευσεν Αἰγύπτιος Σιλουΐος ἔτη κ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δφλ'.*

*Λατίνων θ' ἐβασίλευσε Κάπυς Σιλουΐος ἔτη λδ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δφν'.*

*Λατίνων ι' ἐβασίλευσε Τιβέριος ἔτη μη', ἀφ' οὗ καὶ ὁ ποταμὸς*

2. ὀσόρθων AB. Οσορθὼν G. 4. τακαλώφις B. τακελώφης A. Τακελόφης G. 6. βόκχορης (sic) B. βόκχαρις A. μδ'] μ' B. 8. βόκχωρης B. λόγος om. G. φθέγξασθαι B. ἐφθέγξατο AG. 10. ἔτη ιβ' αἰθίωψ B. 14. ,δψμδ' m. 18. κ'] λδ' B. 19. ,δφλ' m. ,δφλη' G. 20. κάππυς B. Κάσκος G. Κάπυς Scaliger p. 36. λδ' AB. λα' G. 22. Legebatur ἔτη ν'. ἔτη η' AB: ergo scribendum ἔτη μη'. ἀφ' οὗ — καλούμενος G posuit post ,δφκα'. Transposui auctore B. καὶ ὁ add. B.

### Aegyptiorum reges.

Aegyptiorum rex 72 Osorthon annis 15; erat porro annus mundi 4660.
Aegyptiorum rex 73 Tacelophes annis 13, mundi vero 4675.
Aegyptiorum rex 74 Bocchoris annis 44, mundi vero 4688.
Bocchoris Aegyptiis leges ponebat, sub quo agnus est locutus.
Aegyptiorum rex 75 Sabacon Aethiops annis 12, mundi vero 4732.
Hic Bocchorim factum captivum combussit vivum.
Aegyptiorum rex 76 Sebechon annis 12, erat vero mundi 4744.

### Latinorum reges.

Latinorum rex 7 Anchises Sylvii annis 10; erat vero mundi 4520.
Latinorum rex 8 Aegyptius Sylvius annis 20, mundi vero 4530.
Latinorum rex 9 Capis Sylvius annis 31, mundi vero 4550.
Latinorum rex 10 Tiberius annis 51, mundi vero 4581.

P. 185 Τίβερος προσηγορεύθη, ὁ πρὶν Ἀλβὰς καλούμενος. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δφπδʹ.

V. 148 Λατίνων ιαʹ ἐβασίλευσεν Ἀρέμουλος Σιλούϊος ἔτη ιθʹ. οὗτος ἐκεραυνώθη διὰ πολλὴν ἀσέβειαν. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δχλβʹ.

### Ἀθηναίων βασιλεῖς.

Ἀθηναίων κʹ ἐβασίλευσεν Ἄρχιππος Ἀκάστου ἔτη ιθʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δυπζʹ.

Ἀθηναίων καʹ ἐβασίλευσε Θέρσιππος Ἀρχίππου ἔτη μʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δφϛʹ.

Ἀθηναίων κβʹ ἐβασίλευσε Φόρβας Θερσίππου ἔτη λʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δφμϛʹ.

B Ἀθηναίων κγʹ ἐβασίλευσε Μεγακλῆς Φόρβαντος ἔτη κηʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δφοϛʹ.

Ἀθηναίων κδʹ ἐβασίλευσε Διόγνητος Μεγακλέους ἔτη κηʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δχδʹ.

Ἀθηναίων κεʹ ἐβασίλευσε Φερεκλῆς Διογνήτου ἔτη ιθʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δχλβʹ.

Ἀθηναίων κϛʹ ἐβασίλευσεν Ἀρίφρων Φερεκλέους ἔτη κʹ. κατὰ δὲ Ἀφρικανὸν ἔτη λαʹ. κατὰ τοῦτον τὸν Ἀρίφρονα ἡ τῶν Ἀσσυρίων κατελύθη ἀρχή, ὡς πάντες συμφωνοῦσι. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δχναʹ.

2. ͵δφπδʹ AB. ͵δφπαʹ G. 6. Vulgo Ἀκάτου. 7. ͵δυπζʹ Bm. ͵δυπθʹ G. 10. φορβὰς B. 13. ͵δφοϛʹ m. ͵δφοʹ G. 14. διόγνηστος A. 19. τὸν om. B. 20. πάντες Bm. πάντα G.

Ab eo fluvius, prius Albas vocatus, Tiberis nomine est insignitus.

Latinorum rex 11 Aremulus Sylvius annis 19, qui etiam ob summam impietatem fulmine percussus est; mundi vero 4632.

### Atheniensium reges.

Atheniensium rex 20 Archippus, Acati filius, annis 19, mundi vero 4487.

Atheniensium rex 21 Thersippus, Archippi filius, annis 40, mundi vero 4506.

Atheniensium rex 22 Phorbas, Thersippi filius, annis 30, mundi vero 4546.

Atheniensium rex 23 Megacles, Phorbantis filius, annis 28, mundi vero 4576.

Atheniensium rex 24 Diognetus, Megaclis filius, annis 28, mundi vero 4604.

Atheniensium rex 25 Phereclos, Diogneti filius, annis 19, mundi vero 4632.

Atheniensium rex 26 Ariphron, Phereclis filius, annis 20, secundum Africanum annis 31. Huius Ariphronis tempore regnum Assyriorum deletum est, ut omnes consentiunt; mundi vero 4651.

### Λακεδαιμονίων βασιλεῖς. C

Λακεδαιμονίων ϛʹ ἐβασίλευσεν Ἀγησίλαος ἔτη μαʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,δφξζʹ.

Λακεδαιμονίων ζʹ ἐβασίλευσεν Ἀρχέλαος ἔτη ξʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,δχηʹ.

Λακεδαιμονίων ηʹ ἐβασίλευσε Τήλεκλος ἔτη μʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,δχοʹ.

Λακεδαιμονίων θʹ ἐβασίλευσεν Ἀλκαμένης ἔτη λζʹ. οὗτος τελευταῖός ἐστι τῆς πρώτης οἰκίας. τῆς δὲ δευτέρας οἰκίας κατὰ τοὺς αὐτοὺς χρόνους ἐβασίλευσαν ἓξ βασιλεῖς. τοῦ δὲ κόσμου ἦν ἔτος ,δψθʹ.

Ἀπολλόδωρος Λυκούργου νόμιμα ἐν τῷ ηʹ Ἀλκαμένους. D

Ἐν Λακεδαιμονίᾳ πρῶτος ἔφορος κατεστάθη.

### Κορινθίων βασιλεῖς.

Κορινθίων ζʹ ἐβασίλευσεν Εὔδημος ἔτη κεʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,δχλαʹ.

Κορινθίων ηʹ ἐβασίλευσεν Ἀριστομήδης ἔτη λεʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,δχνζʹ.

Κορινθίων θʹ ἐβασίλευσεν Ἀγήμων ἔτη ιϛʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,δχϟβʹ.

Κορινθίων ιʹ ἐβασίλευσεν Ἀλέξανδρος ἔτη κεʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,δψηʹ.

2. μαʹ] μδʹ AB. 6. Τήλεκλος Scaliger p. 37. Vulgo Τήλεκτος. τίλεκτος B. 7. ,δχξηʹ m. 8. ἀλκμένης B. οὗτος — ἓξ βασιλεῖς G posuit post ,δψθʹ. ,δψθʹ] ,δψηʹ m. 12. ἀλκμένους B. χρόνοις τοὺς Λακεδαιμονίους καταδεχθῆναι γράφει addit m. 15. κεʹ B. καʹ G. κϛʹ m. 17. λεʹ Bm. λαʹ G.

### Lacedaemoniorum reges.

Lacedaemoniorum rex 6 Agesilaus annis 41, mundi vero 4567.
Lacedaemoniorum rex 7 Archelaus annis 60, mundi vero 4608.
Lacedaemoniorum rex 8 Telectus annis 40, mundi vero 4668.
Lacedaemoniorum rex 9 Alcamenes annis 37, mundi vero 4708.

Primae stirpis fuit hic postremus. Ex secunda stirpe per eadem tempora reges sex ad solium provecti sunt.

Alcamenis aetate Lycurgi leges Lacedaemonios suscepisse scribit Apollodorus libro octavo.

Lacedaemone primus Ephorus magistratus instituitur.

### Corinthiorum reges.

Corinthiorum rex 7 Eudemus annis 26, mundi vero 4631.
Corinthiorum rex 8 Aristomedes annis 35, mundi vero 4657.
Corinthiorum rex 9 Agemon annis 11, mundi vero 4692.
Corinthiorum rex 10 Alexander annis 25, mundi vero 4708.

P. 186 Κορινθίων ια' ἐβασίλευσε Τελέστης ἔτη ιβ', τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψλγ'.

Κορινθίων ιβ' ἐβασίλευσεν Αὐτομένης ἔτος ἕν. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψμε'.

Οἱ Λακεδαιμονίων βασιλεῖς καὶ οἱ Κορινθίων ἕως τοῦδε τοῦ χρόνου διήρκεσαν ἔτεσι τν', μεθ' οὓς ἐνιαύσιοι πρυτάνεις, ὡς μὲν τινὲς, ἐπὶ Αἰσχύλου ἄρχοντος καὶ τῆς πρώτης ὀλυμπιάδος, ὡς δὲ ἕτεροι, μετὰ ταῦτα, ὡς πρόκειται.

V. 149

## ΚΟΣΜΟΥ ΕΤΗ.

B

### Βασιλέων Ἰούδα καὶ Βενιαμὶν ἔτη.

Ὧν πρῶτος ἐβασίλευσε Ῥοβωὰμ υἱὸς Σολομῶνος ἔτη ιζ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δφι'.

Ῥοβωὰμ υἱὸς Ναάμας τῆς Ἀμανίτιδος μόνος ἄρσην ἐγένετο παῖς τῷ Σολομῶνι ἐκ χιλίων γυναικῶν, καὶ αὐτὸς ἀνάξιος τῆς βασιλείας, ὡς ἀλλοφύλου γέννημα μητρός. τούτῳ πολεμῶν ὁ Ἱεροβωὰμ οὐκ ἐπαύετο, αὐτός τε σὺν τῷ Ἰούδα τοῖς εἰδώλοις προσέσχε καὶ τελευτᾷ βασιλεύσας ἔτη ιζ'.

C Τῷ ε' ἔτει Ῥοβωὰμ υἱοῦ Σολομῶν, τοῦ δὲ κόσμου ͵δφιζ', ἀνέβη Σουσακεὶμ βασιλεὺς Αἰγύπτου ἐπὶ Ἱερουσαλὴμ καὶ ἔλαβε πάντας τοὺς θησαυροὺς οἴκου κυρίου καὶ τοὺς θησαυροὺς οἴκου τοῦ βασιλέως καὶ πάντα τὰ ὅπλα τὰ χρυσᾶ.

1. Vulgo Τελεστής. 2. ͵δψλγ' Bm. ͵δψμε' G. 3 et 4 om. A. 6. ἔτεσι] σχεδὸν add. m. 9. ἔτος A. 10. Conf. Euseb. I, 17. p. 84. 11. ῥοβωὰμ B hic et infra. Ροβοὰμ G. 13. ἄρσην] Vulgo ἄρσυς. ἄρσις A. 18. Τῷ ε'] ε' om. G. Vid. Paralip. II. 12, 2. ͵δφιδ' m. 20. κυρίου — οἴκου om. B.

Corinthiorum rex 11 Telestes annis 12, mundi vero 4733.
Corinthiorum rex 12 Automenes anno uno, mundi vero 4745.
Lacedaemoniorum Corinthiorumque reges hucusque perseveraverunt annis ferme 350, quibus annui magistratus successerunt, ut nonnulli quidem sentiunt, circa Aeschyli archontis aetatem et primam Olympiadem, ut vero alii, etiam multo serius, ut manifestum est.

## MUNDI ANNI.

### Regum Iuda et Beniamin anni.

Quorum primus regnavit Roboam filius Salomonis annis 17, mundi vero 4510.

Roboam filius Naama Ammanitidis solus ex mille feminis Salomoni compressis masculeo sexu natus est, sceptro penitus indignus, ceu matris alienigenae foetus. Illum armis lacessere nunquam destitit Hieroboam; idemque cum Iuda idolorum cultorem se exhibuit; moriturque regno potitus annis 17.

Anno Roboam filii Salomonis 5, mundi vero 4514, Susacim rex Aegypti adscendit in Hierusalem et tulit omnes thesauros domus domini et thesauros regiae domus et arma cuncta aurea.

Ὁ Ἀβιὰ πολεμῶν τῷ Ἱεροβωὰμ ἀπέκτεινε τοῦ Ἰσραὴλ μυριάδας ν΄.

Τοῦ Ἰούδα ἐβασίλευσε β΄ Ἀβιὰ υἱὸς Ῥοβωὰμ ἔτη γ΄. τοῦ δὲ κόσμου ἦν ἔτος ,δφκζ΄.

Τοῦ Ἰούδα γ΄ ἐβασίλευσεν Ἀσὰ υἱὸς Ἀβιὰ ἔτη μα΄. τοῦ δὲ κόσμου ἦν ἔτος ,δφλ΄. D

Οὗτος ἀποστὰς τῆς πατρικῆς ἀσεβείας τὰ εἴδωλα καθεῖλε καὶ τὰ ἄλση ἐξέκοψε, τὴν ἑαυτοῦ τε μητέρα ἔπαυσε τοῦ εἰδωλομανεῖν.

Οὗτος Ζαρὲ τὸν Αἰθίοπα κατὰ τῆς Ἰουδαίας στρατεύσαντα μετὰ πλήθους Λιβύων ἐτροπώσατο ἐν μυριάσιν ρ΄ ἐπελθόντα.

Ἑβραίων ἀρχιερεὺς Ἀβιμέλεχ ἐγνωρίζετο.

Προεφήτευον δὲ Ἀχιὰ Σαμαίας καὶ ὁ ἐπὶ τοῦ ἐν Σαμαρείᾳ θυσιαστηρίου Ἰηού, Ἰωήλ, Ἀζαρίας ὁ καὶ Ἀδδὼ καὶ ὁ υἱὸς αὐτοῦ Ζαχαρίας ὁ καὶ Ἰωδή, Ἀνανὶ καὶ Ἰωπᾶς.

Τοῦ Ἰούδα ἐβασίλευσε δ΄ Ἰωσαφὰτ υἱὸς Ἀσὰ ἔτη κε΄. τοῦ δὲ κόσμου ἦν ἔτος ,δφοα΄.

Καὶ οὗτος εὐσεβής, ὡς ὁ πατὴρ αὐτοῦ Ἀσά, ἐξάρας τὴν P. 187 εἰδωλολατρείαν, πλὴν τῶν ὑψηλῶν. οὗτος τῷ Μωϋσέως νόμῳ τὸν Ἰσραὴλ ἐξεπαίδευσε. πρὸς Ἀχαὰβ δὲ εἰρηνεύων κατεγινώσκετο.

Προεφήτευεν Ἰηού, προεφήτευεν Ἀνανί, προεφήτευον παρ'

1. ὁ ἀβιὰ B. οβιᾶ A. Ἀβιᾶ G. 5. Τοῦ δὲ G. δὲ om. B. 10. ζοραὶ A. ζαραῒ B. Ἐζοραὶ G. Ζαρὲ correctum ex Paralip. II. 14, 9. 13. ἀχιὰ AB. Ἀχίας G. 15. ἀνανὶ B. Ἀνανία G. 19. εἰδωλολατρίαν B. τῷ B. τὰ G. 20. δὲ om. G.

Abias bello cum Hieroboam decertans Israëlitarum myriadas 50 delevit.

Iuda rex 2 Abias filius Roboam annis 3, mundi vero 4527.

Iuda rex 3 Asa filius Abiae annis 41, mundi vero 4530.

Hic patris impietate relicta cultum idolorum abrogavit, lucos excidit et ipsam matrem ab insana simulacrorum religione compescuit

Idem Zare Aethiopem centum myriadibus hominum in Iudaeam irrumpentem, eamque populorum Libyae multitudine vastare parantem, in fugam vertit.

Abimelech Hebraeorum pontifex agnoscebatur.

Spiritu prophetiae clarebant Achias, Samaeas, et adversus Samariae altare Iehu, Ioël, Azarias et Addo et filius eius Zacharias, qui Iode dictus est, Ananias et Iopas.

Iuda rex 4 Iosaphat filius Asa annis 25, mundi vero 4571.

Ipse quoque patris pietatem imitatus idolorum cultum, demptis excelsorum sacrificiis, abrogavit; Mosis instituta Israël edocuit et cum Achaab foedus et pacem iniisse damnatus est.

Prophetiae lumine Iu, Ananias, Elias, Abdias, Oziel, Michaeas apud

*Ἑβραίοις Ἡλίας, Ἰηού, Ἀβδιού, Ὀζιήλ, Μιχαίας. ψευδοπροφῆται δὲ Σεδεκίας, Ἐλιέζερ καὶ ἕτεροι.*

*Ἰωσαφὰτ σὺν τῷ Ἀχαὰβ ἦν πολεμῶν, τῶν ἀλλοφύλων ἐπὶ Ἰωσαφὰτ καὶ τῶν Ἰουδαίων συνελθόντων ἀλλήλους κατέσφαξαν θείᾳ ῥοπῇ.*

*Τοῦ Ἰούδα ε' ἐβασίλευσεν Ἰωρὰμ υἱὸς Ἰωσαφὰτ ἀσεβὴς ἔτη η'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δφϟϛ'.*

B *Οὗτος ἀνεῖλε τοὺς ἰδίους ἀδελφοὺς καὶ ἐκ τῶν ἀρχόντων τοῦ λαοῦ, δεινῶς τε νοσήσας τὰ ἔντερα σὺν τῇ κοιλίᾳ κατέσπασε.*

*Τούτου τῷ ζ' ἔτει Ἡλίας ὁ Θεσβίτης ἀνελήφθη. τοῦ δὲ κόσμου ἦν ἔτος ,δχβ'.*

*Προεφήτευον Ἀμὼς καὶ Ἐλισσαῖος.*

*Οὗτος γαμβρὸς ἦν τοῦ Ἀχαὰβ καὶ τῆς Ἰεζάβελ ἐπὶ θυγατρὶ Γοθολίᾳ.*

V. 150 *Τοῦ Ἰούδα ϛ' ἐβασίλευσεν Ὀχοζίας υἱὸς Ἰωρὰμ ἔτος ἕν. τοῦ δὲ κόσμου ἦν ἔτος ,δχδ'.*

C *Τοῦ Ἰούδα ζ' ἐβασίλευσε Γοθολία μητὴρ Ὀχοζία, θυγάτηρ Ἀχαάβ, ἣν ἐλιθοβόλησεν ὁ λαὸς κατὰ πρόσταξιν Ἰωδαὲ τοῦ ἀρχιερέως ἔτη ζ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δχε'.*

*Αὕτη καθεῖλε τὸν οἶκον τοῦ θεοῦ.*

[*Τοῦ Ἰούδα η' ἐβασίλευσεν Ἰωὰς ἔτη μ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δχιγ'.*]

1. ὀζειὴλ B. 3. ἀχὰβ B. 4. κατασφαξάντων m. 10. τούτου Bm. τούτῳ G. θεσβήτης B. 12. *Αμὼς* m. *Αμμὼς* G. 14. Vulgo *Γοδολίᾳ*. 16. ,δχδ' m. ,δχιδ' G. 18. ἰωδαὲ B. Ιουδαὲ G. 19. ,δχε' m. ,δχιϛ' G. 20. *Αὐτὴ* G. 21 et 22 om. AB. Suppleverat Scaliger p. 37.

Hebraeos ornabantur; Sedecias, Eliezer et alii falsis vaticiniis attendebant.

Iosaphat belli socium se adiunxit Achaab. Alienigenae adversus Iosaphat et Iudaeos irruentes mutua se caede divino nutu peremerunt.

Iuda rex 5 Ioram filius Iosaphat impietati deditus annis 8, mundi vero 4596.

Hic fratres proprios et populi proceres e medio sustulit et viscerum tormine agitatus moto ventris profluvio animam reddidit.

Huius anno 7 Elias Thesbites ex hominum convictu assumptus est; erat porro mundi 4602.

Amos et Elissaeus vaticiniis clari.

Ioram, Achaab et Iesabel ducta eorum filia Gotholia gener fuit.

Iuda rex 6 Ochosias filius Ioram anno uno; erat vero mundi 4604.

Iudae regnum septima tenuit Gotholia mater Ochoziae, Achaab filia, a populo Iodae pontificis iussu lapidibus obruta est; regnat autem annis 6, mundi vero 4605.

Haec sacras dei aedes destruxit.

Iuda rex octavus Ioas annis 40, mundi vero 4613.

Ἰωὰς ἀνῳκοδόμησε τὸν οἶκον τοῦ θεοῦ, ὃν καθεῖλε Γοθολία.

Μετὰ δὲ ταῦτα εἰδωλολατρεῖ καὶ ἀναιρεῖ Ζαχαρίαν τὸν προφήτην τὸν υἱὸν Ἰωδαὲ τοῦ ἀρχιερέως παραινοῦντα αὐτῷ τὰ πρὸς ἐπιστροφήν. τοῦτον ἀπέκτειναν οἱ παῖδες αὐτοῦ τῷ μ' ἔτει τῆς D βασιλείας αὐτοῦ.

Ἰωδαὲ θεοφιλὴς ἀρχιερεὺς ἐγνωρίζετο βιώσας ἔτη ρλ' μόνος ἀπὸ τῶν χρόνων Μωϋσέως. τούτου υἱὸς Ζαχαρίας προεφήτευσε καὶ Ἐλισσαῖος. τὸν Ἰωὰς εἰδωλομανοῦντα παρῄνει καὶ τὸν λαὸν Ζαχαρίας ὁ προφήτης υἱὸς Ἰωδαὲ ἀποστῆναι, ὃν διὰ τοῦτο ἐν τῷ ναῷ ἀνεῖλεν Ἰωάς.

Παρ' Ἑβραίοις Ζαχαρίας ὁ προφήτης ἀναιρεῖται ὑπ' Ἰωὰς τοῦ βασιλέως, ἐν ἄλλῳ δὲ Ἀζαρίας.

Ἐλισσαῖος ὁ προφήτης ἐτελεύτησεν ἔτει λζ' τοῦ Ἰωάς. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δχμη'.

Δύναμις Συρίας τὸν Ἰούδαν καὶ τοὺς ἄρχοντας αὐτοῦ ἀπέκτεινε.

## ΚΟΣΜΟΥ ΕΤΗ. P. 188

### Βασιλέων Ἰσραὴλ δέκα σκήπτρων ἔτη.

Ὧν πρῶτος ἐβασίλευσεν Ἱεροβωὰμ ἐν Σαμαρείᾳ ἔτη κβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δφιγ'.

Ἱεροβωὰμ δοῦλος μὲν ἦν Σολομῶνος, πόρνης δὲ υἱός. τούτῳ ἐγένοντο υἱοὶ κη' καὶ θυγατέρες ξζ'.

1. ἀνοικοδόμησεν B. 3. αὐτῷ B. αὐτὸν G. 4. μ' B. Μωσέως G. 5. αὐτοῦ B. Ναυῇ G. 6. ἰουδαὲ A. 7. ἐπροφήτευσεν G. 14. ͵δχμθ' m. 15. ἰούδαν B. Ἰούδα G. ἀπέκτειναν G. 19. ἱεροβωὰμ B constanter. Ἱεροβοὰμ G constanter. 21. μὲν δοῦλος G. τούτῳ δὲ G. 22. ξζ'] ξ' B.

* Ioas dei domum a Gotholia deiectam reparavit.

Ipse demum idolis addictus Zachariam prophetam pontificis Iodae filium poenitentiam consulentem trucidavit, et a filiis interfectus est.

Iodae religiosus pontifex clarebat; solus a Mosis temporibus annis 130 vixit. Huius filius Zacharias et Elissaeus prophetiae dono illustres. Ioas regem populumque idolorum cultui deditum Zacharias filius Iodae propheta dato flagitii deserendi consilio commonens occiditur in templo.

Zacharias Hebraeis dictus, ab aliis vero Azarias, propheta a rege Ioas vita privatur.

Elissaeus propheta moritur anno Ioas 37, mundi vero 4649.

Validus Syriae exercitus Iudae regnum eiusque proceres delevit.

## ANNI MUNDI.

### Regum Israël ac sceptrorum decem anni.

Quorum primus fuit Hieroboam in Samaria annis 22, mundi vero 4513.

Servus quidem Salomonis fuit Hieroboam, meretricis vero filius. Illi filii 28 nati, filiae 67.

*Προεφήτευον ὁ οἰκῶν ἐν Βαιθὴλ καὶ ὁ ἐπὶ τοῦ θυσιαστηρίου* [B] *εὑρὼν αὐτὸν ὁ ἐξ Ἰούδα προφήτης ἐλθών, θύοντα ταῖς χρυσαῖς δαμάλεσι, καὶ προφητεύσας αὐτῷ περὶ Ἰωσίου ἐξ οἴκου Δαβὶδ τεχθησομένου βασιλέως καὶ ἀναιρήσοντος τοὺς τῶν εἰδώλων ἱερεῖς ἐπὶ τὸ θυσιαστήριον ὑπερράγη, ἐν ᾧ Ἱεροβωὰμ ἐπέθυε· συλλαβεῖν δὲ αὐτὸν προστάξας τὴν χεῖρα ξηραίνεται, καὶ δεηθεὶς τοῦ προφήτου θεραπεύεται. ὁ δὲ προφήτης ἐπανιὼν ὑπὸ τοῦ λέοντος διεφθάρη, ὅτι μετέσχε τροφῆς παρὰ τῷ ἄλλῳ προφήτῃ τῷ ἐν Βαιθὴλ, ἀπατηθεὶς ὑπ' αὐτοῦ, ὃν καὶ ἐφύλαξεν ὁ θήρ, ἕως ἐλθὼν ὁ ἀπατήσας αὐτὸν παρελθεῖν τὴν θείαν ἐντολὴν ἔθα-* [C] *ψεν αὐτόν. τὰς δύο χρυσᾶς δαμάλεις διὰ τοῦτο ἐποίησεν, ἐκκόψαι θέλων, ὥς φασι, τὸν ὑπ' αὐτὸν λαὸν τῆς εἰς Ἱερουσαλὴμ ἀνόδου ὁ Ἱεροβωάμ.*

*Τοῦ Ἰσραὴλ β' ἐβασίλευσε Ναδὰβ ἔτη β'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δφλε'.*

*Τοῦ Ἰσραὴλ γ' ἐβασίλευσε Βαασὰ υἱὸς Ἀχιὰ ἔτη κδ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δφλζ'.*

*Οὗτος τὸν Ναδὰβ ἀνελὼν υἱὸν Ἱεροβωὰμ ἐβασίλευσε τοῦ Ἰσραήλ. ὁ αὐτὸς ἐπολέμει τῷ Ἀσὰ βασιλεῖ Ἰούδα ἀνελθὼν ἐν* [V. 151] *Ῥαμά. Ἀσὰ δὲ χρήμασι φιλωθεὶς τῷ βασιλεῖ Συρίας υἱῷ Ἄδερ* [D] *τοῦτον ἔπεισεν ἀντιπορθεῖν τὰς πόλεις τοῦ Ἰσραήλ, καὶ οὕτως ἀπέστη Βαασὰ ἐκ τῆς Ῥαμά.*

1. *βεθὴλ ὁ καὶ ἐπὶ* B. 2. *ἐλθὼν προφήτης* G. 4. *τεχθησόμενον* AB. 6. *αὐτὸν* Bm. *αὐτῷ* G. 9. *βεθὴλ* B. 11. *ἐκκόψαι* Bm. *ἐγκόψαι* G. 12. *φασι* B *φησι* G. *αὐτὸν*] *αὐτοῦ* G. 18. *ἀδὰβ* A. 20. *συρίας* B. *Ἀσσυρίας* G.

Vaticinabantur prophetae, tum qui Baethel incolebat, tum is, qui ex Iuda venit et iuvencis aureis in altari ipso immolantem Hieroboam reperit, a quo vaticinio de Iosia e domo David nascituro et idolorum sacerdotes super altari mactaturo libere pronunciato, altare quo sacra faciebat Hieroboam diruptum est. Eidem prophetam apprehendi iubenti exsiccata est manus; et prophetam deprecanti sana restituitur. Porro propheta, quod mensae consortem alteri seductori prophetae Baethel incolae se fecisset, a leone in via discerptus est; mortuum nihilominus asservavit fera usque dum accedens qui divini mandati contemnendi dolosus auctor extiterat, sepulturae mandaret. Sculptiles iuvencas eo consilio Hieroboam posuit, ut subiectus, aiebat, populus a repetendis Hierosolymorum sacris averteretur.

Israël rex 2 Nadab annis 2, mundi vero 4535.

Israël rex 3 Baasa filius Achiae annis 24, mundi vero 4537.

Hic Nadab filio Hieroboam interfecto regnavit in Israël. Idem Asa regi Iudae bello indicto urbem Rhama obsessam invadere molitus est. Asa vero regem Assyriorum Ader pecuniis in amicitiam et belli societatem vocatum Israël urbes armis est vastitate incessere compulit; atque ita a Rhama infestanda destitit Baasa.

*Ἀσὰ ὑπὸ τοῦ προφήτου διὰ τὴν εἰς Σύρους πεποίθησιν καὶ οὐκ εἰς θεὸν ὀνειδίζεται.*

*Ἰηοὺ υἱὸς Ἀνανὶ προεφήτευσε τῷ Βαασὰ, ὅτι ἀπολεῖται ὁ οἶκος αὐτοῦ, ὡς ὁ οἶκος Ἱεροβοὰμ, διότι εἰδωλολάτρησε καὶ γέγονε κατὰ τὴν προφητείαν αὐτοῦ. ἀποθανόντος γὰρ τοῦ Βαασὰ Ζαμβρὶ ὁ ἐπὶ τῶν ἁρμάτων υἱοῦ αὐτοῦ ἀνεῖλεν αὐτὸν καὶ ἐβασίλευσε.*

*Τοῦ Ἰσραὴλ δ΄ ἐβασίλευσεν Ἠλὰ ἔτη β΄ καὶ ὁ υἱὸς αὐτοῦ Ζαμβρὶ ἡμέρας ζ΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δφξα΄.*

*Μετὰ τὸ ἀνελεῖν τὸν Ἠλὰ Ζαμβρὶ ἐβασίλευσεν ἡμέρας ζ΄.* P. 189 *ὃς ἀκούσας ὅτι ὁ λαὸς τὸν Ἀμβρὶ ἀνηγόρευσεν ἑαυτὸν ἐνέπρησεν. ὁ δὲ Ἰσραὴλ εἰς δύο διῃρέθη, καὶ τὸ μὲν ἥμισυ αὐτοῦ ὀπίσω Ἀβεννῆ, τὸ δὲ ἥμισυ ὀπίσω Ἀμβρί.*

*Ἀποθανόντος δὲ Ἀβεννῆ πάντες ὑπὸ τὸν Ἀμβρὶ γεγόνασι.*

*Τοῦ Ἰσραὴλ ε΄ ἐβασίλευσεν Ἀμβρὶ ἔτη ιβ΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δφξγ΄.*

*Ἀμβρὶ ὁ ε΄ βασιλεὺς Ἰσραὴλ κτίζει τὴν Σαμαρέων πόλιν, τὴν νῦν καλουμένην Σεβαστὴν, καὶ ἐπωνόμασεν αὐτὴν Σεμμὴρ εἰς* B *ὄνομα Σομὼρ τοῦ κυρίου τοῦ ὄρους.*

*Τοῦ Ἰσραὴλ ϛ΄ ἐβασίλευσεν Ἀχαὰβ ὁ υἱὸς Ἀμβρὶ ἔτη κβ΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δφοε΄.*

3. Ἀνανὶ] Legebatur Ἀνανίου. 6. ζαμβρὶ hic et infra AB. Ζαμβρὶ G. τοῦ υἱοῦ G. 11. ἀμβρὶ B. ζαμβρὴν A. Ζαμβρὶ G. 13. Ἀβεννῆ] Θαμνὶ m. ἀμβρὶ B. ἀμβρὴ A. Ἀμρή G. 14. τὸν ἀμβρὶ B. τὸν ἀμβρὴ A. τοῦ Ἀμρὶ G. 15. 17 et 20. Ἀμβρὴ G. 17. βασιλεὺς B. ἐβασίλευσεν G. 18. σεμμὴρ B. Ζεμβὴρ G. Σαμάρειαν m. 19. σομὼρ B. σομῶρ A. Σαμὼρ G.

Asa fiduciae maioris in Syris, quam in deo positae reus, a propheta arguitur.

Ihu filius Ananiae domum Baasa idolorum cultui deditam, ad instar Hieroboam domus evertendam praedixit; quod ex vaticinii praescripto postmodum contigit. Baasa namque vivis erepto, filii eius curruum praefectus Zambri dominum interfecit et tyrannidem arripuit.

Israël rex 4 Ela annis 2, et regnavit Zambri diebus 7, mundi vero 4561.

Ela occiso Zambri diebus 7 regnum tenuit; qui cum Ambri regem a populo constitutum audiisset, incendio mortem sibi paravit. Exinde populus in partes duas divisus et eius quidem pars media Thamni, altera dimidia Ambri sequuta est.

Thamni demum sublato cuncti Ambri subiiciuntur.

Israël rex 5 Ambri annis 12, mundi vero 4563.

Ambri rex Israël quintus Samaritanorum urbem, Sebasten nunc dictam, fundavit et Samor domini montis, in quo sita est, nomine Samariam appellavit.

Israël rex 6 Achaab, filius Ambri, annis 22, mundi vero 4575.

Οὗτος ἔλαβε γυναῖκα Ἰεζάβελ θυγατέρα Ἐθαὰλ βασιλέως Σιδωνίων, δι' ἣν τῷ Βαὰλ δουλωθεὶς τὴν θεοσέβειαν ἐξωρκίσατο.

Τότε καὶ τὴν Ἱεριχὼ ἀνέστησεν Ἀζὰν ὁ ἐκ Βαιθὴλ, ἀποθανόντος αὐτῷ τοῦ πρωτοτόκου υἱοῦ ἐν τῷ θεμελιοῦν αὐτὴν Ἀβιρὼν καὶ τοῦ νεωτέρου Σεγοὺβ ἐν τῷ ἐφιστᾶν τὰς πύλας ἐπὶ συμπληρώσει τῆς οἰκοδομῆς, κατὰ τὴν ἐξενεχθεῖσαν διὰ Ἰησοῦ θείαν ἀράν.

C Τότε καὶ Ἠλίας ὁ Θεσβίτης ἐλθὼν ᾤκησε κατὰ ἀνατολὰς λάθρα παρὰ τὸν χείμαρρον Χαρεσθὰ, προκαταγγείλας τῷ Ἀχαὰβ τὴν τριετῆ ἀνομβρίαν, κόραξιν ἀρτοφόροις καὶ σαρκοβόροις ὑπηρετούμενος· ἐκλείποντος δὲ αὐτῷ τοῦ κατὰ τὸν χείμαρρον ὕδατος, εἰς Σεραφθὰ τῆς Σιδωνίας ἄπεισι θεοῦ προστάξει, ξενισθείς τε παρὰ τῆς χήρας ἐσθίει τὴν μονοήμερον αὐτῆς βρῶσιν, τόν τε καψάκην εὐλογεῖ σὺν τῇ ὑδρίᾳ τοῦ ἐλαίου καὶ τὸν παῖδα θανόντα ἀνίστησιν. ἐπανελθὼν δὲ πρὸς Ἀχαὰβ μετὰ τρία ἔτη καὶ συναντήσας αὐτῷ θάνατον ἀπειλοῦντι πράττει τὰ κατὰ τοὺς ψευδοπροφήτας καὶ τοὺς ἱερεῖς τῶν εἰδώλων ων' ὄντας, καὶ ὑπὸ Ἰεζά-
D βελ διατρεφομένους, τῆς τοὺς θείους προφήτας ἀναιρούσης, οὓς Ἀβδιοὺ διέσωζεν, εἰς προφητείαν τε πρόεισιν ἔτι παῖς ὤν, διὰ τοῦτο καίπερ μόνος ἐν προφήταις ἐκ προγόνων προφητῶν μὴ

1. ἐθαὰλ B. Αἰθαὰλ G. Ιεθεβαὰλ m. 2. θεοσέβειαν αὐτοῦ G. αὐτοῦ om. B. ἐξωρκήσατο B. 3. Ἀζὰν] Αχιὴλ m. βεθὴλ B. 4. Ἀβιρὼν] ἀβειρὼν B. Αβειρὼ G. 5. καὶ] δὲ G. σεγοῦβ B. Σεγοῦν G. ἐπὶ] ἐν τῇ G. 6. κατὰ] διὰ G. 8. καὶ] ὁ G. 9. παρὰ B. πρὸς G. χαρεσθὰ B. χαρεσθᾶ A. Χαρέσθω G. Χορρὰθ Reg. III. 17, 3. 12. Σαρεπτὰ Reg. 14. Vulgo καμψάκην. Correctum ex Reg. 15. τὸν Αχαὰβ G. τὸν om. B. 19. ἀβδιοῦ διέσωζεν B. Αβδιρὺδ ἔσωζεν G.

**Hic Iezabel Iethebaal regis Sidoniorum filiam uxorem accepit, cuius suasu Baal idoli obsequio mancipatus, omnem animo verae religionis sensum exspuit.**

**Ea tempestate Achiel Baethelites reparavit Hiericho et iuxta diras a Iesu votas, fundamentis positis primogenitus eius Abiron morte sublatus est; iunior quoque filius Segub fixis portis et urbe absoluta interiit.**

**Elias Thesbites veniens ad orientem torrentis Chorrath latenter habitavit et a carnivoris corvis cibos et obsequia deferentibus enutritus famem impendentem triennio duraturam Achaab regi praenunciavit. Torrente exsiccato et aquae penuria laborans, dei iussu Sareptam Sidonum oppidum proficiscitur et a vidua hospitio exceptus, residuum eius cibum diei soli sufficientem comedit, et lecytho oleique hydriae bene precatus, filium viduae a mortuis revocavit. Elapso demum triennio reversus ad Achaab et letum minitanti factus obviam, deceptores et falsos vates idolorumque sacrificulos numero 850 delendos aggreditur. Iezabel divinis prophetis omnibus mactatis, victum falsidicis suis subministrabat. Porro prophetarum reliquos servarat Abdiud a puero prophetiae lumine donatus; quae causa fuit,**

γενεαλογούμενος. ἐπεὶ δὲ ἀνεῖλε τοὺς ἱερεῖς ὁ ζηλωτὴς Ἠλίας τοὺς τῆς αἰσχύνης, ὀμβρῷ τὴν γῆν δι' εὐχῆς ἐπικλύζει καὶ πάλιν φεύγει εἰς Βηρσαβεὲ, κἀκεῖθεν εἰς τὴν ἔρημον, φοβηθεὶς ἀπειλοῦσαν αὐτῷ θάνατον τὴν Ἰεζάβελ· ἔνθα θάνατον αἰτοῦντι παραστὰς ἄγγελος ὑπνώσαντι μεταλαβεῖν θεοσδότου τροφῆς κελεύει καὶ ποτοῦ, ᾗ καὶ ἐνισχύσας μόνῃ, μ' νυχθημέρων ὁδὸν ἐπορεύετο V. 152 ἐν Χωρὴβ τῷ ὄρει ἤτοι Σιναίῳ, καὶ κατέπαυσεν ἐν τῷ σπηλαίῳ P. 190 Μωϋσέως. ἐρωτώμενος δὲ παρὰ κυρίου δι' ἣν ἐκεῖ ἦλθεν αἰτίαν, τὰ τοῦ ζήλου τοῦ κατὰ θεὸν ἐκαυχᾶτο καὶ ὅτι μόνος θεοσεβὴς ὢν διώκεται ζητούμενος ἀναιρεθῆναι. κελευσθεὶς δὲ παραστῆναι τῇ ἑξῆς ἐνώπιον κυρίου παριόντος πρῶτον θεωρεῖ πνεῦμα μέγα κραταιὸν διαλῦον ὄρη καὶ συντρῖβον πέτρας προπορευόμενον κυρίου, καὶ δεύτερον συσσεισμὸν, καὶ τρίτον πῦρ· ἐν οἷς, φησὶν, οὐκ ἦν ὁ τούτων κύριος. μεθ' ἃ αὔρας λεπτῆς φωνῆς ἀκούει, ἐπικαλύψας τε τὸ πρόσωπον πρὸ τοῦ σπηλαίου ἵσταται. καὶ αὖθις ἐπερωτᾶται τίνος χάριν αὐτόθι παραγέγονε; καὶ πάλιν τὰ αὐτὰ πάλιν ἀποκρίνεται. καὶ ἀκούει προστάττουσαν θείαν φωνὴν B ἀπελθεῖν εἰς τὴν ἔρημον Δαμασκοῦ, καὶ χρῖσαι βασιλέα μὲν Συρίας τὸν Ἀζαὴλ, προφήτην δὲ ἀνθ' αὐτοῦ τὸν Ἐλισσαιὲ, μὴ ἀγνοεῖν δὲ ὅτι καὶ ἄλλοι εἴησαν ἑπτακισχίλιοι θεοφιλεῖς ἐξ Ἰσραὴλ μοι θεῷ πεφυλαγμένοι. ἐν οἷς παιδευθεὶς ταπεινοῦσθαι θεῷ

3. Βερσαβεὲ G. ἀπειλούσης G. 6. νυχθημέρων B. νυχθήμερον G. 9. τοῦ κατὰ θεὸν addidi ex B: in A est τῷ θεῷ. 10. διώκετο G. 12. συντρίβων B. 13. κυρίου om. G. 15. καλύψας G. 16. αὐτόθεν G. 19. ἀντ' αὐτοῦ τὸν Ἐλισσαῖον G. 20. εἴησὰν B. ἦσαν G. 21. ταπεινοῦται G.

ut inter prophetas solus a maioribus prophetis stirpem duxisse non recenseatur. Sacrificulorum grege deleto, Elias dei zelo fervidus, impetrata precibus pluvia, terram adaquat et inundat, moxque rursum migrat in Bersabee, indeque in desertum, Iezabel mortem intentantis metu perterritus. Ibi mortem invocanti, et somnis gravato conspicuum se fecit angelus, et cibo potuque caelitus missis iubet gaudere; quibus solis ille roboratus dierum quadraginta integrorum iter Choreb versus, id est Sina montem, conficit et in Mosis spelunca labore recreandus quiescit. A domino viae causam rogatus, suum in dei obsequium ardorem praedicat, et ut solus verae religionis fautor servatus ad necem quaereretur, exponit. Die sequenti coram transeunte domino stare iussus ventum validum montes dissolventem et conterentem petras reliqua videnda praecedentem percipit; terram deinde horribili motu concussam, tertio loco, ignem conspicit, in quibus, ait, non erat istorum dominus. Vocem postmodum aurae tenuem audit et operto vultu ad speluncae limen stans, de accessus causa rursum rogatur et prioribus eadem responsa refert. Audit demum divinam vocem ad Damasci desertum migrare iubentem, et Azaël in Syriae regem et Elissaeum vice sua prophetam futurum inungere. Virorum insuper divinum numen vera religione colentium millia septem in Israël superesse edocetur. Ita eruditus deo mentem omni-

*ἐλέγχει πάλιν τὸν Ναβουθαὶ θάνατον τῷ Ἀχαὰβ ἀδίκως εἰσπραχθέντα διὰ τὸν ἀμπελῶνα. ὁ Ἀχαὰβ ἀπατηθεὶς τοῖς ψευδοπροφήταις συμβαλὼν Σύροις ἀναιρεῖται Μιχαίου προειρηκότος τοῦ προφήτου τὸ ἐκβάν.*

C *Τοῦ Ἰσραὴλ ζʹ ἐβασίλευσεν Ὀχοζίας υἱὸς Ἀχαὰβ ἔτη βʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δφϞζʹ.*

*Ὀχοζίας υἱὸς Ἀχαὰβ παρανομώτατος ἦν πάντων τῶν πρὸ αὐτοῦ. τούτῳ συμμαχήσας Ἰωσαφὰτ κατεγνώσθη ὑπὸ τοῦ θεοῦ.*

*Τῷ Ὀχοζίᾳ νοσοῦντι καὶ χρησμὸν ἀποστείλαντι λαβεῖν ἐν εἰδωλίᾳ μυίας Ἀκκαρὼν συντυχὼν Ἠλίας ὁ Θεσβίτης ὀνειδίζει τὴν εἰδωλολατρίαν. προσκληθεὶς δὲ διαφθείρει τοὺς δύο πεντηκοντάρχους ἅμα τοῖς στρατιώταις. ἐπὶ δὲ τῷ τρίτῳ δυσωπηθεὶς ἦλθε πρὸς Ὀχοζίαν καὶ τὸν θάνατον αὐτῷ κατήγγειλε.*

D *Τοῦ Ἰσραὴλ ηʹ ἐβασίλευσεν Ἰωρὰμ ἀδελφὸς Ὀχοζίου ἔτη ιβʹ, καὶ αὐτὸς υἱὸς Ἀχαάβ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δφϞηʹ.*

*Μωὰβ ἀθετήσαντι μετὰ θάνατον Ἀχαὰβ ὁ Ἰωρὰμ υἱὸς Ἀχαὰβ βασιλεύων τοῦ Ἰσραὴλ ἀνέβη πολεμεῖν Μωαβίταις, παραλαβὼν καὶ Ὀχοζίαν βασιλέα Ἰούδα καὶ τὸν βασιλέα Ἐδώμ. ἑπτὰ δὲ ἡμέραις ἀνυδρίᾳ μέλλοντες διαφθείρεσθαι προσέδραμον τῷ προφήτῃ Ἐλισσαίῳ, ὃς προεφήτευσεν αὐτοῖς ὕδατά τε λαβεῖν εἰς πλησμονὴν ἐκ τοῦ χειμάρρου καὶ τὰς πόλεις Μωὰβ ἐν αὐτῇ*

1. ναβουθαὶ A. ναβουθὲ B. Ναβουθὸν G. 4. τὸ B. τοῦτο G. τούτῳ A. ἐκβάν] Vulgo ἐκβᾶν. 5. ἐβασίλευσεν B. βασιλεὺς G. 9. Πρὸς τῷ Ὀχοζίαν νοσοῦντα G. 10. ἀκκαρῶν B. Ἀκαρὼν G. 11. εἰδωλολατρείαν G. πεντηκοντάρχας G. 14. τοῦ B. Τῷ G. 17. βασιλεὺς G.

no subiicit. De Nabutho rursum iniusta morte ob vineam damnato arguit Achaab. Tandem falsorum vatum Achaab deceptus verbis, cum Syriis bello congressus occiditur, Michaea propheta, Israël haec eventura, praenunciante.

Israël rex 7 Ochozias, filius Achaab, annis 2; erat porro mundi 4597.

Ochozias filius Achaab cunctorum se maiorum iniquissimus extitit. Huic opem ferens Iosaphat a deo condemnatur.

Nuncio ad Muscae Accaron Idolium misso, et vaticinia Ochoziae aegrotantis gratia quaerenti factus obviam Elias Thesbites cultum idolorum improperat. Vocatus insuper arroganter duces duos quinquagenarios et socios milites leto committit; a tertio demum humiliter rogatus ad Ochoziam accedit et mortis nuntium indicit.

Israël rex 8 Ioram frater Ochoziae, ipse quoque filius Achaab, annis 12, mundi vero 4598.

Moab perduellionis reo, Ioram filius Achaab, mortuo patre, rex Israël constitutus, cunctis Ochoziae regis Iuda et regis Edom auxiliis bellum indicit. Aquae vero penuria per dies septem laborantes ad Elissaeum prophetam confugerunt, qui copiosos latices e torrente hausturos pollicitus,

τῇ ἡμέρᾳ, καὶ πάσας τὰς πηγὰς ἐμφράξαι, καὶ πᾶσαν οἰκοδομὴν Μωαβιτῶν καθελεῖν.

Νοσοῦντος τοῦ υἱοῦ Ἄδερ βασιλέως Συρίας ὁ προφήτης
Ἐλισσαῖος προθεσπίζει τῷ Ἀζαὴλ περὶ τῆς βασιλείας καὶ τῶν μελ- P. 191
λόντων κακῶν τῷ Ἰσραὴλ δι' αὐτοῦ.

Πέμπτῳ ἔτει Ἰωρὰμ ἐβασίλευσεν Ἀζαὴλ Συρίας υἱὸς Ἄδερ βασιλέως Συρίας. ἀπέστειλε δὲ δύναμιν συλλαβεῖν τὸν Ἐλισσαῖον εἰς Βαιθὴλ, οὓς τυφλώττοντας καὶ πρὸς τοὺς ἐχθροὺς ἀντιστρεφομένους εἰς Σαμάρειαν Ἐλισσαῖος ἐπιστὰς σώζει μέλλοντας ἀπόλλυσθαι.

Ὁ υἱὸς Ἄδερ τὴν Σαμάρειαν καὶ τὸν Ἰσραὴλ ἐπολιόρκησεν,
ὥστε λιμῷ τακῆναι σφοδρῷ τοὺς ἐν τῇ πόλει καί τινας γυναῖκας
τὰ ἴδια τέκνα φαγεῖν. Ἰωρὰμ δὲ ὁ βασιλεὺς Ἰσραὴλ ἀποτεμεῖν V. 153
τὸν Ἐλισσαῖον ἀποφηνάμενος, λύσιν λαμβάνει τῆς λιμοῦ, θείᾳ B
φυγόντων ἐκστάσει τῶν πολεμίων καὶ πάντα καταλειψάντων τὰ
πρὸς ζωὴν τῷ Ἰσραήλ.

Ἐλισσαιὲ μετὰ Ἠλία θαυματουργὸς καὶ προφήτης ἐγνωρίζετο.

Ἐλισσαιὲ τὸν Ἰηοὺ πέμψας ἔχρισε βασιλέα Ἰσραήλ.

Τοῦ Ἰσραὴλ θ' ἐβασίλευσεν Ἰηοὺ ἔτη κη'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δχι'.

Ἐπὶ τούτου λιμὸς καὶ σεισμὸς μέγας κατὰ τὴν Ἰουδαίαν ἐγένετο.

3. ἄδερ B. Ἀβδὲρ G. 6. Ante υἱὸς G indicavit lacunam, quam verbis ἦν δὲ Βεναδὰβ explet m. 7. βασιλέως] βασιλεὺς B. 8. βεθὴλ B. 13. τοῦ Ἰσραὴλ G. 16. τῷ Ἰσραὴλ B. τοῦ Ἰσραὴλ G. 17 et 18. ἐλισσαιὲ A. Ἐλισσαῖος G. 17. ἠλίαν B. 19. τοῦ B. Τῷ G.

eodem die urbes Moab devastandas, fontes obstruendos et Moabitarum aedificia quaecunque subvertenda vaticinatus est.

Aegrotante porro Ader regis Syriae filio, de obtinendo regno, deque malis ab eo perpetrandis Elissaeus propheta Azaëli futura revelat.

Ioram anno quinto Azaël regnavit in Syria. Erat porro Benadab filius Ader regis Syriae. Hic copioso exercitu Elissaei apprehendendi causa in Baethel misso, oculorum caligine percussos et ad hostem in Samariam commeantes, iam iam neci tradendos servavit Elissaeus.

Filius Ader adeo dura et immani obsidione Samariam et Israël premebat, ut fame tabescerent et mulieres nonnullae natorum carnibus vescerentur. At Ioram rex sententia capitis in Elissaeum lata, hostibus de mentis statu deiectis, et cuncta vitae necessaria post fugam Israëli relinquentibus, famis periculo liberatur.

Elissaeus simul cum Elia miraculorum auctor et propheta clarebat.

Elissaeus nuntii missi opera Ieu regem Israël unxit.

Israël rex nonus Ieu annis 28, mundi vero 4510.

Eius tempore pestis et terrae motus ingens per Iudaeam grassatus est.

C *Οὗτος ἀνεῖλε τὸν Ὀχοζίαν καὶ τοὺς υἱοὺς Ἀχαὰβ καὶ Ἰεζάβελ τὴν Σιδωνίαν.*

*Ἰούδας βασιλεὺς Ἰσραὴλ προσεκύνει ταῖς χρυσαῖς δαμάλεσιν, ἃς ἐποίησεν Ἱεροβωὰμ ἐν Βαιθὴλ καὶ ἐν Δὰν, τῇ νῦν Πανεάδι καλουμένῃ.*

*Τούτῳ Ἀζαὴλ βασιλεὺς Συρίας ἐπιστρατεύσας ἀνεῖλε πλείστους κατὰ τὸ ῥῆμα Ἐλισσαίου τοῦ προφήτου.*

*Ἀζαὴλ βασιλεὺς Συρίας πορθήσας τὸν Ἰσραὴλ κατὰ τοῦ Ἰωὰς καὶ τῆς Ἱερουσαλὴμ ἡτοιμάζετο. τούτῳ δὲ ἀποστείλας πάντα τὰ ἅγια καὶ τὸ χρυσίον Ἰωὰς ἔπεισεν ἀναστρέψαι.*

### *Αἰγυπτίων βασιλεῖς.*

D *Αἰγυπτίων οζ' ἐβασίλευσε Ταράκης ἔτη κ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δψνς'.*

*Αἰγυπτίων οη' ἐβασίλευσεν Ἀμαὴς ἔτη λη'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δψος'.*

*Αἰγυπτίων οθ' ἐβασίλευσε Στεφινάθης ἔτη κζ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δωιδ'.*

*Αἰγυπτίων π' ἐβασίλευσε Νεχεψὸς ἔτη ιγ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δωμα'.*

### *Λατίνων βασιλεῖς.*

*Λατίνων ιβ' ἐβασίλευσε Κάρμεντος ἔτη ις'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δχνα'.*

3. Ἰούδας] *Ἰοὺ* m. *προσεκύνη* B. 4. *παναιάδι* B. 9. *τούτῳ* B. *τοῦτο* G. 14. *ἀμαῆς* B. *Ἀμάης* G. *Ἀρμαῖς* Scaliger p. 38. 18. *Νακεψὸς* G.

Hic Ochoziam et filios Achaab, et Iezabel Sidoniam interfecit.

Ieu rex Israël iuvencas aureas in Baethel et in Dan, nunc Paneade, ab Hieroboam positas colebat.

Azaël rex Syriae moto iuxta verbum Elissaei in Israël exercitu plures interfecit.

Azaël rex Syriae, praeda ex Israël abacta, adversus Ioas et Hierusalem aciem instruebat; Ioas autem sacra supellectile et auri non exigua copia ad eum missa, secessum suasit.

### Aegyptiorum reges.

Aegyptiorum rex 77 Taraces annis 20, mundi vero 4756.
Aegyptiorum rex 78 Amaës annis 38, mundi vero 4776.
Aegyptiorum rex 79 Stephinathes annis 27, mundi vero 4814.
Aegyptiorum rex 80 Nachepsus annis 13, mundi vero 4841.

### Latinorum reges.

Latinorum rex 12 Carmentus annis 16, mundi vero 4651.

*Λατίνων ιγʹ ἐβασίλευσε Σιλούϊος ἔτη ιηʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,δχξζʹ.* P. 192

*Λατίνων ιδʹ ἐβασίλευσε Περκὰς Σιλούϊος ἔτη λβʹ. κατὰ τοῦτον ἡ πρώτη ὀλυμπιάς. τοῦ δὲ κόσμου ἦν ἔτος ,δχπεʹ.*

*Λατίνων ιεʹ ἐβασίλευσεν Ἄμουλος Σιλούϊος ἔτη κγʹ καὶ Νομίτωρ, ὡς τισι δοκεῖ, ἔτη βʹ μετὰ Ἄμουλον ἰδίως, τινὲς δὲ σὺν αὐτῷ φασι. τοῦ δὲ κόσμου ἦν ἔτος ,δψιζʹ.*

*Ῥῶμος καὶ Ῥωμύλος ἐγεννήθησαν Ἄρει καὶ Ἰλίᾳ τῇ ἐμέτερος, κατὰ δὲ τινὰς πρὸ ἐτῶν ιʹ.*

*Ῥωμύλον φασὶ κατὰ τὸ τέλος τῆς ζʹ ὀλυμπιάδος βασιλεῦσαι* B *τῶν Λατίνων ἀπὸ Αἰνείου, Ῥώμην τε κτίσαι καὶ μετονομάσαι τὴν πόλιν καὶ τὸ ἔθνος τῷ ἰδίῳ ὀνόματι Ῥωμαίους, τοὺς πρότερον λεγομένους Λατίνους· ἄλλοι δὲ κατὰ τὴν ϛʹ ὀλυμπιάδα καὶ ἕτεροι κατὰ τὴν ηʹ φασί, καὶ ἁπλῶς εἰπεῖν πολλὴ γέγονε διαφωνία περί τε τοῦ χρόνου τῆς κτίσεως αὐτῆς καὶ τῶν οἰκιστῶν.*

*Κεφαλίων γὰρ ὁ Γεργησαῖος συγγραφεὺς πάνυ παλαιὸς μετὰ δευτέραν τῆς Τροίας ἁλώσεως γενεάν φησι τὴν πόλιν ἐκτίσθαι* V. 154 *ὑπὸ Ῥώμου ἑνὸς τῶν Αἰνείου παίδων δʹ, ἀδελφοῦ δὲ Ἀσκανίου* C *καὶ Εὐρυλέοντος καὶ Ῥωμύλου, οὓς φησι γεγενῆσθαι τῷ Αἰνείᾳ.*

3 et 4 om. B. 3. *Περκὰς*] *Προκᾶς* Scaliger. *σιλούϊος* A. *Σιλουΐου* G. 5. *ιεʹ*] *ιδʹ* B. *νομήτωρ* AB. 8. *ῥώμυλλος* B. *Ἰλίᾳ* Scaliger. *Ηλίᾳ* G. *ἠλείᾳ* B. *τῇ ἐμέτερος* AB. *τῇ ἐμήτερος* G. *τῇ μητρὶ* m. Scribendum videtur *τῇ Νομίτωρος*. 10. *ῥώμυλλον* B. 13. *λεγομένους* B. *καλουμένους* G. 15. *οἰκιστῶν* B. *οἰκιτόρων* A. *οἰκητόρων* G. 16. *Κεφαλίων* B hic et infra. *Κεφαλλίων* G. *γεργησαῖος* B cum Eusebio I, 45. p. 204. *Γεργισαῖος* G. *Γεργήθιος* m. Debebat *Γεργίθιος*. 18. *δʹ* om. G. 19. *ῥωμύλλου* B. *φησι* B. *φασι* G. *γεγεννῆσθαι* AB.

Latinorum rex 13 Sylvius annis 18, mundi vero 4667.

Latinorum rex 14 Procas Sylvii filius, cuius aetate Olympias, prima instituta, annis 32; mundi vero 4685.

Latinorum rex 15 Amulius Sylvius annis 23, et Numitor, ut quibusdam placet, annis 2 post Amulium videlicet privatim regnans, vel, ut alii asserunt, una cum eo; mundi vero 4717.

Patre Marte, Ilia matre, Remus et Romulus nati sunt, Numitoris aetate, vel, ut aliis placet, annis decem prius.

Romulum circa Olympiadis 7 finem Latinis post Aeneam imperasse, Romam condidisse urbem, gentem Latinorum antiquioribus dictam, Romanorum postmodum suo de nomine fecisse narrant; quamvis nonnulli ad Olympiadem 6, ad 8 alii haec edidisse publicent. Verum, ut summatim dicam, non unus et concors est, sed varius, de primo fundatae urbis tempore et primis eius incolis apud auctores sensus.

Cephalion quippe Gergethius scriptor antiquitate laudatus post aetatem a capta Troia secundam a Romo altero ex Aeneae filiis, Ascanii videlicet, Euryleontis et Romuli, quos Aenea genitos asserunt, fratre, Ro-

συμφωνοῦσι δὲ τῷ Κεφαλίωνι Δημαγόρας τε καὶ Ἀγάθυμος καὶ ἄλλοι πολλοὶ περὶ τοῦ χρόνου τούτου καὶ Ῥώμου τοῦ κτιστοῦ Ῥώμης καὶ οἰκιστοῦ αὐτῆς, κατὰ τὸν Κεφαλίωνα, ἑνὸς αὐτοῦ πεφυκότος τῶν ἐξ Ἰλίου διασωθέντων καὶ ἡγεμόνος τῆς ἀποικίας Ῥώμου. ὁ δὲ τὰς ἐν Ἄργει συναγαγὼν ἱερείας οἰκιστὴν γενέσθαι τῆς Ῥώμης φησὶ τὸν Αἰνείαν ἐκ Μολοττῶν εἰς Ἰταλίαν ἐλθόντα σὺν Ὀδυσσεῖ, καὶ ταύτην εἰς ὄνομα Ῥώμης μιᾶς τῶν σὺν αὐτῷ Ἰλιάδων ὀνομάσαι, τῆς ἐμπρησάσης ἅμα ταῖς ἄλλαις Τρῳάσι τὰ σκάφη, βαρουμένης τῇ πλάνῃ. ὁμολογεῖ δὲ σὺν ἄλλοις ταῦτα καὶ Δαμαστὴς ὁ Σιγειεύς.

Ἀριστοτέλης δὲ ὁ φιλοΐστωρ τινὰς τῶν ἀπὸ Τροίας ἀναχθέν-
D των Ἀχαιῶν περὶ τὸν Μάλεον πλέοντας χειμῶνι μεγάλῳ καταληφθῆναι ὑπὸ τῶν πνευμάτων τε πλανωμένους πολλαχῇ τοῦ πελάγους εἰς τόπον τῆς Ὀπικῆς καλούμενον Λάτιον ἐλθεῖν ἐπὶ τῷ Τυρρηνικῷ πελάγει κείμενον, ἔνθα τὰς ναῦς ἀνελκύσαντες κατὰ χειμερινὴν ὥραν παρεσκευάζοντο πρὸς τὴν ἄπαρσιν ἔαρος ἀρχῇ. γυναῖκες δέ τινες αἰχμαλωτίδες ἐξ Ἰλίου συνοῦσαι τὰς ναῦς αὐτοῖς ἐνέπρησαν, ἵνα μὴ δοῦλαι κατ' οἴκους αὐτῶν ἐπανιοῦσαι γένων-

1. Ἀγάθυμος] Ita etiam Eusebius. Corrige Ἀγάθυλλος ex Dionysio I, 72. 4. ἐξ] ἀπ' G. 5. ἐνεργεῖς B. συνεργεῖς G. Reposui ἐν Ἄργει ex Dionysio. 6. ἐκ Μολοττῶν εἰς dedi ex Dionysio. Legebatur ἐκμολωτὸν (ἐκμωλώτον A.) τὸν εἰς. 9. ταῦτα καὶ om. G. 10. Legebatur Δαμαστίς. Correctum ex Dionysio. Σιγειεύς] σιγιεὺς B. αἰγειεὺς A. Αἰγιεὺς G. *Sidetes* apud Eusebium. 11. ἀπαχθέντων G. 12. Ἀχαιῶν add. A. om. G. In B est ἀχεῶν. μάλαιον A. Recte Μαλέαν Dionysius. *maleum* Eusebius p. 205. 13. πλανωμένους om. G. 14. Legebatur Λατίων. λατείων B. τῷ om. G. 15. τυρινικῷ B. τυρικῷ AG. 16. ἔπαρσιν G.

mam aedificatam testatur. Huiusmodi de Romae conditae tempore, de eius conditore, nec non incola Remo, eodemque cum reliquis aliis ab Ilii strage servato et coloniae Romanae duce Cephalionis sententiam, Demagoras, Agathymus et alii plures amplectuntur. Ille vero consonas ad invicem colligens historias Aeneam una cum Ulysse captivum in Italiam venisse, Romae habitasse et Iliadum, (quae longissimi itineris pertaesae, aliis Troadibus mulieribus adiunctae naves succenderant), unius nomine urbem Romam nuncupasse scribit; aliorum autem sententiam Damastes Sigeus profitetur.

Aristoteles autem sedulus ille veritatis scrutator nonnullos patriis Troiae sedibus abductos circa Maleum promontorium exorta tempestate vexatos, variis ventorum flatibus et fluctibus latos refert, ad Opicae plagam Tyrrheno mari obiectam, (quae Latium est) appulisse, subductisque ad terram navibus et captata hiemandi occasione, mox reparato vere naves iterum resumendo itineri mari commisisse; quo cognito mulieres quaedam captivae virorum fortunam ab Ilio illuc usque temporis sequutae, ne ad eorum domos reversae pristina servitute opprimerentur, igne subiecto na-

ται. οἱ δὲ μὴ βουλόμενοι τὸν τόπον κατῴκισαν, οὐκ ἔχοντες ὅπως ἐπὶ τὰ σφέτερα πλεύσωσι.

Πρὸς τούτοις καὶ Καλλίας ὁ τὰς πράξεις Ἀγαθοκλέους γρά- P. 193 φων γυναῖκά τινα Ῥώμην τοὔνομά φησι Τρῳάδα τὸ γένος σὺν τοῖς Τρωσὶν ἐλθοῦσαν τῷ τηνικαῦτα βασιλεύοντι Λατίνῳ τῆς Ἰταλίας γήμασθαι καὶ τεκεῖν αὐτῷ παῖδας τρεῖς, Ῥῶμον καὶ Ῥωμύλον καὶ Τηλέγονον, ὃν οἰκῆσαι ἐν ἄλλοις χωρίοις ἐλέγετο· Ῥῶμον δὲ καὶ Ῥωμύλον παῖδας Λατίνου καὶ Ῥώμης τῆς Τρῳάδος τὴν πόλιν κτίσαι καὶ Ῥώμην καλέσαι τῷ μητρῴῳ ὀνόματι, τούς τε ἀπὸ Λατίνου Λατίνους, τοὺς καὶ Ἀβοριγίνας πρότερον λεγομένους, Ῥωμαίους προσαγορεῦσαι.

Πάλιν Ξεναγόρας ὁ ξυγγραφεὺς Ῥῶμον, Ἀντίαν καὶ Ἀρδίαν, τρεῖς υἱοὺς Ὀδυσσέως καὶ Κίρκης λέγει εἶναι, οἳ καὶ τρεῖς κτίσαν- B τες ἐπωνύμους πόλεις ᾤκισαν.

Ὁ δέ γε Χαλκιδεὺς Διονύσιος τὸν οἰκιστὴν τῆς πόλεως Ῥῶμον κατὰ μέν τινας Ἀσκανίου, κατὰ δὲ ἄλλους Ἠμαθίωνος υἱὸν ἀποφαίνει.

Καὶ ἕτεροι ὑπὸ Ῥώμου τοῦ Ἰταλοῦ καὶ Λεύκης τῆς μητρὸς αὐτοῦ φασιν ἐκτίσθαι τὴν πόλιν Ἑλλήνων συγγραφεῖς καὶ ἄλλοι ἄλλως διαφερόμενοι.

Κατὰ δὲ τοὺς Ῥωμαίων λογογράφους ὕστερον γεγονότας,

1. Legebatur κατῴκησαν. 2. ἐπὶ B. εἰς G. 3. τοῦ Ἀγαθοκλέους G. 4. Vulgo Τρωϊάδα et infra Τρωϊάδος. 7 et 8. Vulgo Ῥωμύλλον. ῥώμυλλον B hic et infra constanter. 7. τιλέγονον (sic) B. Vulgo Τηλεγόνα. 8. λατείνου B. Vulgo Λατίνων. 9. τοὺς m. τοῖς G. 10. ἀπὸ] Vulgo ὑπό. Scribebatur Ἀβοριείγινας. 12. Ῥῶμον καὶ G. ἀντίαν B. Ἀρτίαν G. 13. οἳ καὶ] οἱ δὲ G. 14. ᾤκισαν] Vulgo ᾤκησαν. 15. Χαλκιεὺς G. 21. γεγονότας B. γεγονότες A. γεγόνασιν G.

ves incenderunt; quare viri etiam inviti, desperato ad proprias domos reditu, sedem locis in illis fixerunt.

Ad haec Callias rerum ab Agathocle gestarum scriptor mulierem quampiam nomine Romam, genere Troadem, cum Troianis aliis profectam Italiae tunc regi Latino coniugio locatam, filios tres Romum, Romulum et Telegonem, quem alia loca incoluisse ferunt, peperisse narrat; Romum vero et Romulum Latino Romaque Latina procreatos urbem condidisse, materno que Romae nomine indito, Latinos regi Latino subditos, Aborigines prius dictos, nuncupasse Romanos.

Xenagoras insuper Historicus Ulyssis et Circes filios tres Romum, Artiam et Ardeam ponit urbium eiusdem nominis trium conditores et incolas.

Dionysius Chalciensis Romum urbis incolam primum, ex quorundam relatu Ascanii, secundum alios Hemathionis filium declarat.

Quidam denique a Romo, patre Italo, et matre Leuca nato, urbem olim constructam produnt; et hoc pacto varios Graecorum auctores variis inter se modis discrepasse comperimus.

Romani postmodum scriptores, (apud eos etenim nullus vetustate com-

ἐπεὶ παλαιὸς οὐδεὶς παρ' αὐτοῖς, οἱ μὲν Αἰνείου Ῥωμύλον καὶ Ῥῶμον φάσκουσιν υἱούς, ἕτεροι δὲ θυγατρὸς Αἰνείου, τίνος πατρὸς ἀγνοοῦντες, καὶ τούτους ὑπ' Αἰνείου δοθῆναι Λατίνῳ πρὸς ὁμηρίαν εἰρήνης, ὃς ἄπαις τελευτῶν μοῖραν τῆς ἀρχῆς αὐτοῖς ἀπένειμε.

C Τινὲς δ' αὖ φασιν Ἀσκάνιον τὸν Αἰνείου υἱὸν μετὰ τὴν τοῦ πατρὸς τελευτὴν νείμασθαι τὴν ἀρχὴν ἅμα Ῥώμῳ καὶ Ῥωμύλῳ τοῖς ἀδελφοῖς, κτίσαι δὲ αὐτὸν μὲν τὴν Ἄλβαν καὶ ἄλλας πόλεις, Ῥέμον δὲ Καπύην ἀπὸ Κάπυος προπάππου, Ἀγχίσην δὲ ἀπὸ Ἀγχίσου τοῦ πάππου, Αἰνείαν δὲ τὴν μετὰ ταῦτα κληθεῖσαν Ἰάνικλον εἰς ὄνομα τοῦ πατρός, Ῥώμην δὲ εἰς ἑαυτοῦ ὄνομα, ἥτις μετά τινα χρόνον ἐρημωθεῖσα ὑπὸ Ῥωμύλου καὶ Ῥέμου τῶν ἀδελφῶν ἀνεκτίσθη, χρόνοις ἔπειτα τῆς Ἀλβανῶν ἀποικίας ἡγησαμένων, κατὰ τὴν ὀλυμπιάδα . . . . μετὰ ιε' γενεάς.

V. 155 D Ἀντίοχος δὲ ὁ Συρακόσιος καὶ πρὸ Τρωϊκῶν φησι τὴν Ῥώμην ἐκτίσθαι, βασιλεύοντος Μόργητος Ἰταλίας ἀπὸ Τάραντος ἄχρι Ποσειδωνίας, μετὰ τὸν πρῶτον λεγόμενον Ἰταλὸν βασιλέα καταγεγηρακότα.

Καὶ ταῦτα μὲν περὶ τῶν παλαιῶν αὐτῆς κτίσεων. τὴν μέντοι μετέπειτα καὶ αὐτὴν ἀσυμφώνως γράφουσι κτίσιν αὐτῆς,

2. Vulgo *Αἰνείου τινός.* *πατρὸς* addidi ex B. 3. Delevi *τε* (*τ'* B.), quod post *τούτους* legebatur. *λατείνῳ* B. Vulgo *Λατίνων.* 4. *ἄπαις* om. G. 6. *Τινὲς* m. *Τινὰς* G. 8. *ἀλβὰν* B. 9. *Ῥέμον τε Καππύην* G. *Ἀγχίσην*] Vulgo *Ἀγχισαν.* 10. *Ἰάνικλον*] Vulgo *Ἄνεικλον.* 12. *ῥέμου* B. *Ῥέμα* G. 13. *σαλβανῶν* AB. 14. Lacunae indicium om. AB. Suppleri haec possunt ex Dionysio et Eusebio. 15. *ὁ* om. G. Vulgo *Συρακούσιος.* *συρρακούσιος* A. *τρωϊκῶν* B. *Τρωϊκὸν* G. 16. Vulgo *Μόργιτος.* 17. *ποσιδονίας* B. *ἰταλὸν* B. *Ιταλῶν* G.

mendandus occurrit), hi quidem Romulum et Romum Aeneae, alii rerum historicarum penitus ignari Aeneae filia procreatos litteris consignarunt; eosdemque Latino regi firmandae pacis ergo traditos obsides ab eo proxime morituro adoptatos imperii partem accepisse.

Alii Ascanium Aeneae filium, defuncto patre, una cum Romo et Romulo fratribus divisisse regnum; et ipsum quidem Albam et urbes alias condidisse, Remum vero Capuam Capys proavi, Anchisam Anchisis avi, Aeneamque civitatem, Aniclum posthaec dictam, patris Aeneae, Romam denique nomine suo nuncupatam voluisse, quae tempore procedente destructa, demum a Romulo Remoque fratribus Albanorum coloniae ducibus post aetates hominum quindecim Olympiade . . . . . restaurata est, opinantur.

Antiochus autem Syracusanus etiam ante res ad Troiam gestas, Morgite in Italia a Tarento Posidoniam usque regnante, post regem primum Italum nomine, eius ultima senectute Romam asseruit fundatam.

Haec quidem illi de primaevo Romae conditu; restaurationis autem sequuto tempore susceptae historiam diversa quoque ratione describunt.

*Τίμαιος μὲν πρὸ η' καὶ λ' τῆς πρώτης ὀλυμπιάδος λέγων ἐτῶν ἐκτίσθαι Ῥώμην, Λεύκιος δὲ Κίγκλιος, εἷς τοῦ βουλευτικοῦ συνεδρίου Ῥώμης, κατὰ τὸ δ' ἔτος τῆς ιβ' ὀλυμπιάδος, Φάβιος δὲ Κόϊντος ἀρχομένης η' ὀλυμπιάδος, Πόρκιος δὲ Κάτων, ἀνὴρ φι-* P. 194 *λόπονος περὶ συναγωγὴν τῶν ἀρχαιολογουμένων ἱστοριῶν, μετὰ τὰ Τρωϊκὰ χρόνοις ὕστερον υλβ'. οὗτος δὲ ὁ χρόνος κατὰ τὴν Ἐρατοσθένους χρονολογίαν τῷ πρώτῳ ἔτει συμπίπτει τῆς ζ' ὀλυμπιάδος.*

*Καὶ ταῦτα μὲν ἀρκούντως ἡμῖν περί τε τοῦ χρόνου καθ' ὃν ἐκτίσθη Ῥώμη περί τε τοῦ κτίστου καὶ τῆς ἐξ αὐτοῦ προσηγορίας Ῥωμαίων. πρὸ δέ γε τούτου Λατῖνοι μὲν ἀπὸ Λατίνου παιδὸς, ὥς φασιν, Ἡρακλέους ἐλέγοντο καὶ πρὸ Λατίνου Ἀβορίγινες ἐκ τῶν παρὰ Λατίνου Ῥωμαίοις γενεαρχησάντων πρωτογόνων, οὕτω γὰρ ἑρμηνεύεται παρὰ Ῥωμαίοις ἡ τῶν Ἀβοριγίνων προσηγορία, οὓς αὐτόχθονάς φασιν Ἰταλίας· καὶ πρό γε τούτων Σικελούς τι-* B *νας, ἔθνος αὐθιγενὲς καὶ βάρβαρον οἰκῆσαι τὴν χώραν· ὧν πρεσβυτέραν ἱστορίαν οὐκ ἔστιν εὑρεῖν, ὡς Διονύσιος ὁ Ἁλικαρνασεὺς ἐν πρώταις Ῥωμαϊκαῖς ἱστορίαις.*

1. πρὸ η'] Legebatur πρώην. καὶ λ' τῆς πρώτης] Legebatur καὶ Λαὰς τὰ τῆς α'. In B est καὶ λάτης πρὸ τῆς, omisso α'. Dionysius I, 74. *Τίμαιος μὲν ὁ Σικελιώτης οὐκ οἶδ' ὅτῳ κανόνι χρησάμενος ἅμα Καρχηδόνι κτιζομένῃ γενέσθαι φησὶν ὀγδόῳ καὶ τριακοστῷ πρότερον ἔτει τῆς πρώτης ὀλυμπιάδος.* λέγων] λέγουσιν G. 2. Κίγκλιος] Ita etiam Eusebius p. 208. Recte apud Dionysium Κίγκιος. 3. τὸ δ' ἔτος B. τῷ δ' ἔτει G. Φάβιος] φαΐος AB. Φαίος G. Correctum ex Dionysio I, 6. 4. καὶ Πόρκιος δὲ G. 7. τὴν τοῦ Ἐρατοσθένους G. τῆς om. G. ζ' addidi ex B. 12. ἡρακλέους B. Ἡρακλέως G. Vulgo Ἀβορήγινες. ἀβορείγινες B. 13. παρὰ B. πρὸ G. 14. Vulgo Ἀβορηγίνων. ἀβορειγίνων B. 15. φησιν B. 16. οἰκῖσαι A. 17. Ἀλιχαρνασσεὺς G.

Timaeus sane et Laas primitus quidem, at circa Olympiadis primae annos Romae iacta fundamenta affirmant; Lucius Caecilius vir ordinis senatorii anno Olympiadis 12 quarto; Fabius Quintus Olympiade octava ineunte; demum Porcius Cato antiquorum historiae monumentorum studiosus collector Troianis rebus posterius annis 432. Illa porro temporis meta in Olympiadis . . . . . . . annum primum iuxta chronologicam Eratosthenis rationem incidit.

Hucusque de tempore quo Roma condita, vel de illius fundatore, nec non derivata ab illo Romanorum appellatione dissertum est abunde. Romani prius quondam Latini a Latino Herculis, aiunt, filio vocabantur, ac superiore rursum tempore Aborigines *ab* iis maiorum suorum qui primae ante Latinum *originis*, (ea est enim Aboriginum nominis significantia), fuerunt auctores; quos ex Italica tellure natos vulgo ferunt; et istis iterum prius Siculos quosdam, gentem nimirum ex illo solo natam et barbarorum more victitantem, regionem incoluisse, quibus historiam vetustiorem, ut edito de Romanorum gestis opere Dionysius Halicarnassaeus testis est, difficile reperias.

### Περὶ τῆς ἀρχαιογονίας Ῥωμαίων ἐκ τῆς ζ' Διοδώρου Σικελιώτου.

Ἔνιοι μὲν οὖν τῶν συγγραφέων πλανηθέντες ὑπέλαβον τοὺς
C περὶ τὸν Ῥωμύλον ἐκ τῆς Αἰνείου θυγατρὸς γεννηθέντα κεκτικέναι τὴν Ῥώμην· τὸ δ' ἀληθὲς οὐχ οὕτως ἔχει, πολλῶν μὲν ἐν τῷ μεταξὺ χρόνῳ τοῦ τε Αἰνείου καὶ Ῥωμύλου γεγονότων βασιλέων, ἐκτισμένης δὲ τῆς πόλεως κατὰ τὸ δεύτερον ἔτος τῆς ζ' ὀλυμπιάδος. αὕτη γὰρ ἡ κτίσις ὑστερεῖ τῶν Τρωϊκῶν ἔτεσι τρισὶ πλείω τῶν υ' καὶ λ'. Αἰνείας γὰρ μετὰ τὴν ἅλωσιν τῆς Τροίας ἐτῶν τριῶν παρελθόντων παρέλαβε τὴν τῶν Λατίνων βασιλείαν, καὶ κατασχὼν τριετῆ χρόνον ἐξ ἀνθρώπων ἠφανίσθη καὶ τιμῶν ἔτυχεν ἀθανάτων. τὴν δ' ἀρχὴν διαδεξάμενος Ἀσκάνιος υἱὸς ἔκτισεν Ἄλβαν τὴν νῦν καλουμένην Λόγγαν, ἣν ὠνόμασεν ἀπὸ τοῦ ποταμοῦ τοῦ τότε
D μὲν Ἀλβᾶ καλουμένου, νῦν δὲ Τιβέρεως ὀνομαζομένου. περὶ δὲ τῆς προσηγορίας ταύτης Φάβιος ὁ τὰς Ῥωμαίων πράξεις ἀναγράψας ἄλλως μεμυθολόγηκε. φησὶ γὰρ Αἰνείᾳ γενέσθαι λόγιον τετράπουν αὐτῷ καθηγήσασθαι πρὸς κτίσιν πόλεως. μέλλοντος δ' αὐτοῦ θύειν ὗν ἔγκυον τῷ χρώματι λευκὴν ἐκφυγεῖν ἐκ τῶν χειρῶν καὶ διωχθῆναι πρός τινα λόφον, πρὸς ᾧ κομισθεῖσαν τεκεῖν λ' χοίρους. τὸν δὲ Αἰνείαν τό τε παράδοξον θαυμάσαντα καὶ τὸ λόγιον ἀνανεούμενον ἐπιχειρῆσαι μὲν οἰκῆσαι τὸν τόπον, ἰδόντα

1. Διοδώρου] Conf. Euseb. I, 46. p. 210. 4. κεκτηκέναι B. 8. γὰρ delet m. τρισὶ add. B. 12. ἀλβὰν B. 14. ἀλβὰ B. ἀλαὰ A. τιβέρεως B. Τιβέριος G. 16. Αἰνείᾳ m et Eusebius. Αἰνείαν G. 17. αὐτῷ] αὐτὸ B. 18. δ' om. G. 19. καὶ διωχθῆναι] Legebatur καταδιωχθῆναι. ᾧ B. ὃ A. ὃν G.

### De antiquo Romanorum ortu ex Diodori Siculi libro septimo.

Nonnulli sane scriptores eo lapsi sunt erroris, ut Romuli ex Aeneae filia nati socios urbem Romam condidisse existimaverint, quod a vero procul alienum. Tempore siquidem Romulum inter et Aeneam medio regibus interpositis pluribus, et urbe non nisi Olympiadis septimae anno secundo condita, prima eius fundamenta rebus ad Troiam gestis annis plus quam 400 et 30 posteriora aestimare necesse est. Annis enim tribus post Troiae cladem evolutis, Latinorum regnum Aeneas tenuit eodemque per triennium alterum potitus, ex hominum convictu raptus, diis deferri solitos honores consequutus est. Ascanius filius sceptri potestatisque successor Albam Longam nunc dictam, de Albae fluvii, Tiberis hac aetate vocati, nomine fundavit. De huiusmodi appellatione Fabius, qui res a Romanis gestas in scripta retulit, fabulam hoc pacto contexuit. Datum videlicet Aeneae portentum, animans quadrupes, suem fetam et candidam urbis condendae locum vestigiis demonstrantem et sacra iam iam facturo occurrisse. Haec manibus et oculis lapsa, mox vero diligenti cura quaesita, in colle quodam porcellos triginta enixa reperitur. Aeneas portentum miratus, et vaticinium mente revolvens, locum exstruere aggreditur; at viso per som-

δὲ κατὰ τὸν ὕπνον ὄψιν ἐναργῶς διακωλύουσαν καὶ συμβουλεύουσαν μετὰ λ' ἔτη κτίζειν, ὅσοσπερ ὁ τῶν τεχθέντων ἀριθμὸς ἦν, ἀποστῆναι τῆς προθέσεως.

## Ῥωμαίων βασιλεῖς. P. 195 V. 156

Ῥωμαίων πρῶτος ἐβασίλευσε Ῥωμύλος, ις' δὲ ἀπὸ Αἰνείου. ἐβασίλευσε δὲ ἔτη λη'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψμβ'.

Ἀπὸ Ῥωμύλου οἱ πρότερον καλούμενοι Λατῖνοι Ῥωμαῖοι προσηγορεύθησαν.

Οὗτος ὁ Ῥωμύλος ἀνελὼν Ῥέμον τὸν ἀδελφὸν αὐτοῦ βασιλεύει μόνος καὶ κτίζει καὶ τειχίζει Ῥώμην κατὰ τὴν ζ' ὀλυμπιάδα, ἢ ὥς τινες κατὰ τὴν ὀγδόην, ἥτις τοῖς χρόνοις Ἀχὰζ συντρέχει καὶ τῷ ͵δψνβ' ἔτει τοῦ κόσμου.

Οὗτος δὲ πρῶτος πόλεις λέγεται κτήσασθαι ὑποτελεῖς Ῥώμης. B

Ἀπὸ Ἰλίου ἁλώσεως, ἣ γέγονε τῷ ͵δτα' ἔτει τοῦ κόσμου, ἕως κτίσεως Ῥώμης καὶ τοῦ ͵δψνε' κοσμικοῦ ἔτους γίνονται ἔτη υκδ'.

Ῥωμύλος πρῶτος ἐκ τοῦ δήμου ἐστράτευσεν ἄνδρας συγκλητικούς τε ρ' γέροντας ἐποίησε, καὶ πατρικίους ἐξ αὐτῶν ἐκάλεσε, ναούς τε καὶ τείχη ἐν Ῥώμῃ ᾠκοδόμησε.

Ῥωμύλος ἐν τῷ Ῥωμαίων βουλευτηρίῳ δολοφονηθεὶς ἀποθνήσκει.

Ἐν τῷ ιγ' ἔτει τῆς βασιλείας Ῥωμύλου κτίζεται ἡ Ῥώμη.

2. ὅσοσπερ B. ὅς ὥσπερ G. 3. Vulgo ἀποστῆναι δὲ. δὲ delet m. 5. ις' om. G. δὲ] καὶ G. ἐβασίλευσεν ἔτη G. 13 et 16. πρῶτος] Vulgo α'. 13. πόλεις m. πόλις G. λέγεται B. γέγονε G. κτήσασθαι] Legebatur κτίσασθαι. ὑποτελεῖς Bm. ὑποτελῆς G. 14. ͵δτα'] ͵δτλ' m. 15. ͵δψνε'] ͵δψνδ' m. υκδ' AB. υμδ' G.

num apparente non obscure deterritus, annorum 30, qualis erat edictorum fetuum numerus, moram interponere iubetur, ac subinde a proposito destitit.

## Romanorum reges.

Romanorum post Aeneam rex primus Romulus annis 38, mundi vero 4742.

Latini ita prius dicti Romanorum appellatione a Romulo insigniti sunt.

Romulus iste, Remo fratre interfecto, regnat solus, urbem condit et cingit moenibus Olympiade septima, aut ut nonnulli coniectant octava, quae in Achaz tempus et in mundi 4752 incidit.

Primus etiam urbes alias Romae vectigales fieri decrevit.

Ab Ilii excidio, quod contigit ab orbe condito anno 4330, ad Romam usque conditam intercesserunt anni quadringenti viginti quinque.

Romulus e populo viros militiae adlegit primus; senes vero centum senatores instituit et ex eis patricios designavit et templis moenibusque exstructis urbem amplificavit.

Romulus in media senatorum Curia dolis confossus interiit.

Romuli regnantis anno 13 Romae fundamenta ponuntur.

### Ἀθηναίων βασιλεῖς.

C Ἀθηναίων κζʹ ἐβασίλευσε Θεσπιεὺς Ἀρίφρονος ἔτη κζʹ, κατὰ δὲ ἄλλους ἔτη μʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δχοαʹ.

Ἀθηναίων κηʹ ἐβασίλευσεν Ἀγαμήστωρ Θεσπιέως ἔτη ιζʹ, κατὰ δὲ ἄλλους ἔτη κζʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δχϟηʹ.

Ἀθηναίων κθʹ ἐβασίλευσεν Αἰσχύλος ἔτη ιδʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψιεʹ.

Αἰσχύλου τῷ ιβʹ ἔτει πληρουμένῳ καὶ ἀρχομένῳ τῷ ιγʹ αὐτοῦ ἔτει, ὃς ἦν κθʹ βασιλεὺς Ἀθηναίων ἀπὸ τοῦ αʹ αὐτῶν Κέ-
D κροπος τοῦ διφυέος, ιβʹ δὲ τῶν διὰ βίου ἀρχόντων, ἡ πρώτη ὀλυμπιὰς ἤχθη κατὰ τὸ ͵δψκαʹ ἔτος ἀπὸ Ἀδὰμ, Ἀζαρίου δὲ βασιλέως Ἰούδα ἔτη λθʹ, ὡς πρόκειται.

Ὀλυμπιὰς δέ ἐστι παρ' Ἕλλησι τετραετηρικὸς χρόνος, οὗ κατὰ τὴν συμπλήρωσιν ἀρχομένου τοῦ ἔτους ὁ Ὀλυμπιακὸς ἀγὼν ἤγετο. τοῦτον Ἑλλήνων παῖδες ἀσυμφώνως ἱστοροῦσι καταδεδεῖχθαι. τινὲς γὰρ αὐτῶν ἀπὸ τῆς ὑπὸ Ἡρακλέους τοῦ Ἀλκμήνης τοῦ ἀγῶνος θέσεως τὸ πρῶτον ἦρχθαι τὸ τῆς Ὀλυμπιακῆς ἀθλήσεως εἶδός φασι πρὸ χʹ ἐτῶν τῆσδε τῆς πρώτης ὀλυμπιάδος· ἄλλοι δὲ ὑπὸ Ἀεθλίου
P. 196 τεθῆναι τὸν ἀγῶνα, κἀντεῦθεν ἀθλητὰς ὀνομάζεσθαι τοὺς ἀγωνιστὰς, μεθ' ὃν Ἐπειὸς παῖς αὐτοῦ, εἶτα Ἐνδυμίων, ἔπειτα

1 om. A. 5. κζʹ B. μʹ G. 8. ιβʹ] Legebatur βʹ. Correxi ex Eusebio p. 137. ιγʹ] Legebatur γʹ. 10. διφυέος] Immo διφυοῦς. διφυέως AB. 11. ͵δψκαʹ] ͵δψκϛʹ m. τοῦ Ἀδὰμ G. 12. λθʹ] μεʹ m. ὡς πρόκειται] ὑπόκειται G. 14. τοῦ εʹ ἔτους G. 15. τοῦτον] Legebatur τούτων. 16. ὑπὸ om. G. ἡρακλέος A. ἡρακλέως B. ἀγωνοθέσεως G. 17. τῆς om. G. 18. χʹ m. ͵δχʹ G. 20. ὃν B. ὧν G. Ἐπειὸς] Legebatur Ἄπιος. Correctum ex Eusebio p. 140.

### Atheniensium reges.

Atheniensium rex 27 Thespieus, Ariphronis filius, annis 27, et ut aliis videtur 40, mundi vero 4671.

Atheniensium rex 28 Agamestor, Thespiei filius, annis 17, secundum aliorum computum 40, mundi vero 4698.

Atheniensium rex 29 Aeschylus annis 14, mundi vero 4715.

Aeschyli anno undecimo expleto et ineunte duodecimo, (fuit autem Aeschylus a biformi Cecrope rege primo nonus et vicesimus, praesidum perpetuorum 12), coepit Olympias prima, ab Adam creato anno 4726, Azariae regis Iuda 45, prout in sequentibus exponitur.

Olympias porro quadriennale spatium Graecis habetur; ad cuius finem ineunte iam anno quinto, Olympica ludicra instaurabantur. Exordium illorum primum non una ratione Graeci referunt. A primo siquidem certaminum illorum positu ab Hercule Alcmenes filio quondam adinvento Olympicae celebritatis formam et prima statuta inolevisse ante annos nimirum huius Olympiadis primae sexcentos nonnulli arbitrantur. Alii ab Aethlie positos agones docent, unde athletis de palma decertantibus factum nomen, cui in huiusmodi instituto filius Apius successit, deinde Endymion, tum

Ἀλεξῖνος, καὶ μετὰ τοῦτον Οἰνόμαος, καὶ μετὰ τοῦτον, ὥς φασι, Πέλοψ εἰς τιμὴν τῇ πατρίδι προέστη τοῦ ἀγῶνος καὶ τῆς θυσίας. ἀριθμοῦσί τε ἀπὸ τοῦ Ἀλκμήνης Ἡρακλέους ἕως τοῦδε τοῦ χρόνου γενεὰς ι', ἄλλοι δὲ τρεῖς τελείας φασὶν ὀλυμπιάδας ἐπὶ Ἴφιτον τὸν ἀνανεωσάμενον τὸν ἀγῶνα. τοῦτον γὰρ Ἠλεῖον ὄντα καὶ προνοούμενον τῆς Ἑλλάδος παῦσαί τε σπεύδοντα πολέμων τὰς πόλεις ἐκ πάσης Πελοποννήσου πέμψαι θεωροὺς τοὺς πευσομένους περὶ τῆς τῶν πολέμων ἀπαλλαγῆς, χρησμόν τε λαβεῖν B
Πυθικὸν τοῦτον

Ὦ Πελοποννήσου ναίεται παρὰ βωμὸν ἰόντες V. 157
θύετε καὶ πείθεσθε τά κεν μάντεις ἐνέπωσιν,
Ἠλεῖοι πρόπολοι πατέρων νόμον ἰθύνοντες.

τοῖς δὲ Ἠλείοις τάδε προαγορεῦσαι

Τὴν αὐτῶν ῥύεσθε πάτραν, πολέμου δ' ἀπέχεσθε,
κοινοδίκου φιλίης ἡγούμενοι Ἑλλήνεσσι,
ἔστ' ἂν ἐνὶ ξυνόδοις ἔλθῃ φιλόφρων ἐνιαυτός.

Τούτου χάριν καὶ Ἴφιτος κατήγγειλε τὴν ἐκεχειρίαν ἐπὶ ἡμέρῳ C
τροφῇ χρῆσθαι ὑπὸ Ἡρακλέους καὶ χεῖρας ἀλλήλοις οὐκ ἐπέφερον. τὸν δὲ ἀγῶνα τετέλεκεν Ἴφιτος Ἡρακλείδης σὺν Λυκούργῳ συγ-

1. Ἀλεξῖνος ex Eusebio emendatum. Legebatur Ἀλέξιος. 2. καὶ om. G. 3. ἡρακλέως AB. τοῦδε om. G. τοῦ om. B. 4. Addidi δέ. 5. Ἠλεῖον] Vulgo Ἴλιον. Recte Eusebius. 7. πέμψας G. 10. B etiam hic πελοπονήσου. παρὰ βωμὸν Scaliger p. 39. περιβώμιον AB. περιβώμι' G. 11. τά κεν Scaliger. Vulgo τὰ καί. 12. Ἠλεῖοι] ἣν ἴλιοι AB. 13. ἰλίοις AB. et similiter infra. προσαγορεῦσαι B. 14. ῥύεσθαι et ἀπέχεσθαι AB. 15. φιλίας AB. Ἑλλήνεσσι om. AB. 16. ἔστ'] εὖτ' G. ξυνόδοις] Legebatur τριόδοις. ξυνωδοῖσιν AB. 17. ἐπὶ] ἔτι G.

Alexius, cui munere functo Oenomaus suffectus est, quem, aiunt, Pelops excepit ob patriae honorem sacris in certamine celebratis praefectus. Scriptores isti ab Hercule, Alcmenes filio, ad praesens usque tempus aetates numerant decem; tres tantum integras Olympiades recensent alii usque ad Iphitum agonis reparatorem. Hic in Elide natus, Graeciae sibi commissa potestate, cunctas Peloponnesi urbes a belli tumultibus liberas et immunes reddere sollicitus, missis exploratoribus, qui de bello sedando et componenda pace rogarent oraculum, divinum istiusmodi Pythiae responsum tulit.

O Peloponnesi incolae qui deorum simulacra aditis
Ferte sacra et vatum oraculis obedite.
Qui in Elide deorum cultum et paterna instituta observant.

Eliensibus pariter oraculum hoc datum narrant:

Patriam vestram liberate et a bellis abstinete,
Communis foederis duces facti Graecis,
Donec annuis tribus periodis lapsis iucundior et concors altera redeat.

Huius gratia, induciis indictis, quasi Herculis iussu, ne bello manus consererent et urbano ad invicem convictu uterentur, Iphitus suasit. Idemmet deinde cum Lycurgo consanguineo, (erant enim ambo Heraclidae), lu-

γενεῖ. ἑκάτεροι δὲ Ἡρακλεῖδαι. τότε δὲ ἀγὼν σταδίου μόνον ἦν καὶ οὐδεὶς ἀνεγράφετο νικηφόρος, ἀμελούντων τῶν τηνικάδε. ὀγδόῃ δὲ καὶ εἰκοστῇ ὀλυμπιάδι Κόροιβος Ἠλεῖος ἀνεγράφη στάδιον νικήσας, καὶ ἡ κατ' αὐτὸν ὀλυμπιὰς πρώτη ἐτάχθη, ἀφ' ἧς Ἕλληνες ἀριθμεῖν τι δοκοῦσιν ἀκριβῶς χρονικόν. ταῦτα Ἀριστόδημος ἱστορεῖ καὶ συνῳδὰ τούτῳ Πολύβιος. Καλλίμαχος δέ φησιν ὀλυμπιάδας ιγ' παρεῖσθαι μὴ ἀναγραφείσας, τῇ δὲ ιδ'
D Κόροιβον Ἠλεῖον νικῆσαι. ὥστε ἐκ πάντων ἡμῖν δείκνυσθαι τὸν περὶ τῶν ὀλυμπιάδων λόγον οὐ παρὰ πᾶσιν εἶναι τὸν αὐτόν. ὅθεν καὶ τοῖς ἐκκλησιαστικοῖς ἱστορικοῖς οὐ συμπεφώνηται, ὡς ἔστι μαθεῖν τοὺς βουλομένους τοῖς ἐκείνων συγγράμμασιν ἐντυγχάνοντας. ἡμῖν γὰρ τοῦτο μόνον ἐσπούδασται, σαφῆ τινα καὶ κεφαλαιώδη τοῖς ἀγνοοῦσι θεωρίαν ἐκθέσθαι, οὐχ ὅτι ταῖς θείαις γραφαῖς περὶ ὀλυμπιάδων τι εἴρηται, ἀλλ' ὅτι πολλοῖς ὁ περὶ αὐτῶν λόγος πατράσιν ἐν χρήσει γέγονε, διὰ τὸ μετρεῖσθαι αὐτὰς παρά τε Μακεδόσι καὶ Ῥωμαίοις καὶ Πέρσαις καὶ Αἰγυπτίοις καὶ αὐτοῖς Ἰουδαίοις, ὡς μαρτυρεῖ Φίλων καὶ Ἰώσηππος ὀνομάζοντες αὐτάς.

P. 197 Οὐκ ἄμουσον δ' ἂν εἴη καὶ τὴν παρ' Αἰγυπτίοις περὶ τῶν τετραετηρικῶν ὀλυμπιάδων ἔννοιαν ἄλλην τινὰ τῆς παρὰ τοῖς Ἀθηναίοις οὖσαν ἐν βραχεῖ δηλῶσαι τοῖς ἀγνοοῦσιν. ἡ γὰρ σελή-

1. μόνον ἦν B. ἦν μόνον G. 3. εἰκοστῇ Scaliger. Vulgo εἰκάδι. Vulgo Κόρυβος et infra Κόρυβον. 14. τι om. G. πολλοῖς add. B. πολὺς A. om. G. 17. ὡς] καὶ G. 20. τῆς] Legebatur τήν.

dicrum certamen consecravit. Caeterum de solo in stadio cursu agon erat primitus institutus; et ex incuria victoris nullius nomen in fastos referebatur. Coroebo deinde Eliensi Olympiade 28 victore proclamato et eius nomine publicis tabulis consecrato, ea, qua vicit, Olympias omnium prima deinceps habita, ex qua rationem temporum accuratiorem deducendam Graecis placitum. De his narrationem Aristodemus contexuit et ei consentanea Polybius; Olympiades licet 13 omissas, 14 vero Coroebum victorem pronunciatum in adversum Callimachus contendat. Quare non omnium apud omnes Olympiadum esse rationem, nec ecclesiasticis Historicis concordem in iis sententiam esse, eorum evolventibus scripta haud difficulter constabit. Nobis vero illud solummodo consilium fuit, ut Olympiadum insciis brevem ac dilucidam earum proferremus expositionem, non quod Olympiadum sermo a scripturis divinis tractetur, sed quod nonnulla sit earum apud sanctos patres mentio et a Macedonibus, Romanis, Persis, Aegyptiis et ipsis quoque Iudaeis memorentur, e quorum grege Philo et Iosephus non obscurum iisdem testimonium ferunt.

Ut vero labore nostro nonnulla fiat litteris accessio, agedum aliam quadriennalium Olympiadum ab Aegyptiis excogitatam rationem et ab Atheniensibus usitata diversam compendio, quantum res feret, non exper-

*νη παρ' Αἰγυπτίοις κυρίως ὀλυμπιὰς καλεῖται, διὰ τὸ κατὰ μῆνα περιπολεῖν τὸν ζωδιακὸν κύκλον, ὃν οἱ παλαιοὶ αὐτῶν Ὄλυμπον ἐκάλουν. αὕτη γὰρ ἀπὸ καρκίνου τοῦ ἰδίου οἴκου ὡς ἀπὸ κέντρου προερχομένη τὰ ιβ' κατασπάζεται ζώδια ἐν νυχθημέροις κθ' καὶ ἡμίσει καὶ λεπτοῖς λγ', γ'. τῷ δὲ ἐνιαυτῷ ὅλῳ δωδεκάκις αὐτὰ περιπολοῦσα πληροῖ νυχθήμερα τνδ' καὶ ὥρας η' καὶ λεπτὰ μ'.* B *ὁ δὲ ἥλιος ἐν νυχθημέροις τξε' δ' περιπολεῖ τὸν αὐτὸν Ὄλυμπον, ὡς λείπεσθαι τὸν σεληνιακὸν ἐνιαυτὸν τοῦ ἡλιακοῦ νυχθήμερα ι', ὥρας κα', λεπτὰ ε'. πληροῖ οὖν ὁ ἥλιος ἐν ὀλυμπιάδι μιᾷ τετραετηρικῇ ἡμέρας ͵αυξα', ἡ δὲ σελήνη νυχθήμερα ͵αυιζ', ὥρας ια', λεπτὰ κθ'. σελήνιον ἓν καὶ ἥμισυ. ἐν δὲ ὀλυμπιάσι δύο γίνονται σελήνια ϟθ', νυχθήμερα δὲ ͵βϡκβ', ἃ καὶ ὁ ἥλιος ἐν τοῖς η' ἔτεσι. καὶ τοιαύτη μὲν ἡ τῶν Αἰγυπτίων δόξα περὶ ὀλυμπιάδων.*

*Τῷ δὲ παρὰ τοῖς Ἀθηναίοις ὀλυμπιάδων ἀνεγράφησαν σταδιονῖκαι σμη' μόνοις ἐτῶν ϡπθ', ἀρξαμένων ἀπὸ τοῦ καθολικοῦ κοσμικοῦ ͵δψκε' ἔτους ἕως τοῦ ͵εψιϛ', τοῦτ' ἔστιν ἀπὸ τοῦ με'* C *ἔτους Ὀζίου.*

*Εὐσέβιος δὲ τὴν πρώτην ὀλυμπιάδα ἐπὶ Ἰωαθὰμ συνάγει τοῦ μετὰ η' ἔτη βασιλεύσαντος τοῦ Ἰούδα καὶ τὸν Ἀφρικανὸν προφέρει συνᾴδοντα αὐτῷ ἐν τούτῳ. ὁ δὲ Ἀφρικανὸς μᾶλλον ἐναν-* V. 158

8. ἀπὸ] ὑπὸ A. 9. οὖν] δὲ G. 11. κθ'] κε' B. σελήνιον ἓν καὶ ἥμισυ delet m. 13. τῶν Ὀλυμπιάδων G. 14. Τῷ] Τῶν G. σταδιονῖκαι m. σταδίων ι' καὶ G. 15. ἐτῶν] ἔτεσιν m. ἀρξαμένων B. ἀρξαμένου G. ἀρξαμένοις m. 16. ͵δψκε'] ͵αψκε' A. 18. Εὐσέβιος] P. 319. Conf. Chronicon Pasch. p. 104. ἰώθαμ B. Ιωάθαν G. 19. τοῦ Ἰούδα] τοῦ om. A.

tis referamus. Luna sane proprio vocabulo Aegyptiis dicitur Olympias, quod mensibus singulis Zodiaci (id antiquis Olympus nuncupatur) circularem ambitum peragret; a Cancro quippe propria sibi domo profecta, signa Zodiaci duodecim obit diebus integris 29 cum medio et minutis 33 additis secundis tribus; circumlustratis autem per annum duodecies signis cunctis, dies adimplet 354, horas 8 et minuta 40. Sol vero diebus 365 et alterius quadrante Olympum peragrat eundem, adeo ut solari lunaris alter diebus integris 10, horis 21, scrupulis 5 minor sit. Explet demum sol in una tetraeteride Olympica dies 1461, luna dies noctesque vertentes et integras 1417, horas 11, scrupula 29. Olympiadibus porro duabus menstruae periodi numerantur 99, dies cum noctibus 2922, quae sol pariter annorum 8 circulo metiri deprehenditur. Hic de Olymp. Aegypt. sensus.

In Atheniensium porro fastos sola cursu victorum 248 nomina relata sunt annis 989 a communi mundi anno 4725 posito numeri principio, ultimo vero limite anno 5716; ab Oziae nimirum regni 45.

Eusebius, Africano teste sibi consentiente producto, sub Ioatham, cuius in Iuda regnum annis octo Oziae quinto et quadragesimo posterius agnoscitur, Olympiadem primam colligit; Africanus autem Eusebii sententiam

τιοῦται τῷ Εὐσεβίῳ, κατὰ τὸ α' ἔτος Ἄχαζ τὴν πρώτην ὀλυμπιάδα φάσκων ἦρχθαι ἔν τε τῷ τρίτῳ καὶ ἐν τῷ τετάρτῳ λόγῳ τῶν ἱστορικῶν αὐτοῦ τρανῶς, ἐν οἷς ὧδε γράφει· ἀναγραφῆναι δὲ πρώτην τὴν τεσσαρεσκαιδεκάτην, ἡνίκα καὶ Κόροιβος στάδιον. τότε ἐβασίλευσεν Ἄχαζ ἐπὶ Ἱερουσαλὴμ ἔτος πρῶτον. εἶτα ἐν τῷ τετάρτῳ φησίν· ἦν δ' ἄρα τοῦ Ἄχαζ βασιλείας ἔτος πρῶτον, ᾧ
D συντρέχειν ἀπεδείξαμεν τὴν πρώτην ὀλυμπιάδα.

## Μήδων βασιλεῖς.

Μήδων α' ἐβασίλευσεν Ἀρβάκης, ὁ καταλύσας τὴν τῶν Ἀσσυρίων ἀρχὴν, ἔτη κη'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δχος'.

Μήδων β' ἐβασίλευσε Μανδαύκης ἔτη κ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψδ'.

Μήδων γ' ἐβασίλευσε Σώσαρμος ἔτη λ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψκδ'.

Μήδων δ' ἐβασίλευσεν Ἀρτύκας ἔτη λ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψνδ'.

P. 198 Μήδων ε' ἐβασίλευσε Δηιόκης ἔτη νδ'. Δηιόκης ὁ Μήδων βασιλεὺς ἔκτισεν Ἐκβάτανα τὴν πόλιν μεγάλην καὶ διαβόητον. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψπδ'.

2. ἔν τε] ἐν δὲ G. 4. τεσσαρισκαιδεκάτην A. ἡνίκα B. Vulgo Κόρυβος. στάδιον] ἐνίκα add. m. 5. ἀχὰς A. ἄχας B. 6. δ' add. B. ἄρα] ἱάρα A. Ἄχαζ] ἄχας AB. ᾧ m. ὡς AB. ὧς G. 7. συντρέχειν Bm. συντρέχει AG. 15. ἀρτύκας AB. 17. Δηιόκης bis correxi ex Eusebio p. 47. 323. Vulgo Διοίκης. διοικὴς B. διοικῆς altero loco A. 18. ἐκβακτάα (sic) AB. 19. τοῦ — ͵δψπδ' G supra posuit post νδ'.

opposita destruit auctoritate ad Achaz tempus Olympiadem primam tertio et quarto Historicorum libro apertis hisce verbis initium habuisse affirmans: „Olympiadem primam quae tamen quarta et decima fuit, cum stadio victor Coroebus renunciatus est ad Achaz in Hierusalem regnantis annum primum revocandum censeo." Subiungit in quarto: „Achaz porro regni fuit hic annus primus, in quem Olympiadem primam incidere demonstravimus."

## Medorum reges.

Medorum rex primus Arbaces, qui Assyriorum regnum evertit, annis 28, mundi vero 4676.

Medorum rex 2 Mandauces annis 20, mundi vero 4704.

Medorum rex 3 Sosarmus annis 30, mundi vero 4724.

Medorum rex 4 Artycas annis 30, mundi vero 4754.

Medorum rex 5 Dioeces annis 54, mundi vero 4784.

Dioeces Medorum rex Ecbatana magnam et celebrem urbem condidit.

*Μακεδόνων βασιλεῖς.*

*Κάρανος ὁ Ἀργεῖος Φείδωνος ἀδελφὸς, τοῦ τότε βασιλέως Ἄργους, ἰδίαν κτήσασθαι χώραν σπεύδων δύναμιν λαβὼν παρὰ* B *Φείδωνος τοῦ ἀδελφοῦ, ἔκ τε Ἄργους καὶ τῆς ἄλλης Πελοποννήσου τοῖς κατὰ Μακεδονίαν τόποις ἐπῆλθε. συμμαχήσας δὲ καὶ τῷ τῶν Ὀρεστῶν βασιλεῖ κατὰ τῶν πλησιοχώρων Ἐορδανῶν λεγομένων, τῆς κατακτηθείσης χώρας τὸ ἥμισυ προσλαβὼν διὰ τὴν συμμαχίαν, παρέλαβε τὴν Μακεδονίαν καὶ ἔκτισε πόλιν ἐν αὐτῇ κατὰ χρησμὸν, ἐξ ἧς ὁρμώμενος συνεστήσατο τὴν Μακεδονικὴν βασιλείαν, ἣν καθεξῆς οἱ ἀπ' αὐτοῦ διεδέχοντο. ἦν δὲ ὁ Κάρανος ἑνδέκατος ἀπὸ Ἡρακλέους, ζʹ δὲ ἀπὸ Τημένου τοῦ μετὰ τῶν ἄλλων Ἡρακλειδῶν κατελθόντος εἰς Πελοπόννησον.*

*Κάρανος Μακεδόνων αʹ ἐβασίλευσεν ἔτη λʹ. τοῦ δὲ κόσμου ἦν* C *ἔτος ͵δψαʹ. πρὸ τῆς πρώτης ὀλυμπιάδος ἔτεσιν ιηʹ. ἀπὸ Καράνου τοῦ αʹ βασιλέως Μακεδόνων ἕως Ἀλεξάνδρου τοῦ κτίστου βασιλεῦς Μακεδόνων κδʹ ἔτη .....*

*Φείδων Ἄργους κρατῶν ἀδελφὸς Καράνου τοῦ αʹ βασιλέως*

1. In G praemissum *Περὶ τῆς τῶν Μακεδόνων ἀρχῆς· πόθεν ἤρξατο*, quae om. B. 2. *κάραμος* B. Legebatur *τούτου τότε βασιλείας Ἀργείας*. Emendavit Scaliger p. 39. 5. *τοῖς — τόποις* B. *τοὺς — τόπους* G. 6. *Ἐορδανῶν*] *Δαρδάνων* Scaliger. *Eordensibus* Eusebius p. 169. 7. *κατακτηθείσης* Scaliger. Vulgo *κατατιθείσης*. 14. *ιη'*] *κε'* m. 16. *βασιλεῖς* B. *βασιλεῖ* A. *βασιλείας* G. *ἔτη*] *υνε'* add. m. Sed vide ne *ἔτη* deleri oporteat. Lacunae indicium in neutro codice.

## De Macedonum imperio; unde coepit exordium.

### Macedonum reges.

Caranus Argivus Phidonis ea tempestate Argivorum regis frater propriam sibi regionem possidendi cupiditate motus, adiuncta Phidonis fratris militum manu, et Argis totaque Peloponnesi ditione collecto exercitu, posita ad Macedoniam loca invasit. Missis etiam adversus vicinos Eordanos Orestorum regi copiis auxiliaribus, devictae et armis recens partae regionis parte media, ceu opis latae mercede, accepta, Macedoniam possedit; et ex oraculi consulto in ea condidit urbem, ex qua feliciter in vicinos irruptionibus factis, Macedonicum imperium posuit, quod deinde posteri successionis iure tenuerunt. Erat porro Caranus ab Hercule undecimus, et a Temeno cum Heraclidis aliis in Peloponnesum suscepta expeditione profecto, septimus.

Caranus Macedonum rex primus regnavit annis 30, mundi vero 4701.

Hic Olympiadem primam annis 25 antecessit.

A Carano Macedonum rege primo ad Alexandrum Macedonum imperii illustrem instauratorem et regem 24 anni 455 interponuntur.

Phidon Argorum princeps Carani Macedonum regis primi frater men-

*Μακεδόνων μέτρα καὶ στάθμια πρῶτος ἐφεῦρεν, ὥς τινες· ἦσαν δὲ καὶ πρὸ τούτου.*

V. 159 *Μακεδόνων β' ἐβασίλευσε Κοῖνος ἔτη κη'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δψλα'.*

D

## ΚΟΣΜΟΥ ΕΤΗ.

*Τοῦ Ἰούδα θ' ἐβασίλευσεν Ἀμεσίας ἔτη κθ', υἱὸς αὐτοῦ. τοῦ δὲ κόσμου ἦν ἔτος ,δχνγ'.*

*Ἀμεσίας ἐστράτευσε κατὰ τῶν Ἰδουμαίων καὶ τῶν υἱῶν Σηεὶρ, καὶ ἔλαβε νικήσας τοὺς θεοὺς αὐτῶν, καὶ ἀγαγὼν εἰς Ἱερουσαλὴμ ἐλάτρευσεν αὐτοῖς.*

*Ἀνῃρέθησαν δὲ ἐν τῷ πολέμῳ ἐκ τοῦ Ἰούδα ἄνδρες ,γ ὑπὸ τῶν ι' φυλῶν.*

*Τὰ κατὰ Νεεμὰν τὸν ἀρχιστράτηγον βασιλέως Συρίας, καὶ*
P. 199 *ὅπως τῆς λέπρας ἀπηλλάγη. ταύτην τε Γιεζὶ ὁ δοῦλος Ἐλισσαίου χρήμασιν ἐπεσπάσατο ψευσάμενος τῷ προφήτῃ.*

*Προφήτῃ ξυλευομένῳ παρὰ τὸν Ἰορδάνην ἐξέπεσε τὸ σιδήριον τοῦ στελέου, ὅπερ ἀναπλεῦσαν ὡς ξύλον προστάξει Ἐλισσαίου ἀπέλαβεν ὁ προφήτης.*

*Ἀμεσίας ἐπαναστάσεως γινομένης ἀνῃρέθη φυγὼν εἰς Λαχὶς, βασιλεύσας ἔτη κθ'.*

1. *εἶσαν* B. 8. Vulgo *Κοινός.* *κη'* B et Eusebius p. 170. *κθ'* G. 6. *Ἀμασίας* G. *αὐτοῦ*] H. e. *Ἰωάς.* Vide p. 187 c. 8. *Ἰδουμαίων — Σηεὶρ* correctum ex Paralip. II. 25, 14. Vulgo *Ἰουδαίων — Σιεὶρ.* 13. *Ναιμὰν* dicitur Reg. IV, 5. 14. *γιεζὶ* B. *Γιεζῆ* G. 19. *γενομένης* G. *λαχεὶς* AB.

suras et pondera, ex quorundam relatu primus invenit; eorum tamen usum eius tempore priorem esse certum est.

Macedonum rex 2 Coenus annis 28, mundi vero 4731.

## ANNI MUNDI.

Iuda rex 9 Amesias annis 29, mundi vero 4653.

Amesias in Idumaeos et filios Seir educto exercitu, deos eorum, parta victoria, in Hierusalem invectos coluit.

Bello adversus Iudam a tribubus decem moto, virorum tria millia perierunt.

Res circa Naeman Assyriorum regis ducem gestae; ut lepra curatus, quam Giezi Elissaei servus pecuniarum cupiditate in mendacium coram propheta abductus contraxit.

Ad Iordanis ripam ligna caedenti prophetae securis ferrum manubrio excussum in aquam decidit; eductum autem et Elissaei iussu ad instar ligni flumini supernatans a propheta recipitur.

Amesias populi seditione orta fugiens in Lachis trucidatur anno regni 29.

*Τοῦ Ἰούδα ι' ἐβασίλευσεν Ἀζαρίας ὁ καὶ Ὀζίας, υἱὸς Ἀμεσίου, ἔτη νβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δχπβ'.*

*Οὗτος εὐσεβὴς ἦν καὶ τοῖς περιοίκοις τῶν ἐθνῶν πολεμήσας πόλεις ἔλαβε πλείστας. φιλεργότατος δὲ ὢν πύργοις καὶ τείχεσι* B *τὰς πόλεις κατεφρούρησε τήν τε ἔρημον λάκκοις ὑδάτων κατεφρεάτωσεν.*

*Οὗτος Ὀζίας εἰσελθεῖν εἰς τὰ ἅγια πειραθεὶς, κωλύοντος αὐτὸν Ἀζαρίου τοῦ ἀρχιερέως, ἐλεπρώθη· καὶ ἦν ἀπρόσιτος διὰ τὸ αἶσχος. Ἰωαθὰμ δὲ ὁ υἱὸς αὐτοῦ ἐδίκαζεν ἀντ' αὐτοῦ τὸν Ἰούδαν.*

*Προεφήτευον δὲ Ἀμὼς, Ὡσηὲ, Ἡσαΐας.*

*Πρώτη ὀλυμπιὰς ἤρξατο ἔτει Ὀζίου με'.*

*Τοῦ Ἰούδα ια' ἐβασίλευσεν Ἰωαθὰμ υἱὸς Ὀζίου ἔτη ις'. τοῦ δὲ* C *κόσμου ἦν ἔτος ,δψλδ'.*

*Ἀρχὴ ὀλυμπιάδος γ'.*

*Ἰωαθὰμ εὐσεβὴς ὢν ᾠκοδόμησε τὴν πύλην οἴκου κυρίου, Ἀμμανίταις τε χρήματα ἐπετάξατο.*

*Ἔτι προεφήτευον Ὡσηὲ, Ἰωὴλ, Ἡσαΐας, Ὠδὴδ, Μιχαίας.*

*Ἰωαθὰμ πλεῖστα ᾠκοδόμησεν ἐν Ἱερουσαλήμ.*

*Τοῦ Ἰούδα ιβ' ἐβασίλευσεν Ἄχαζ ἔτη ις'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δψν'.*

1. Ὀζίας] *Ochosias* Eusebius p. 84. *ναμεσίου* AB. 8. *ἀπρόιτος* A. *ἀπρόητος* B. 9. *ἰωάθαμ* B. *Ἰωάθαν* G. 10. *Ἰούδα* G. 12. *ἔτει* B. *ἔτη* G. 13 Vulgo *Ἰωάθαμ* hic et infra. 14. *,δψλδ'* m. *,δψλ'* G. 15. *ὀλυμπιάδος γ'*] *ὀλυμπιάδος γ' πρώτη* AB. *τρίτης Ὀλυμπιάδος* G. 18. *Ἔτι*] *ἔτη* A. *ὠδῆδ* A. *Ὀδὴδ* G.

Iuda rex 10 Azarias, qui et Ozias, filius Amesiae, annis 52, mundi vero 4682.

Hic religiosus extitit et armis in vicinas gentes motis plures earum urbes obtinuit. Publicorum operum studiosus turribus ac moenibus urbes communivit et aquarum cisternis et puteis deserta quaeque loca locupletavit.

Ozias iste, Azaria pontifice vetante, in sancta ingredi ausus, in lepram incidit, qua vultu eius omnino deturpato a populi accessu summotus est. Ioathan autem filius patris vices exsequuturus ius in populum dicebat.

Amos, Ozee, Esaias prophetiae gratia clari.

Olympiadis primae exordium anno Oziae 45 affigitur.

Iuda rex 11 Ioatham Oziae filius annis 16, mundi vero 4734.

Olympiadis tertiae initium.

Ioatham religionis observantissimus domus domini portam aedificavit; annuumque pecuniarum vectigal annis duobus ab Ammanitis exegit.

Ozee, Ioël, Esaias, Oded, Michaeas, prophetiae spiritu conspicui.

Ioatham publicas aedes plurimas in Hierusalem exstruxit.

Iuda rex 12 Achaz annis 16, mundi vero 5750.

D Ἄχαζ συντυχὼν τῷ Θεγλαφαλασὰρ ἐν Δαμασκῷ θυσιαστήριόν τι εἰδωλικὸν εἶδε. τούτου λαβὼν τὰ μέτρα ἀπέστειλεν εἰς Ἱερουσαλὴμ πρὸς Οὐρίαν τὸν ἀρχιερέα, κελεύσας ὅμοιον αὐτοῦ ποιῆσαι, ἐφ' ᾧ τοῖς θεοῖς Σύρων ἔθυεν ὑποστρέψας· τὸν δὲ ναὸν τοῦ θεοῦ ἔκλεισεν.

Ἔτι προεφήτευον Ἡσαΐας, Ὠσηέ, Μιχαίας.

Τοῦ Ἰούδα ιγʹ ἐβασίλευσεν Ἐζεκίας ἔτη κθʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψξϛʹ.

Ἐζεκίας υἱὸς Ἄχαζ καὶ Ῥαβουνᾶ τῆς θυγατρὸς Ζαχαρίου πάντων εὐσεβέστερος γέγονε τῶν πρὸ αὐτοῦ βασιλευσάντων ἐν
P. 200 V. 160 Ἱερουσαλὴμ μετὰ τὸν Δαβίδ. οὗτος τὰ εἰδωλεῖα κατέσκαψε καὶ τὰς στήλας αὐτῶν συνέτριψε, τά τε ἐν τοῖς ὑψηλοῖς καθεῖλεν ἀπὸ Σολομῶνος μέχρις αὐτοῦ θυμιώμενα ὑπὸ τῶν Ἰουδαίων, καὶ τὰ ἄλση ἐξέκοψεν, ἀφανίσας καὶ τὸν ὄφιν, ὃν ὕψωσε Μωϋσῆς ἐν τῇ ἐρήμῳ τὸν χαλκοῦν, ἕως αὐτοῦ ὑπὸ τοῦ λαοῦ θυμιώμενον καὶ λατρευόμενον μετὰ τῶν λοιπῶν βδελυγμάτων.

Ἐζεκίας μὲν οὖν ὁ βασιλεὺς Ἰούδα μετὰ τὸ κατασκάψαι τὰ εἰδωλεῖα καὶ τὰ ἄλση ἐκκόψαι καὶ τὸν χαλκοῦν ὄφιν ἐξαλεῖψαι τοὺς εὑρισκομένους εἰδωλολατροῦντας ἐξ Ἰουδαίων ἐθανάτου. το-
B σοῦτον γὰρ τῇ εἰδωλολατρείᾳ συνείχοντο ὥστε τῶν θυρωμάτων ὄπισθεν ζωγραφεῖν τὰ βδελύγματα τῶν ἐθνῶν καὶ προσκυνεῖν αὐτοῖς, καὶ ἵνα τῶν παρ' Ἐζεκίου ψηλαφᾶν πεμπομένων κρύβοιντο

1. Θαλγαθφελλασάρ est Reg. IV. 15, 29. et alibi. 6. καὶ Μιχαίας G. 9. Ῥαβουνᾶς G. 13. σολομῶνος B. Σολομῶντος G. ὑπὸ] παρὰ G. 15. θυμιώμενον om. G.

Cum Theglathphellasar Damasci colloquutus Achaz, conspecto idolis consecrato altari, eiusque exemplari ad Uriam pontificem misso, aliud simile erigi iussit; in quo reversus Syrorum diis victimas immolavit et dei templum clausit.

Esaias, Osee et Michaeas prophetiis enunciandis adhuc supererant.

Iuda rex 13 Ezecias annis 29; erat porro mundi vulgaris annus 4766.

Ezecias, Achaz et Rabuna, Zachariae filia natus, maiorum omnium suorum a David aetate Hierusalem regno potitorum piissimus extitit. Subversis idolorum templis et simulacris minutim confractis, aras in montium cacuminibus positas, in quibus a Salomonis aetate thus adolebant Iudaei, sustulit; lucos etiam omnes excidit, et serpentem aheneum a Mose quondam in deserto elatum, et usque huc temporis cum nefandis aliis superstitioso cultu a populo observatum exterminavit.

Ezecias itaque rex Iuda effossis templis, lucis excisis, aheneo quoque serpente deleto, ex Iudaeis idola coluisse repertos capite plectebat. Eo siquidem laborabant idololatriae aestu, ut abominanda quaeque gentium simulacra adoraturi retro portas appingerent; ut iis apertis nec visu nec tactu, qui ab Ezecia missi fuerant, attrectare vel deprehendere possent.

*ἀνοιγομένων τῶν θυρῶν. ἦν δὲ καὶ Σολομῶνος γραφή τις ἐγκεκολαμμένη τῇ πύλῃ τοῦ ναοῦ παντὸς νοσήματος ἄκος περιέχουσα, ᾗ προσέχων ὁ λαὸς καὶ τὰς θεραπείας νομιζόμενος ἔχειν κατεφρόνει τοῦ θεοῦ· διὸ καὶ ταύτην Ἐζεκίας ἐξεκόλαψεν, ἵνα πάσχοντες τῷ θεῷ προσέχωσιν.*

*Ἐπολέμησε δὲ τοῖς ἀλλοφύλοις μέχρι Γάζης.*

*Ἀσσυρίων τε ἀπέστη πρότερον ὑπήκοος ὢν καὶ τὰ διεφθαρ-* C
*μένα τείχη τῆς Ἱερουσαλὴμ ἀνεκαίνισεν, δεύτερον αὐτῇ περιθεὶς τείχισμα, ἀφανίσας δὲ τὰ πέριξ τῆς πόλεως ὕδατα διὰ δίψαν τῶν πολεμίων καὶ μόνην ἀποστρέψας ἔνδον τῆς πόλεως τὴν τοῦ Σιλωὰμ πηγήν.*

*Ἐπιστρατεύσαντος δ' αὐτῷ τοῦ Σενναχηρὶμ καὶ τὰς πέριξ πορθοῦντος πόλεις συγγνώμην αὐτῷ τῆς ἀποστασίας ᾔτει, δοὺς καὶ τριακόσια τάλαντα ἀργυρίου χρυσίου τε τριάκοντα. ὁ δὲ ταῦτα λαβὼν οὐκ ἀπέστη, ἀλλὰ Ῥαψάκην στρατηγὸν αὐτοῦ σὺν ὄχλῳ βαρεῖ κατὰ τῆς Ἱερουσαλὴμ πέμψας ἀπειλὰς ἔγραψε πρὸς Ἐζεκίαν* D
*καὶ εἰς θεὸν βλασφημίας. τὸ δὲ βιβλίον τῆς γραφῆς ταύτης ἐνώπιον κυρίου ἁπλώσας ἐθαρρύνετο πρὸς τοῦ προφήτου Ἡσαΐου, μὴ φοβεῖσθαι δὲ τοὺς ἀσεβεῖς, ὡς ὑπὸ θεοῦ πτοηθησομένους. τότε ἄγγελος κυρίου νυκτὸς διέφθειρε παραδόξως ρπε' χιλιάδας*

1. *Σολομῶνος*] Legebatur *Σολομῶν ὡς*. *ἐγκεκολλαμένη* AB. 2. *τοῦ ναοῦ* et *ἄκος* om. G. 5. *προσέχουσιν* B. 7. *Ἀσσυρίας* G. 9. *ὕδατα* om. G. 12. *Σενναχηρὶμ*] *σεναχηρεὶμ* A. *σενναχειρεὶμ* B. 15. *τὸν στρατηγὸν* G. 17. *συγγραφῆς* G. 19. *δὲ* om. G. *πτωηθησομένους* B.

Ad scripturae porro modum tabulae cuidam a Salomone caelati characteres inerant ac portae affixi, morborum omnium remedia intuentibus exhibentes; istis inspiciendis cum populus attentius adverteret et infirmitatum curam se consequuturum ratus, dei potentiam aspernaretur, caelaturam delevit Ezecias et aegritudinibus iactatos ad dei opem implorandam reduxit.

Adversus alienigenas Gazae incolas expeditionem suscepit.

Ab Assyriis, eorum excussa servitute, defecit, reparatisque, ubi disiecta erant, Hierusalem moenibus, altero muro urbem per gyrum circumvallavit. Scaturientes circa civitatem latices aquae penuriam hostibus inducturus, solo Siloam fonte in eam invecto obturavit.

Caeterum a Sennacherim bellum movente ac vicinas urbes depopulante, defectionis veniam petebat Ezecias, datis ultro argenti trecentis et auri talentis triginta.

His acceptis Sennacherim arma vel iram non deposuit; quin immo Rapsace copiosi exercitus duce in Hierusalem misso, minis Ezeciam, deum blasphemiis lacessebat. Apertis autem et expansis in domini conspectu tabulis, animos addebat Esaias propheta, neve timeret hostes a deo brevi deterrendos et profligandos, exhortabatur. Tunc in Assyriorum castris hominum centum et octoginta quinque millia, praeter spem nocte una, angelus do-

*ἀνδρῶν τῆς τῶν Ἀσσυρίων παρεμβολῆς. καὶ Σενναχηρὶμ σὺν τοῖς ὑπολοίποις ἀνέζευξεν ἀδόξως εἰς τὴν Ἀσσυρίαν, ἀκηκοὼς ὅτι καὶ ὁ τῶν Αἰθιόπων βασιλεὺς Βαραθὰχ ἔρχεται πολεμήσων αὐτόν. ἐλθὼν δὲ εἰς Νινευὶ τοὺς αἰχμαλώτους τοῦ Ἰσραὴλ ἐκακούχει, αὐτός τε ὑπὸ τῶν ἰδίων ἀναιρεῖται τέκνων.*

*Ὁ δὲ βασιλεὺς Ἐζεκίας νοσήσας πρὸς θάνατον τῷ ιε' ἔτει*
P. 201 *τῆς βασιλείας αὐτοῦ ἀπηγορεύθη τοῦ ζῆν ὑπὸ Ἡσαΐου καὶ στραφεὶς καὶ δακρύσας πρὸς θεὸν ἐτῶν ιε' προσθήκην ζωῆς ἔλαβε, διὰ τοῦ παραδόξου σημείου πιστουμένην, τῆς ἐπανόδου τοῦ ἡλίου ἐκ τῆς φυσικῆς κινήσεως δέκα βαθμοὺς ἀναποδισάσης καθ' ὅλην τὴν οἰκουμένην, ὡς εἶναι τὴν ἡμέραν ἐκείνην μόνην χωρὶς τῆς ἰδίας νυκτὸς ὡρῶν κβ'.*

*Οὗτος Ἐζεκίας πρὸ τῆς νόσου, φασί, σωφροσύνην ἤσκει, ἀθάνατος δι' αὐτῆς ἔσεσθαι ἐλπίζων καὶ τὸ „οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα" εἰς τοῦτο νοῶν. ἐν δὲ τῷ ἀσθενεῖν ηὔξατο ἀναστὰς παιδοποιήσειν. ὁ δὲ Μαροδὰχ Βαλαδὰν ἐκπλαγεὶς τῷ σημείῳ τῆς*
V. 161 *ἡλιακῆς ἀναποδίσεως, ἀκούσας τε τὰ κατὰ τὴν Ἐζεκίου συμ-*
B *βάντα νόσον, ἀπέστειλε πρέσβεις καὶ δῶρα, συνηδόμενος αὐτῷ τῆς ζωῆς. ὁ δὲ Ἐζεκίας ἀφεὶς διηγεῖσθαι τὰς δυνάμεις τοῦ θεοῦ τὸν ἐν τοῖς βασιλείοις ὑπεδείκνυε πλοῦτον. Ἡσαΐας δὲ τῆς ἀλα-*

1. σεναχηρεὶμ AB. Σεναχειρεὶμ G. 3. βαραθὰχ B. βαραχὰθ A. Βαραχὰθ G. Θαρακὰ Reg. IV. 19, 9. 9. ἐκ om. G. 10. ἀναποδησάσης B et infra ἀναποδήσεως. 11. τῆς om. B. 13. εὐφροσύνην G. 14. τὸ] Genes. XLIX, 10. 16. βαλαδὰν B. Βαλαδὰμ G. Vide Reg. IV. 20, 12. 17. τὴν om. G. 18. συνηδόμενος B. συνειδόμενος G.

mini delevit; quare Sennacherim de bello sibi ab Aethiopum rege Tharaca parato per nuncium certior factus, in Assyriam cum exercitus reliquiis ignominiose revertitur. In Niniven autem regressus et captivos Israëlitas durius excipiens a propriis filiis interficitur.

Anno regni 15 gravi aegritudine laborans rex Ezecias, Esaiae quoque verbis mortis quasi certo sequuturae damnatus, ad deum cum gemitu conversus annorum 15 promissam accessionem solis per gradus decem in propria vestigia retrogrado motu commeantis portentoso regressu firmatam accepit; adeo ut per orbem universum dies ille absque tenebris et propria sibi nocte fuerit horarum duarum et viginti.

Ezecias iste, aiunt, continentia plurima coniugalisque commercii fuga vitam castigatam, immortalitatis consequendae spe, nec non prophetico sermone „non deficiet princeps ex Iuda" confisus; morbi vero periculo deterritus, prolis edendae operam subiturum, voto etiam emisso, se devinxit. Audito mox solaris regressus portento, et Ezeciae morbi nuncio accepto, donis legatisque ad eum missis, de propagata illius vita Marodach Baladan congratulatus est. Ezecias divinae portentiae laude suppressa, palam faciendis legatorum conspectui regiae suae opibus studuit; quocirca

ζονείας αὐτὸν καταμεμψάμενος ὡς ἐν ἐπιτιμίῳ τὴν μέλλουσαν τῶν ὑποδειχθέντων τοῖς ἐχθροῖς ἅλωσιν προεφήτευσεν.

Ἐζεκίας ὕδασι κατάρρυτον ἐποίησε τὴν Ἱερουσαλήμ.

Ἐπὶ τούτου Μιχαίας προεφήτευσε κατὰ τῆς Ἱερουσαλὴμ ὅτι Σιὼν ὡς ἀγρὸς ἀροτριαθήσεται καὶ Ἱερουσαλὴμ ἄβατος ἔσται, καὶ οὐκ ἀνῃρέθη ὑπὸ Ἐζεκίου. C

Τῷ ιδ' ἔτει Ἐζεκίου, κόσμου δὲ ,δψοη', ἀνέβη Σενναχηρὶμ βασιλεὺς Ἀσσυρίων ἐπὶ τὰς πόλεις Ἰούδα τὰς ὀχυρὰς καὶ ἔλαβεν αὐτάς· καὶ ἔδωκεν αὐτῷ Ἐζεκίας πᾶν τὸ ἀργύριον οἴκου κυρίου καὶ οἴκου τοῦ βασιλέως.

Τοῦ Ἰσραὴλ ι' ἐβασίλευσεν Ἰωάχαζ υἱὸς Ἰηοὺ ἔτη ιζ'. οὗτος ὑπόσπονδος Σύροις ἐγένετο, μετὰ δὲ ταῦτα πολεμήσας αὐτοῖς ἐρρύσατο τὸν Ἰσραήλ. τοῦ δὲ κόσμου ἦν ἔτος ,δχλη'. D

Τοῦ Ἰσραὴλ ια' ἐβασίλευσεν Ἰωὰς ἔτη ις'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δχνε'.

Ἰωὰς βασιλεὺς Ἰσραὴλ τροπωσάμενος πολέμῳ τὸν Ἰούδαν συνέλαβεν Ἀμεσίαν τὸν βασιλέα Ἰούδα καὶ καθεῖλε τὰ τείχη Ἱερουσαλὴμ πήχεις υ', καὶ σκυλεύσας αὐτὴν ἐπανῆλθεν εἰς Σαμάρειαν.

2. προεφήτευεν G. 3. κατάρυτον B. 5. ζιῶν A. ἀροτριασθήσεται G. Correxi ex B. Vide Mich. III, 12. 6. ἰεζεκίου A. ἐζικίου B. 7. δψοθ' m. σεναχηρεὶμ AB. Σεναχερεὶμ G. Vide Reg. IV. 18, 13. 11. Βασιλεῖς Ἰσραὴλ praefixit G. ἰωαχὰς A. Ἰηοὺ] Ἰοὺ Reg. IV. 13, 1. 16. βασιλεὺς] ἐβασίλευσεν G. ἰούδαν B. Ἰούδα G. 17. τὰ add. B. 18. πήχεις B. πήχοις G.

reprehensa eius iactantia, instantem criminis poenam laudatarum videlicet divitiarum direptionem Esaias praenunciavit.

Hierusalem aquarum fluentis scaturientem reddidit Ezecias.

Eius tempore adversus Hierusalem Michaeas vaticinatus est: „Sion velut ager aratro subigetur et inaccessa fiet Hierusalem;" ex quo nullum ei mortis periculum ab Ezecia illatum.

Anno Ezeciae 14, vulgari autem mundi 4779, Sennacherim Assyriorum rex in civitates Iuda munitas exercitum movit et bello cepit; quare pacis habendae causa argentum omne domus domini, nec non regiarum aedium divitias Ezecias ei tradidit.

## Reges Israël.

Israël rex 10 Ioachaz filius Ihu annis 17, mundi vero 4638.

Hic Syriis foedere primum iunctus, armis postmodum cum eis decertans, liberavit Israëlem.

Israël rex 11 Ioas annis 16, mundi vero 4655.

Ioas Israël regno potitus Iuda bello lacessitum fugat, Amesiam regem capit, moenium Hierusalem cubitos 400 evertit, et, praeda plurima secum abacta, in Samariam revertitur.

Τούτοις τοῖς χρόνοις προεφήτευσεν Ὠσηὲ, Ἀμὼς Ἰωνᾶς, Ναοὺμ, ἡνίκα καὶ Ἰωνᾶς ἐκπεμφθεὶς εἰς Νινευὶ εἰς Θαρσὶς φεύ-
P. 202 γει καὶ ὑπὸ κήτους καταποθεὶς τριήμερος ἀνεμεῖται. Θαρσὶς δὲ Ῥόδον καὶ Κύπρον Ἀφρικανὸς λέγει εἶναι.

Τοῦ Ἰσραὴλ ιβʹ ἐβασίλευσεν Ἱεροβωὰμ ἔτη μαʹ υἱὸς Ἰωάς. οὗτος ἀπέδωκε τὸ ὅριον Ἰσραὴλ κατὰ τὴν προφητείαν Ἰωνᾶ τοῦ Ἀμαθὶ τοῦ Γετθαίου τοῦ προφήτου. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δχοαʹ.

Τοῦ Ἰσραὴλ ιγʹ ἐβασίλευσε Ζαχαρίας μῆνας ϛʹ, μεθ' ὃν ιδʹ Σελοὺμ ἡμέρας λʹ. τοῦτον ἀποκτείνας Μαναὴμ ὁ τοῦ Γαδὶ ἐβασίλευσε τοῦ Ἰσραὴλ ἔτη ιʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψιβʹ.

B Τοῦ Ἰσραὴλ ιεʹ ἐβασίλευσε Μαναὴμ ἔτη ιβʹ. τὰ δὲ πολλὰ τῶν ἀντιγράφων ἔτη ιʹ ἔχουσι. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψκβʹ.

Οὗτος τοὺς μὴ δεχομένους αὐτὸν ἐν τάφοις διέφθειρε καὶ τὰς ἐγκύους γυναῖκας ἀνέρρηξεν ἀσεβῶς.

Τοῦ Ἰσραὴλ ιϛʹ ἐβασίλευσε Φακεσίας υἱὸς Μαναὴμ ἔτη ιʹ. Ἀφρικανὸς δὲ ἔτη βʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψλγʹ.

Τὸν Φακεσίαν ἀποκτείνας Φακεὲ υἱὸς Ῥομελίου ἐβασίλευσε τοῦ Ἰσραήλ.

V. 162 Τοῦ Ἰσραὴλ ιζʹ ἐβασίλευσε Φακεὲ υἱὸς Ῥομελίου ἔτη κηʹ
C κατὰ τὸν ἀκριβῆ λόγον. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψμγʹ. οὕτω

2. καὶ — φεύγει om. B. Θαρσὶς] Vulgo Θαρσεὶς bis deinceps. 3. καταποθεὶς B. καταπωθεὶς G. 5. ἱεροβοὰμ B. Ἱερωβοὰμ G. 7. ἀμαθεὶ B. Γεταίου G. 9. σελοὺμ B. Σιλοὺμ G. Σελλοὺμ Reg. IV. 15, 10. 10. ἀπέκτεινεν G. Γαδδὶ Reg. IV. 15, 14. 14. τάκφοις B. 18. ἀπέκτεινεν G. 20. ῥωμελίου A. ῥωμελείου B.

His temporibus Osee, Amos, Ionas et Naum prophetae clarebant. At ubi Ionas Ninivem mittitur, in Tharsis fugiens et a ceto devoratus, triduanus evomitur. Tharsis porro vocabulo Rhodum vel Cyprum intellectam iubet Africanus.

Israël rex 12 Hieroboam filius Ioas annis 41 restauravit ille fines Israël iuxta Ionae filii Amathi Gettaei prophetae vaticinium; anno vero mundi 4671.

Israël rex 13 Zacharias mensibus sex, cui Silum rex 14 successit diebus 30, quem occidit Manahem filius Gaddi, et regnum tenuit annis 10, mundi vero 4712.

Israël rex 15 Manahem annis 12, plura exemplaria scribunt 10, mundi vero 4713.

Qui se regem agnoscere recusarent, occidit Manahem in sepulcris et mulieres uterum gestantes medias atrociter scidit.

Israël rex 16 Phacesias filius Manahem annis 10, ex Africani computo duobus, mundi vero 4723.

Phacesiam sustulit Phacee, filius Romeliae, et Israël tyrannidem arripuit.

Israël rex 17 Phacee, filius Romeliae, secundum accuratiorem calculum annis 28, mundi vero 4733.

γὰρ εὑρεθήσεται τὸ θ' ἔτος τοῦ ιη' καὶ τελευταίου βασιλέως τῶν ι' φυλῶν Ὠσηὲ συντρέχον τῷ ς' ἔτει Ἐζεκίου βασιλέως Ἰούδα κατὰ τὴν γραφὴν καὶ καλῶς, καθ' ὃ γέγονεν ἡ πρώτη τοῦ Ἰσραὴλ αἰχμαλωσία. εἰσὶ μέντοι τινὰ τῶν ἀντιγράφων κ' ἔχοντα ἔτη τοῦ Φακεὲ, ὡς καὶ Ἀφρικανὸς καὶ Εὐσέβιος, καὶ ἕτερα ιη', ἀλλ' οὐ χρὴ πείθεσθαι, διὰ τὴν εἰρημένην ἀναγκαίαν αἰτίαν.

Φακεὲ βασιλεὺς Ἰσραὴλ καὶ Ῥαασσὼν βασιλεὺς Συρίας πο- D
λεμήσαντες τῷ Ἄχαζ ἀνεῖλον τοῦ Ἰούδα ιβ' μυριάδας ἐν ἡμέρᾳ μιᾷ, γυναικῶν δὲ καὶ παίδων ἔλαβον κ' μυριάδας αἰχμαλώτους· οὓς συμβουλῇ Ἰωβὴλ τοῦ προφήτου ἀπέλυσαν.

Ἄχαζ δὲ τὸ ἐν τοῖς θησαυροῖς ἀργύριον πέμψας τῷ Ἀσσυρίων βασιλεῖ Θεγλαφασὰρ εἰς βοήθειαν αὐτὸν ἤγαγε, μὴ ὑπακούσας Ἡσαΐου τοῦ προφήτου κωλύοντος καὶ σημεῖον τὴν τίκτουσαν παρθένον διδόντος, ὃς ἐλθὼν τήν τε Συρίαν καὶ τὸν Ἰσραὴλ πορθεῖ καὶ τοῦ λαοῦ πλεῖστον ἀποικίζει εἰς Ἀσσυρίους.

Ὠσηὲ δὲ ἀνελὼν τὸν Φακεὲ ἐβασίλευσε.

Πολλὰ καμὼν περὶ τῆς συμφωνίας τῶν δύο βασιλειῶν τῶν P. 203
Ἑβραίων τῶν διαιρεθεισῶν μετὰ Σολομῶνα ἕως Ἐζεκίου βασιλέως Ἰούδα καὶ Ὠσηὲ βασιλέως Ἰσραὴλ ιη' καὶ ἐσχάτου τῶν ἐν Σαμαρείᾳ, διὰ τὸ τὰς ἱερὰς τῶν βασιλέων δέλτους μὴ ἀκριβῶς

2. συντρέχον m. συντρέχων G. 3. καλῶς anonymus. Legebatur οὐ καλῶς. 4. μέντοι] μὲν G. 7. ῥασσῶν AB. 8. τοῦ] τὸν τοῦ B. 12. θεγλαφασὰρ AB. Θαγλαφασὰρ G. βοήθειαν] συνήθειαν G. αὐτὸν om. G. 15. ἀποικίζει] ἀπῳκίζει AB. ἀπῴκισεν G. 17. βασιλειῶν m. βασιλέων G. 19. τῶν ἐν] ἐν τῇ G.

Hac quippe ratione, quae nusquam apud me valet, decimi octavi et ultimi regis tribuum decem Osee annus nonus, ad scripturae mentem in Ezeciae regis Iuda 6, ad quem Israël captivitas prima contigit, incidet. Caeterum codices nonnulli, quos sequuntur Africanus et Eusebius annos 20 assignant, alii 18 duntaxat, quibus nulla tenus attendendum, ob validam illam rationem adductam.

Phacee Israël et Raasson Syriae reges regem Achaz hostiliter aggrediuntur, et una die ex Iuda hominum myriadas duodecim trucidant, mulierum vero ac puerorum myriadas 20 abducunt captivas, quas tamen Iobel prophetae suasibus liberas dimiserunt.

Achaz missis, ad Thaglathphellasar Assyriorum regem, quas in thesauris repositas invenit opibus, ad amicitiam secum ineundam pellexit, contemptis Esaiae prophetae in fidei argumentum virginem parituram polliciti monitis. Ille valido exercitu Syriam et Israël depopulatur, populique copiam immensam in Assyrios captivam transportavit.

Osee occiso Phacee regnum occupavit.

Ut geminum Hebraeorum regnum a Salomonis aetate ad suum usque et Osee regis Israël 18 et ultimi in Samaria regnantis tempus, divisum in unum coiret, omni studio Ezecias contendit.

Sane cum ita sit, ut sacri de regum gestis codices quoto anno regum

ἐμφαίνειν ἐν ποίῳ χρόνῳ τῶν βασιλέων Ἰούδα ἕκαστος τῶν ἐν Σαμαρείᾳ βασιλευσάντων ἤρξατο βασιλεύειν, μηδ᾽ αὖ πάλιν ἕκαστος τῶν ἐν Ἱερουσαλὴμ βασιλευσάντων ἐν ποίῳ ἔτει τῶν βασιλέων Ἰσραὴλ ἤρξατο κρατεῖν, μόλις ἠδυνήθην σύμφωνον εὑρεῖν τὸ πρῶτον ἔτος Ὠσηὲ πρὸς τὸ ιβʹ Ἄχαζ, διὰ τὸ πάντα σχεδὸν B τὰ ἀντίγραφα τὸν Φακεὲ υἱὸν Ῥομελίου ἢ ιηʹ ἔτη ἢ κʹ λέγειν κεκρατηκέναι τῶν ἐν Σαμαρείᾳ ιʹ φυλῶν. ἐν ἑνὶ δὲ ἀντιγράφῳ λίαν ἠκριβωμένῳ κατά τε στιγμὴν καὶ προσῳδίαν ἐκ τῆς ἐν Καισαρείᾳ τῆς Καππαδοκίας ἐλθόντι εἰς ἐμὲ βιβλιοθήκης, ἐν ᾧ καὶ ἐπεγέγραπτο ὡς ὁ μέγας καὶ θεῖος Βασίλειος τὰ ἐξ ὧν ἐκεῖνο ἀπεγράφη ἀντιβαλὼν διωρθώσατο βιβλία, ἐν τούτῳ οὖν εὗρον κηʹ ἔτη τῆς βασιλείας Φακεέ, καὶ συγκρίνας πρὸς τὸ εἰρημένον ιβʹ ἔτος Ἄχαζ μᾶλλον ἐγγίζειν τὸ πρῶτον ἔτος Ὠσηὲ κατὰ τὴν τῶν βασιλειῶν γραφήν, οὕτω καὶ ἐστοιχείωσα. φησὶ γὰρ πρὸς λέξιν ἡ δʹ τῶν βασιλειῶν „ἐν ἔτει ιβʹ Ἄχαζ βασιλέως Ἰούδα ἐβασίλευ- C σεν Ὠσηὲ υἱὸς Ἠλὰ ἐν Σαμαρείᾳ ἐπὶ Ἰσραὴλ θʹ ἔτη.” εἰ τοίνυν δῶμεν τὸν Φακεέ, ὡς τὰ πολλὰ τῶν ἀντιγράφων, οἷς καὶ Εὐσέβιος ἠκολούθησεν, ἔτη ιηʹ ἢ καὶ κʹ, εὑρεθήσεται ἡ ἀρχὴ τῆς βασιλείας Ὠσηὲ τῷ βʹ ἔτει πληρουμένῳ τοῦ Ἄχαζ καὶ ἀρχομένῳ τῷ τρίτῳ. τὸ δὲ τέλος, ὅπερ ἐστὶν θʹ τοῦ αὐτοῦ Ὠσηέ, τῷ ιαʹ

6. ῥωμελίου AB. 8. ἐν καισαρείας A. 10. ἐκεῖνο m. ἐκείνῳ G. 15. δʹ] Cap. XVII, 1. 18. ἢ καὶ B. καὶ om. G. 19. βʹ Bm. ιβʹ G. πληρουμένῳ m. πληρουμένου G. ἀρχομένῳ Bm. ἀρχομένου G.

Iuda regum Israël singuli Samariae regnum adierint; et ex adverso quo regum Israël anno singuli quique regum Iuda moderari coeperint, non aperte significent; attentis et profundius expensis regum aetatibus et annis, vix ac ne vix quidem Osee annum primum in Achaz duodecimum convenientem potui deprehendere; quod Phacee filium Romeliae, vel annis 18 vel certe 20, tribuum duodecim regnum in Samaria tenuisse cuncta ferme exemplaria testentur; alter tamen codex ob summam cum accentuum tum propriorum cuique dictioni characterum integritatem commendatus, et ex Caesariensi Cappadociae bibliotheca ad manus meas delatus, cuius insuper praefixa inscriptio libros priores ex quibus exscriptus fuerat, a magno Basilio comparatos ad invicem et correctos defert argumentum; codex, inquam, ille annos Phacee regno assignandos octo et viginti repraesentat; quare computis ad invicem collatis ad praefatum Achaz annum 12 Osee primum iuxta Regnorum et scripturae verba propius accedere animadverti; atque hunc in modum regum laterculum mihi digestum est. Sacer quippe Regnorum liber 4 verbo tenus exprimit. „Anno 12 Achaz regis Iuda regnavit Osee filius Ela in Samaria super Israël annos 9.” Concessis igitur, ut exemplaria quaedam exigunt, iisque Eusebius assentitur, Phacee annis 18 aut 20 exordium regni Osee in annum secundum Achaz iam completum, et ineuntem iam tertium incidere, terminum autem, qui eiusdem Osee nonus

Ἄχαζ, καὶ εὑρεθήσεται ἡ αὐτὴ θεία γραφὴ οὐ μόνον ἐν τούτῳ σφαλλομένη, ἀλλὰ καὶ ἐν τῷ φάσκειν ἔπειτα ὅτι καὶ ἐγένετο ἐν τῷ ἔτει τῷ δʹ βασιλεῖ Ἐζεκίᾳ, αὐτὸς ὁ ἐνιαυτὸς ζʹ Ὡσηὲ υἱῷ Ἠλὰ βασιλεῖ Ἰσραήλ, ἀνέβη Σαλμανασὰρ βασιλεὺς Ἀσσυρίων ἐπὶ V. 163 Σαμάρειαν, καὶ τὰ ἑξῆς. λείπεται γὰρ τὸ δʹ ἔτος Ἐζεκίου ἐκ τοῦ D ιηʹ ἔτους Φακεέ, βʹ δὲ Ἄχαζ, οὐχ ἑπτά, ἀλλὰ ιδʹ, ἅ ἐστι διπλασίονα, πρὸς δὲ τὴν ἀκριβῆ στοιχείωσιν συμφωνεῖ. τῷ ιαʹ ἔτει Ἄχαζ βασιλέως Ἰούδα τὸ θʹ ἔτος Ὡσηὲ συνέταξεν Εὐσέβιος ἐν τῷ κανόνι αὐτοῦ· ὅπερ πάντη ἀσύμφωνον.

Τοῦ Ἰσραὴλ ιηʹ καὶ τελευταῖος ἐβασίλευσεν Ὡσηὲ ἔτη θʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψοβʹ.

## Χαλδαίων βασιλεῖς. P. 204

Τὸ πρῶτον ἔτος Ναβονασάρου Χαλδαίων βασιλέως ἀπὸ τοῦ ͵δψμϛʹ ἔτους τοῦ κόσμου δεῖ ἀριθμεῖν, καὶ ἀπ' αὐτοῦ ἕως τελευτῆς Ἀλεξάνδρου τοῦ Μακεδόνος ἔτη υκδʹ, ὡς εἶναι ἀπὸ Ἀδὰμ ἕως Ἀλεξάνδρου τελευτῆς ͵εροʹ.

Σαλμανασὰρ ὁ καὶ Ναβονάσαρος Χαλδαίων πρῶτος ἐβασίλευσεν ἔτη κϛʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψμϛʹ.

Σαλμανασὰρ βασιλεὺς Ἀσσυρίων κατὰ τοῦ Ὡσηὲ ἐλθὼν τὴν Σαμάρειαν καὶ τὸν Ἰσραὴλ ὑπόφορον ἔθετο. ἔπειτα δὲ μαθὼν B

2. ἔπειτα] Cap. XVIII, 9. 3. βασιλείας Εζεκία G. υἱοῦ Ηλοῦ βασιλέως G. 5. τὸ δʹ] ἐπὶ τὸ αʹ m. 7. τὸ ἡμέτερον συμφωνεῖ m. 13. ναβονασάρου B. ναβονασσάρου A. Ναβουνασσάρου G. 14. ͵δψμζ m. τελευτῆς B. τελευτὴν G. 15. τοῦ Μακεδόνος — Ἀλεξάνδρου om. B. 17. ναβονάσαρος B. ναβονασαῖος A. Ναβονεσαῖος G. 18. κεʹ et ͵δψμζ m.

est, Achaz undecimo aequalem annotabimus; ipsaque sacra scriptura non in hoc modo arguetur fallaciae, sed in eo pariter, quod subiungit: et factum est in anno quarto regis Ezeciae, ipse est 7 Osee filii Ela regis Israël, adscendit Salmanasar Assyriorum rex in Samariam, cett. Ab anno quippe Phacee 18, et ab Achaz 2, non septem modo, sed annorum 14 summa deesse comperitur; computus autem noster accuratae rationi concors iudicatur. Achaz regis Iuda anno 11 Osee nonum composuit Eusebius, quod penitus absonum.

Israël 18 et postremus rex Osee annis 9, mundi vero 4761 usque ad 4770.

## Chaldaeorum reges.

Nabonassari Chaldaeorum regis annum primum a communi mundi 4747, et ab eo deinceps ad Alexandri Macedonis obitum annos 424, adeo ut ab Adamo ad Alexandri mortem anni putentur 5170.

Salmanasar, qui et Nabonassarus, Chaldaeorum rex 1 tenuit imperium annis 25, a vulgari mundi anno 4747.

Salmanasar Assyriorum rex bello Osee moto Samariam et Israël vectigales reddidit. De Osee postmodum, qui missis legatis Adramelech Ae-

τὸν Ὠσηὲ πρεσβευόμενον εἰς βοήθειαν ἐλθεῖν τῷ Αἰθίοπι Ἀδραμέλεχ, τῷ κατὰ τὴν Αἴγυπτον, καὶ Σηγὼρ βασιλεῖ Αἰγύπτου, τόν τε Ὠσηὲ καθεῖρξεν ἐν φυλακῇ καὶ τὰς ι′ φυλὰς τοῦ Ἰσραὴλ ᾐχμαλώτευσεν. ἡ τῶν ἐν Σαμαρείᾳ δέκα φυλῶν λεγομένων τοῦ Ἰσραὴλ βασιλευομένων Ἑβραίων ἀρχή.

Τούτῳ τῷ ζ′ ἔτει Ὠσηὲ τοῦ τελευταίου βασιλέως αὐτῶν ἤρξατο πολιορκεῖσθαι, ὅπερ ἦν ἀρχὴ τοῦ δ′ ἔτους Ἐζεκίου, ὥς φησιν ἡ δ′ τῶν βασιλειῶν, ὅτι ἐγένετο ἐν τῷ ἔτει τῷ δ′ βασιλεῖ C Ἐζεκίᾳ, αὐτὸς ὁ ἐνιαυτὸς ζ′ Ὠσηὲ υἱῷ Ἠλὰ βασιλεῖ Ἰσραήλ, ἀνέβη Σαλμανασὰρ βασιλεὺς Ἀσσυρίων ἐπὶ Σαμάρειαν καὶ ἐπολιόρκησεν αὐτὴν καὶ κατεβάλετο αὐτήν, ἀπὸ τέλους τριῶν ἐτῶν ἐν ἔτει ϛ′ Ἐζεκία. οὗτος ἐνιαυτὸς θ′ τῷ Ὠσηὲ βασιλεῖ Ἰσραήλ. καὶ συνελήφθη Σαμάρεια καὶ ἀπῴκισε βασιλεὺς Ἀσσυρίων τὴν Σαμάρειαν εἰς Ἀσσυρίους καὶ ἔθηκεν αὐτοὺς ἐν Χαλχὰλ καὶ ἐν Ἀβὼρ ποταμῷ Γωζὰν καὶ ὄρη Μήδων, ὅτι οὐκ εἰσήκουσαν τῆς φωνῆς κυρίου θεοῦ αὐτῶν. αὕτη πρώτη τοῦ Ἰσραὴλ αἰχμαλωσία πέφυκεν εἰς Ἀσσυρίους, ἥτις γέγονεν ἀρχομένῳ ϛ′ ἔτει Ἐζεκίου, κοσμικῷ δὲ ἔτει ͵δψο′ πληρουμένῳ. διήρκεσε δὲ ἡ αὐτὴ τῶν δέκα φυλῶν βασιλεία ἐν Σαμαρείᾳ ἀπὸ τοῦ πρώτου βασιλέως αὐτῶν D Ἱεροβωὰμ δούλου Σολομῶνος ἐν βασιλεῦσι ιη′, ἔτεσι δὲ σξ′.

1. συνήθειαν G. 2. σιγὼρ B. 4. ᾐχμαλώτευσεν B. ᾐχμαλώτισεν G. 5. ἔληξεν ἀρχὴ m. 6. τὰς τελευταίας βασιλείας G. Correctum ex Bm. 7. δ′] Cap. XVIII, 9. 8. βασιλέως Ἐζεκία G. 9. υἱοῦ Ἠλᾶ βασιλέως G. 10. σαμάρεια B. 11. καὶ κατεβάλετο (κατεβάλλετο A.) αὐτὴν addidi ex AB. τριῶν ἐτῶν] γ′ ἔτους G. 12. συνελείφθη AB. 13. Vulgo ἀπῴκησεν. 14. Vulgo ἔθηκαν. Χαλχὰλ] Ἀλαὲ Reg. 15. ὄρη] ὄρεσι p. 205 c. 16. θεοῦ] τοῦ θεοῦ G. 20. ἱεροβοὰμ B. Ἱεροβοάμ G. σαλομῶντος B. Σολομῶντος vulgo.

thiopem Aegypto proximum, et Segor (Taracem) Aegypti regem in belli societatem vocaverat, certior factus, ipsum Osee captum coniecit in vincula et Israëliticas decem tribus in servitutem misit. Tribuum decem Israël vocatarum, et Hebraeorum Samariae subditorum regnum hic desiit.

Isto regis Israël ultimi anno 7, qui fuit Ezeciae 4, iniit obsidio Samariae, scriptura Regnorum 4 referente: et factum est in anno 4 regis Ezeciae, (ipse annus 7 Osee filii Ela regis Israël), adscendit Salmanasar rex Assyriorum in Samariam et obsedit eam, a fine tertii anni, in anno sexto Ezeciae, ipse annus nonus Osee regis Israël. Et capta est Samaria et transtulit rex Assyriorum Samariam in Assyrios; et posuerunt eos in Alae et Abor fluvio Gozan et ore Medorum; eo quod non obediverint voci domini dei sui. Haec captivitas Israël prima et ad Assyrios migratio anno Ezeciae 6 ineunte, communi vero mundi 4770 completo facta est. Stetit autem tribuum decem regnum per reges 18 sibi succedentes ab Hieroboam Salomonis servo earum rege primo annis 260. A mundi siquidem

ἀπὸ γὰρ τοῦ κοσμικοῦ ͵δφιγʹ ἀρξαμένη εἰς τὸ ὑποτεταγμένον
͵δψοαʹ ἔληξε, κατὰ δὲ Ἀφρικανὸν ͵δψνʹ, κατὰ δὲ Εὐσέβιον ͵δφνεʹ.
Εὐσέβιος δὲ ὁ Καισαρεὺς σνʹ ἔτη ἐπελογίσατο καὶ ἄλλοι σμςʹ,
πλὴν τὸ ἀκριβέστερον καὶ τῇ γραφῇ τῶν βασιλειῶν συμφωνότε-
ρον ὡς πρὸς τὸ ςʹ ἔτος Ἐζεκίου καὶ αὐτὸ ἀρχόμενον συναντᾷ τὸ
θʹ ἔτος Ὠσηὲ καὶ αὐτὸ πληρούμενον. οὕτω γὰρ χρὴ νοεῖν τὸ τέ-
λος τοῦ θʹ ἔτους Ὠσηὲ ἀρχὴν τοῦ ςʹ ἔτους Ἐζεκίου. οὕτως γὰρ
ἂν ὀρθῶς νοηθείη.

Ἐκ τῆς αἰχμαλωσίας τῆς ὑπὸ Σαλμανασὰρ γενομένης τῶν ιʹ
φυλῶν τοῦ Ἰσραὴλ τῶν ἐν Σαμαρείᾳ ἦν Τωβίας ὁ δικαιότατος
φυλῆς Νεφθαλεὶμ ἐν Νινευὶ τῇ πόλει. οὗτος τοὺς ὑπὸ Σαλμα-
νασὰρ καὶ τῶν λοιπῶν Χαλδαίων ἀναιρουμένους θάπτων διαγνω- P. 205
σθεὶς φεύγει καταλείψας τὴν κτῆσιν αὐτοῦ. τοῦ δὲ Σενναχηρὶμ ἀναι-
ρεθέντος ὑπὸ τῶν τέκνων αὐτοῦ καὶ τοῦ Σαλμανάσαρ ἀποθανόν-
τος, Ἀρχεδὼν υἱὸς Σενναχηρὶμ βασιλεὺς Ἀσσυρίων ἀδελφιδοῦν V. 164
τοῦ Τωβίου Ἀρχίκαρον ἔταξεν ἐπὶ τὴν ἐκλογιστείαν, ὃς τὸν Τω-
βίαν αἰτήσας ἔλαβε παρὰ τοῦ βασιλέως. ὁ δ' αὐτὸς ὥρᾳ καύματός
τινα τῶν Ἑβραίων θάψας ὕπνωσεν ἐν τῇ αὐλῇ παρὰ τὸ τεῖχος
ὑπὸ στρούθων νοσσιὰν, τούτου τοὺς ὀφθαλμοὺς ἀφοδεύσαντες
ἐπήρωσαν οἱ στροῦθοι. ὁ δὲ πρεσβύτατος ἅμα καὶ τυφλὸς ὢν ἐν B
Ῥαγαῖς τῆς Μηδείας τὸν υἱὸν ἀποστέλλει Τωβίαν πρός τινα

1. τεταγμένον G. 3. ἐπελογήσατο AB. ἄλλοις μςʹ AB. 11. νηνευῒ B. Debebat potius Νινευή. 13. σεναχηρεὶμ AB. Σεναχερεὶμ G. 14. τέκνων] παίδων G. 15. ἀρχεδὼν B. Ἀρχεδὼμ G. Ἀσαρδὰν m. σεναχειρὶμ B. σεναχηρεὶμ A. Σεναχερεὶμ G. 16. ἐκλογιστείαν B. ἐκλογιστίαν G. 18. ὑπνώσας G. 21. Μηδίας m.

4513 initio ducto, praefato 4771 finem ultimum reperit; qui secundum Africanum 4750 contigit; prout autem scribit Eusebius 4555, Eusebius quidem Caesariensis annos 250 colligit, alii solos 246. Ea vero est fidelissima omnium ratio, quae Ezeciae annum 6 ineuntem Osee nono iam finito copulat; ita namque Osee noni finem Ezeciae sexti principio coniunctum opinari necesse est; eo quippe pacto computus hic recte concipitur.

Ex tribuum decem in Niniven a Salmanasar ducta captivitate Tobias e tribu Nephthalim civium Samariae iustissimus unus extitit. Hic contribules a Salmanasar et reliquis Chaldaeis interfectos sepelire deprehensus, bonis relictis, fuga salutem quaerere cogitur. Sennacherim autem a filiis occiso et Salmanasar pariter vivis erepto, Asordan Sennacherim filius Assyriorum rex Archicarum Tobiae nepotem regni computis praefecit, qui Tobiam sibi donari precatus, eum a rege recepit. Tobias deinde iustis cuidam Hebraeo persolutis, diurni aestus hora somno correptus, et ad areae murum sub passerculorum nido quiescenti, eiectum et lapsum in oculos avicularum stercus caecitatis causa fuit. Senectute gravis et oculis orbus filium nominis sui Tobiam ad contribulem quendam Raguel argenteo-

Γαβαὴλ ὁμόφυλον ἀγαγεῖν παρακαταθήκην ταλάντων ἀργυρίων δέκα. ὁ δὲ ἀπιὼν μισθωτὸν ὁδοδείκτην ἐπιζητήσας εὗρεν ἀγνοῶν Ῥαφαὴλ τὸν ἀρχάγγελον, ὑφ' οὗ μυηθεὶς τὰ περὶ τῆς χολῆς τοῦ ἰχθύος καὶ τοῦ ἥπατος καὶ τῆς καρδίας, τά τε κατὰ τὴν δαιμονιῶσαν συγγενίδα πράττει καὶ τοὺς ὀφθαλμοὺς τοῦ πατρὸς ἀνοίγει ἐπανελθών.

Ἀναγκαῖον δὲ οἶμαι τῇ παρούσῃ αἰχμαλωσίᾳ ζητῆσαι πῶς τῆς τῶν Ἀσσυρίων βασιλείας πρὸ ϟϛ' ἐτῶν καθαιρεθείσης ὑπὸ
C Ἀρβάκου τοῦ Μήδου τοῦ ταύτην εἰς Μήδους μετενέγκαντος ἡ γραφὴ τὸν Σαλμανασὰρ βασιλέα Ἀσσυρίων καλεῖ καὶ τὴν ἀποικίαν εἰς Ἀσσυρίους φησὶ τῶν ι' φυλῶν. εἶτα τὴν τοπικὴν θέσιν τῆς κατοικίας αὐτῶν ἐν Χαλχὰλ καὶ ἐν Ἀβὼρ ποταμοῖς Γωζὰν καὶ ὄρεσι Μήδων. ἢ δῆλον ὅτι Μήδων μὲν γένος κατὰ διαδοχὴν ἀπὸ Ἀρβάκου ἐβασίλευσεν, ἡ δὲ βασιλεία καὶ Ἀσσυρίων ἐλέγετο διὰ τὸ εὐγενὲς καὶ παλαιὸν τῆς ἀρχῆς καὶ τὸ τῆς χώρας ὄνομα, καὶ Μήδων διὰ τὸ ὄψιμον τῆς ἐξουσίας καὶ τὴν χώραν Μηδείαν λεγομένην. Σαλμανασὰρ δὲ καλῶς ἄν, οἶμαι, νοηθείη αὐτὸς οὗτος ὁ ἀπὸ Ἀρβάκου βασιλεύων Ἀσσυρίων καὶ Μήδων, ὃς ἦν
D τῶν Ἀσσυρίων μὲν ἀρχηγός, ὑπὸ δὲ τὴν ἡγεμονίαν ἄρτι κατατεταγμένος. οὕτω γάρ φασιν οἱ τὰ Βαβυλωνιακὰ γράψαντες, ὅτι Ἀρβάκης τὴν βασιλικὴν προσηγορίαν καὶ τὸν πλοῦτον εἰς Μή-

1. Γαβαὴλ] Ραγὀυὴλ G. 2. ὁδοῦ δεικτὴν G. 3. μνησθεὶς G. 13. ὄρεσι μήδων B. Ορεσι καὶ Μήδων G. 16. Μηδείαν] μηδίαν A recte. 18. καὶ Μήδων delet m. 19. ἄρτυ B. 21. τὴν] τῶν G. βασιλικὴν B. βασιλέων G.

rum decem talentorum sponsione exhibita summam relaturum in Rages Mediae civitatem mittit. Profectus ille viae ducem mercede conducturus, archangelum Raphaël inscius reperit, a quo monitus, quae fel, cor et iecur piscis, tum quae cognatam daemonio vexatam spectant, exsequitur; domumque reversus oculos patri restituit.

Captivitatis equidem, de qua sermo, narrationi magnam accessionem me facturum reor, si, Assyriorum regno ante annos 96 ab Arbace everso et ad Medos ab eodem translato, qua denum ratione Salmanasar Assyriorum regem, et, quod rem spectat, deportatas ad Assyrios tribuum decem reliquias affirmet scriptura, sermonem instituam. Quis captivitatis loci situs, quae terra recepit habitaturos in Alae et in Abor fluviis Gozan et in ore Medorum. Succiduis temporibus Medorum genus ab Arbace imperium tenuisse procul est omni dubio. Regnum autem ipsum, qua vox Assyriorum nobilitate, antiquitate et regionis appellatione spectata signabat, qua Medorum nomen ob nuperam potestatem, et ipsam Mediae provinciam indigitabat. Salmanasar porro ille, de quo frequentior hic memoria, non absurde, me quidem iudice, qui ab Arbace Assyriorum moderator institutus est, qui Assyriorum quidem princeps fuerit, verum Arbacis potestati plene modo subiectus. Ita referunt rerum Babylonicarum scriptores: Arbacem nimirum, regum appellationem et opes ad Medos transtulisse, re-

*δους μετήγαγεν. Ἀσσυρίων δὲ βασιλέα κατέστησε Βέλεσυν ὑπ' αὐτὸν δηλονότι. καὶ οὗτοι λοιπὸν ἦσαν κατὰ διαδοχὴν ὑπὸ Μήδους τεταγμένοι, ὥς τισι δοκεῖ, ἕως τοῦ η' βασιλέως Ἀσσυρίων καὶ Μήδων Δαρείου τοῦ καὶ Ἀστυάγους, ὃν Κῦρος καθελὼν εἰς Πέρσας τὴν βασιλείαν μετήνεγκεν, ὥς τισιν ἔδοξεν. ἕτεροί φασι μετὰ Σαρδανάπαλλον κρατῆσαι καὶ τῆς Ἀσσυρίων ἀρχῆς Νίνον, ὥς που καὶ Κάστωρ ἐν τῷ κανόνι αὐτοῦ φησιν ὧδε· Πρώτους* P. 206 *μὲν οὖν τοὺς Ἀσσυρίων βασιλεῖς κατετάχαμεν, τὴν μὲν ἀρχὴν ἀπὸ Βήλου πεποιημένους, τῷ δὲ τὰ τῆς βασιλείας αὐτοῦ ἔτη μὴ παραδεδόσθαι σαφῶς τοῦ μὲν ὀνόματος μνημονεύομεν, τὴν δὲ ἀρχὴν τῆς χρονογραφίας ἀπὸ Νίνου πεποιήμεθα, καὶ καταλήγομεν ἐπὶ Νίνον τὸν διαδεξάμενον τὴν βασιλείαν παρὰ Σαρδαναπάλλου. ἐκ δὲ τῶν ἐν τῇ θείᾳ γραφῇ μνημονευομένων ὀνομάτων φαίνονται τρεῖς ἀρχαὶ πρὸ τῆς Κύρου βασιλείας μετὰ Σαρδανάπαλλον. ἕως γὰρ τούτου λόγος κρατεῖ Ἀσσυρίους ἄρχειν τῶν δύο λοιπῶν, λέγω δὴ Μήδων καὶ Χαλδαίων, μετὰ δὲ Σαρδανάπαλ-* B *λον ποτὲ μὲν Μήδους ἄρχειν τῶν Ἀσσυρίων, ποτὲ δὲ Χαλδαίους. καὶ ἡ μὲν τῶν Μήδων ἀρχὴ ἤδη ἀνωτέρω ἡμῖν ἐν κανονίῳ ἐστοι-*

1. *ἤγαγεν* G. *βελεσὺν* A. *Βέλεσιν* Scaliger p. 46. 2. *οὗτοι* B. *οὕτω* G. 5. *μετήνεγκεν*] *μετήγαγεν* G. 6. *σαρδανάπαλλον* B. *Σαρδανάπαλον* G. 7. *Κάστωρ*] Apud Eusebium I, 13. p. 37. 8. *οὖν*] *εἶναι* G. *ἀσσυρίων* B. *Ἀσσυρίους* G. 9. *τὰ* Scaliger. *τῷ* G. om. B. *ἔτη* Scaliger. Vulgo *ἔτει*. 10. *παραδεδῶσθαι* B. *μνημονεύωμεν* B. 11. *πεποιήμεθα* B. *πεποιήκαμεν* G. 12. *νίνου* A. *παρὰ*] *ἀπὸ* G. Vulgo *Σαρδαναπάλου*. *σαρδανάπαλον* B. 14. *πρὸ*] *πρὸς* B. 15. *λογοκρατεῖ* G. *Ἀσσυρίων* G. *ἄρχειν* B. *ἀρχὴν* G. 16. *μετὰ δὲ τὸν* G. Vulgo *Σαρδανάπαλον*.

gem autem Assyriis Belesym, sibi videlicet subditum dedisse. Hunc in modum nonnullis ita sentientibus Medis suppositi regnum excipiebant Assyrii ad Darium usque Medorum et Assyriorum principem octavum, cui nomen etiam Astyages, quo sublato, ut quibusdam visum, ad Persas regnum transtulit Cyrus. Post Sardanapalum Assyriorum imperium Ninum obtinuisse alii asserunt, e quorum numero prodiit Castor, qui canonis ab eo editi nonnullo loco in haec verba scribit. Primo quidem ordine reges Assyriorum generis et imperii seriem a Belo ducentes locavimus, quamquam de eius imperii tempore certa et aperta notitia non constet. Nominis equidem agimus memoriam; a Nino quoque Chronographiae principium duximus et in Ninum Sardanapali successorem desinimus. Imperiorum porro divino scripturae textu celebratorum et trium maxime nationum nomina tempore Cyrum praeeunte et Sardanapalum sequuto offerunt se perpendenda. Ad eius enim aetatem de Assyriis in scriptura praecipua fit mentio; reliqua duo imperia Medorum, dico, et Chaldaeorum ita inter se ad invicem legimus comparata, ut Sardanapalo succedentibus annis, qua Medos Assyriis dominatos, qua Chaldaeos imperasse comperiamus. Et Medorum quidem imperium ab Arbace derivatum proprio sibi laterculo

V. 165 χειώθη ἰδιάζοντι ἀπὸ Ἀρβάκου· ἡ δὲ τῶν Χαλδαίων λείπεται στοιχειωθῆναι, ἥτις ἀπὸ Σαλμανασάρ, ὃν καὶ Ναβονάσαρον καλοῦσι, λαμβάνεται παρά τε Χαλδαίοις ἐν τῇ τῶν ἀστέρων ψηφοφορίᾳ καὶ παρὰ τοῖς Ἑλλήνων μαθηματικοῖς, ὡς μαρτυρεῖ καὶ ὁ σοφώτατος Κλαύδιος Πτολεμαῖος ἐν τῇ μεγάλῃ συντάξει τῇ τῆς ἀστρονομίας, τοῖς ἀπὸ Ναβονασάρου χρώμενος ἔτεσιν,
C ἔν τε ταῖς τῶν δύο φωστήρων ἐποχαῖς συνόδοις τε καὶ πανσελήνοις καὶ ταῖς κατ' αὐτὰς συμβαινούσαις σεληνιακαῖς καὶ ἡλιακαῖς ἐκλείψεσιν, ἔν τε ταῖς τῶν πέντε πλανωμένων κατὰ μῆκος καὶ πλάτος ψηφοφορίαις καὶ τῶν λοιπῶν ἀπλανῶν ἀστέρων. πάντων γὰρ αὐτὴν ἀκριβεστέραν ὁμολογοῦσιν εἶναι, συνάγουσαν ἀπὸ τοῦ αὐτοῦ Ναβονασάρου ἐπὶ τὸ πρῶτον ἤτοι ζ' ἔτος Ἀλεξάνδρου τοῦ Μακεδόνων καὶ Περσῶν καὶ πάσης σχεδὸν τῆς οἰκουμένης βασιλεύσαντος ἔτη υιθ', ἐπὶ δὲ τὴν τελευτὴν τοῦ αὐτοῦ Ἀλεξάνδρου ἔτη υκδ'. ἐπεὶ δὲ συμφωνεῖν ἀναγκαῖον ἡγησάμεθα
D δεῖξαι τοῖς καθ' ἡμᾶς ἔτεσι τοῦ κόσμου τὴν τῶν οὐρανίων κίνησιν, σύμφωνος δὲ τοῖς Χαλδαίων καὶ Ἑλλήνων σοφοῖς ὁ ἀπὸ Ναβονασάρου χρόνος μεμαρτύρηται, κοινή τις ἔστω ἀρχὴ τὸ ,δψμζ' ἔτος, τὸ αὐτὸ ὑπάρχον τῷ πρώτῳ ἔτει Ναβονασάρου, ϑν', εἴ τις βουληθείη κατὰ τὰς ἐν τῇ μεγάλῃ συντάξει τοῦ μεγάλου Πτολεμαίου ἐκτεθειμένας γραμμικὰς ἢ κανονικὰς δείξεις ψη-

2. ναβονάσαρον A. ναβουννάσαρον B. Ναβονασὰρ G. 5. ὁ Πτολεμαῖος G. 6. Ναβονασάρου m. Βανασάρου G. 8. καὶ ἐν ταῖς G. αὐτὰς m. αὐταῖς G. 17. δὲ τοῖς B. δὲ καὶ τοῖς G. 18. τὸ Bm. τῷ G. 21. γραμμικὰς B. γραμματαίας A. γραμματείας G.

superius descriptum est. Sola superest Chaldaeorum regni exponenda series, quae a Salmanasar, Nabonasar eis pariter dicto, sumit initium; cuius computi cum apud Chaldaeos in putandis astrorum motibus, tum apud Graecos matheseon peritos frequentior est consuetudo, prout eruditissimus Claudius Ptolemaeus luculento de astronomia opere testatur, Nabonasareis ipse usus annis sive maioris utriusque luminaris certos status inspiceret, sive congressus eorum aut plenilunia vel in utroque defectus occurrentes lunae nimirum et solis eclipses, sive demum errantium quinque siderum et aliorum caelo fixorum iuxta longitudinem et latitudinem numeros colligeret. Omnium quippe accuratissimum ferunt computum, qui a Nabonasaro ad primum usque, septimum intellige Alexandri Macedonis, Macedonibus ipsis, Persis ac toti ferme orbi dominantis annos 419 et ad ipsius usque Alexandri obitum annos 424 colligit. At quoniam cum vulgaribus et usitatis mundi annis caelestium corporum motus concordiam servare necessarium duximus ostendere; et insuper de Nabonasari computo unam apud Graecorum Chaldaeorumque sapientes sententiam teneri fassi sumus; agedum commune nobis principium hoc ponatur. Annus 4747 anno Nabonasari primo aequalis est; adeo ut si quis secundum positas in magna eruditi Ptolemaei collectione demonstrationes et regulas caelestium motuum

φοφορίαν τινὰ τῶν οὐρανίων φορῶν ἐπιλογίσασθαι, λαμβάνων τὰ ἀπὸ τοῦ ,δψμζ' ἔτους τοῦ κόσμου, εἶτα ἀπὸ πρώτου ἔτους Ναβονασάρου μίαν καὶ τὴν αὐτὴν εὕροι ἐποχὴν μέχρι τελευτῆς Ἀλεξάνδρου τοῦ κτίστου, καθ' ἣν κόσμου μὲν ἔτος ,ερο' ὑπῆρχεν, ἀπὸ δὲ τοῦ πρώτου ἔτους Ναβονασάρου ἔτη γίνονται υκδ', ὡς P. 207 προείρηται. τὰς μέντοι ἀπὸ τῆς τελευτῆς Ἀλεξάνδρου ψηφοφορίας τῶν ἀστέρων ὁ αὐτὸς φιλόσοφος ἐν προχείροις κανόσιν ,αυος' ἐτῶν περιόδων, ἤτοι ἀποκαταστάσει Αἰγυπτιακοῦ ἑνὸς ἔτους ἐξέθετο. πλὴν καὶ ἀπὸ τοῦδε τοῦ χρόνου ἤτοι ἀπὸ τῆς τελευτῆς Ἀλεξάνδρου καὶ τοῦ ,ερο' κοσμικοῦ ἔτους, ἡνίκα ὁ ἀπὸ Φιλίππου τοῦ μετὰ Ἀλέξανδρον τὸν κτίστην χρόνος, τῶν προχείρων κανόνων τὴν ἀρχὴν εἴληφεν. εἴ τις βουληθείη σύνοδον, πανσέληνον ἢ ἄλλην τινὰ ψηφοφορίαν τῶν ἀστέρων ἐπιλογίσασθαι κατὰ τὴν προκειμένην ἀκριβῆ τῶν κοσμικῶν ἐτῶν ποσότητα, B ἤγουν καὶ πασχαλίων, ἄπταιστον εὑρήσει καὶ τὴν αὐτὴν ἀκριβῆ κατάληψιν τοῖς τε κατὰ τὴν μεγάλην σύνταξιν Πτολεμαίου ἀπὸ Ναβονασάρου ἔτεσι καὶ τοῖς ἀπὸ τῆς τελευτῆς Ἀλεξάνδρου, ἤτοι ἀρχῆς Φιλίππου τοῦ μετὰ Ἀλέξανδρον τὸν κτίστην ἕως Αὐγούστου Καίσαρος καὶ ἔτι ἕως Διοκλητιανοῦ, καὶ αὖθις ἕως τοῦ παρόντος ,στβ' ἔτους. ἀπὸ δὲ Ναβονασάρου τοὺς χρόνους τῆς τῶν ἀστέρων κινήσεως Χαλδαῖοι ἠκρίβωσαν καὶ ἀπὸ Χαλδαίων

1. ἐπιλογήσασθαι G. 7. αὐτὸς] αὐτοῖς A. 13. ψηφιφορίαν B. Hoc est ψηφηφορίαν. 15. πασχαλίων] πασχουαλίων B. Πασχουάλιον G. Hanc formam tacite correxi supra p. 63, 4. ex editione Veneta, quae ibi πασχαλίῳ et πασχαλίου dedit, hic autem πασχάλιον. εὑρήσει B. εὕρῃς G. 20. ,στβ' B. ,στνβ' G.

rationem et numeros in praesenti habere desideret, a communi mundi anno 4747 et una pariter ab anno Nabonasari primo ducto putandi principio, certam utrobique temporis epocham reperiat usque ad Alexandri conditoris obitum, qui mundi 5170 asseritur, et a Nabonasari primo alios, ut praemisimus, 424 colligat. Ab Alexandri quidem obitu siderum numeros ac rationes sapiens ille vir in expeditis tabulis annorum 1476 periodo, id est, anni unius Aegyptiaci reparatione nobis exposuit; verum ab hoc quoque semper temporis limine, a morte nimirum Alexandri et a vulgari mundi anno 5170, quo post Alexandrum imperii conditorem expeditarum regularum spatium a Philippo ducitur, sumpsit exordium. Ad haec, si quis concursum, plenilunium vel quamvis aliam astrorum rationem colligere studet, ex praemisso accuratiore mundi annorum numero et paschalem tabulam ab errore penitus immunem et certam eandem excogitandi viam, a positis huiusmodi iuxta magnam Ptolemaei collectionem a Nabonasaro annis et iis qui Alexandri morte signantur reperiat; id est a Philippi imperio Alexandri conditoris supparis usque ad Augustum Caesarem, imo ad Diocletianum Augustum, ac rursus ad annum 6352 praesentem. A Nabonasaro vero astrorum motus spatia ac tempora diligenter annotarunt Chal-

οἱ παρ' Ἕλλησι μαθηματικοὶ λαβόντες, ἐπειδή, ὡς ὁ Ἀλέξανδρος καὶ Βήρωσσός φασιν οἱ τὰς Χαλδαϊκὰς ἀρχαιολογίας περιει- C ληφότες, Ναβονάσαρος συναγαγὼν τὰς πράξεις τῶν πρὸ αὐτοῦ βασιλέων ἠφάνισεν, ὅπως ἀπ' αὐτοῦ ἡ καταρίθμησις γίνεται τῶν Χαλδαίων βασιλέων. εἰσὶν οὖν, ὡς πρόκειται ἐν κανονίῳ, V. 166 οἱ αὐτοὶ ἀπὸ Ναβονασάρου χρόνοι υκδ' κατά τε τὴν μαθηματικὴν καὶ ἐκκλησιαστικὴν ἔκδοσιν, τὰ μὲν καθ' ὅλου ἔτη τὰ αὐτὰ συνάγοντες υκδ', τὰ δὲ κατὰ μέρος οὐ πανταχοῦ τὰ αὐτά· οἷον Κύρου μὲν ἡ θεία γραφὴ λα' ἔτος ὑποφαίνει τῆς βασιλείας καὶ ἐν τοῖς κοσμικοῖς ἔτεσιν οὕτως στοιχειοῦμεν, ὁ δὲ μαθηματικὸς κανὼν θ' μόνα ἔτη Κύρῳ νέμει. καὶ ἐν ἄλλοις δέ τισιν αὐτοῦ τε Ναβονασάρου διαφορὰν εὑρήσεις ἐν τοῖς κατὰ μέρος, ἐν δὲ τῷ D τέλει τὴν ἰσότητα.

### Τὰ ἀπὸ Ναβονασάρου ἔτη, τοῦ καὶ Σαλμανασάρ, βασιλέως Χαλδαίων, ἕως Ἀλεξάνδρου τοῦ κτίστου τελευτῆς κατὰ τὸν ἀστρονομικὸν κανόνα.

| | | |
|---|---|---|
| α' | Ναβονασάρου ἔτη | ιδ'. |
| β' | Ναβίου ἔτη β'. | ις'. |
| γ' | Χινζήρου καὶ Πώρου ἔτη ε'. | κα'. |
| δ' | Ἰλουλαίου ἔτη ε'. | κς'. |

1. μαθητικοὶ B. ἐπειδὴ B. ἐπειδὰν G. 2. βήρωσσος A. βηρώσος B. Βηρωσσὸς G. φασιν m. φησὶν G. 4. ἠφάνησεν B. 6. μαθητικὴν B. 17. Cum hoc regum indice comparetur Ptolemaei canon p. 139. ed. Halmae. 14. σαλμανασὰρ B. Σαλμονασάρ G. 19. πώρου Bm. πύρου A. Πύῤῥου G.

daei et a Chaldaeis matheseos Graeci interpretes edocti; quandoquidem, ut Alexander et Berosus Chaldaicarum antiquitatum collectores nobis reliquerunt, Nabonasarus collectis priorum regum gestis, qua ratione posteriorum Chaldaeorum regum enumeratio a se inciperet, edixit. Sunt itaque stabiles et certi, prout ex indice demonstratur, cum iuxta mathematicam, tum iuxta ecclesiasticam traditionem, iidem a Nabonasaro anni, ac in universum 424 numero concluduntur; separatim autem sumpti non iidem sunt apud omnes; exempli gratia Cyri regnum divina scriptura annis 31 metitur, eosdemque in vulgarium mundi annorum summa Cyro concedimus, quamvis mathematicus ordo solos novem tribuendos edocet. Et in nonnullis quidem privatim locis ac ipsamet Nabonasari limitanda aetate discrimen facile notaveris; in fine vero concordiam et inter cuncta paritatem.

### Anni a Nabonasaro Chaldaeorum rege, qui et Salmonasar, ad Alexandri conditoris obitum iuxta regulam astronomicam.

1. Nabonasari anni 14.
2. Nabili anni duo, summa 16.
3. Chinzeri et Pori anni 5, summa 21.
4. Ilulaei anni 5, summa 26.

| | | |
|---|---|---|
| ε' Μαρδοκεμπάδου ἔτη ιβ'. | λη'. | P. 208 |
| ϛ' Ἀρκεανοῦ ἔτη ε'. | μγ'. | |
| ζ' Ἀβασίλευτος ἔτη β'. | με'. | |
| η' Βηλίβου ἔτη γ'. | μη'. | |
| θ' Ἀπαραναδίσου ἔτη ϛ'. | νδ'. | |
| ι' Ἡριγεβάλου ἔτος α'. | νε'. | |
| ια' Μεσησιμορδάκου ἔτη δ'. | νθ'. | |
| ιβ' Ἀβασίλευτος ἄλλος ἔτη η'. | ξζ'. | |
| ιγ' Ἰσαρινδίνου ἔτη ιγ'. | π'. | |
| ιδ' Σαοσδουχίνου ἔτη θ'. | πθ'. | |
| ιε' Κινηλαδάλου ἔτη ιδ'. | ργ'. | |
| ιϛ' Ναβοπαλασάρου πατρὸς Ναβουχοδονόσωρ ἔτη κα'. | ρκδ'. | B |
| ιζ' Ναβοπαλασάρου τοῦ καὶ Ναβουχοδονόσωρ ἔτη μγ'. | ρξζ'. | |
| ιη' Ἰλλοαρουδάμου ἔτη γ'. | ρο'. | |
| ιθ' Νιριγασολασάρου ἔτη ε'. | ροε'. | |
| κ' Ναβοναδίου τοῦ καὶ Ἀστυάγους ἔτη λδ'. | σθ'. | |
| κα' Κύρου ἔτη θ'. | σιη'. | |
| κβ' Καμβύσου ἔτη η'. | σκϛ'. | |

3. Legebatur Ἀβασιλεύτου. 4. βηλίβου B. Βηλίθου G. Βέλιμος dicitur p. 167. 5. ἀπαραννσδίσου B. Ἀποραναδίσου G. 6. Ἰριγεβάλου ἔτη α' G. 8. Ἀβασιλεύτου ἄλλου G. Mutavi ex B. 9. ἰσαριηδίνου A. ἰσαριηδήνου B. 10 om. A. Vulgo Σαοσδουχίου. σαοδουχίνου B. 11. κινηλαδάλου B. Κινιλαδάλου G. Verum videtur Κινηλαδάνου. 12. ναβουχοδονόσωρ B hic et infra. Ναβουχοδονόσορ G constanter. κα' ] μγ' B. 13. ναβουκολασάρου A. ναβουκολασσάρου B. Ναβουπαλασάρου G. 14. Ἰλλουαρουδάμου G. 15. νιρηγασολασάρου B. Νηρηγασολασάρου G.

5. Mardocempadi anni 12, summa 38.
6. Arceani anni 5, summa 43.
7. Interregni anni 2, summa 45.
8. Belithi anni 3, summa 48.
9. Aporanadisi anni 6, summa 54.
10. Irigebali annus unus, summa 55.
11. Mesesimordaci anni 4, summa 59.
12. Alterius interregni anni 8, summa 67.
13. Isarindini anni 13, summa 80.
14. Saosduchii anni 9, summa 89.
15. Ciniladali anni 14, summa 103.
16. Nabopalassari patris Nabuchodonosor anni 21, summa 124.
17. Nabupalasari, qui et Nabuchodonosor, anni 43, summa 167.
18. Illuarudami anni 3, summa 170.
19. Nerogasolasari anni 5, summa 175.
20. Nabonadii, qui et Astyages, anni 34, summa 209.
21. Cyri anni 9, summa 218.
22. Cambysis anni 8, summa 226.

| | | |
|---|---|---|
| | κγ' Δαρείου ἔτη λϛ'. | σξβ'. |
| | κδ' Ξέρξου ἔτη κα'. | σπγ'. |
| | κε' Ἀρταξέρξου α' ἔτη μα'. | τκδ'. |
| C | κϛ' Δαρείου β' τοῦ καὶ Νόθου ἔτη ιθ'. | τμγ'. |
| | κζ' Ἀρταξέρξου δευτέρου ἔτη μϛ'. | τπθ'. |
| | κη'. Ὤχου ἔτη κα'. | υι'. |
| | κθ' Σάρου ἔτη β'. | υιβ'. |
| | λ' Δαρείου τρίτου τοῦ καὶ Ἀρσάμου ἔτη ϛ'. | υιη'. |
| | λα' Ἀλεξάνδρου τοῦ μεγάλου ἔτη ϛ'. | υκδ'. |

*Τὰ ἀπὸ Σαλμανασὰρ, ἤτοι Ναβονασάρου, ἔτη κατὰ τὴν ἐκκλησιαστικὴν στοιχείωσιν, ἕως Κύρου, καὶ ἔπειτα Ἀλε-*
D *ξάνδρου τοῦ Μακεδόνος.*

α' Ναβονάσαρος ὁ καὶ Σαλμανασὰρ ἐν τῇ γραφῇ λεγόμενος ἔτη κε'.

β' Νάβιος ἔτη η'.

γ' Χίνζηρος καὶ Πῶρος ἔτη ε'.

δ' Ἰλουλαῖος ἔτη ε'.

V. 167 ε' Μαρδοκέμπαδος ἔτη ιβ'.

ϛ' Ἀρκεανὸς ἔτη ε'.

4. Νόθου] νόνου B. 6. ὤχου B. Ὠχοῦ G. ἔτη] ἔτος B. 7. Σάρου] Ἄρσου Scaliger p. 46. 8. Ἀρσάμου in utroque codice inventum om. G. 10. σαλμανασὰρ B. Σαλμονασὰρ G. 13. ναβονάσσαρος B. 17. Vulgo Πλουλαῖος. Ἰλολαιὸς B. 18. Vulgo Μαρδοκεμπάδοκος. μαρδοκεμπαδὸς B.

23. Darii anni 36, summa 262.
24. Xerxis anni 21, summa 283.
25. Artaxerxis primi anni 41, summa 324.
26. Darii secundi, qui Nothus, anni 19, summa 343.
27. Artaxerxis secundi anni 46, summa 389.
28. Ochi anni 21, summa 410.
29. Arsis anni 2, summa 412.
30. Darii tertii, qui et Arsami filii, anni 6, summa 418.
31. Alexandri magni anni 6, summa 424.

Anni a Salmanasar, hoc est a Nabonasaro, iuxta ecclesiasticum computum, usque ad Cyrum et deinde ad Alexandrum Macedonem.

1. Nabonasarus, qui et Salmanasar in scriptura vocatus, regnavit annis 25.
2. Nabius annis 8.
3. Chinzerus et Porus annis 5.
4. Illulaeus annis 5.
5. Mardocempadocus annis 12.
6. Arceanus annis 5.

ζ' Ἀβασίλευτος ἔτη β'.
η' Βήλιλος ἔτη γ'.
θ' Ἀπαρανάδισος ἔτη ς'.
ι' Ἠριγέβαλος ἔτος α'.
ια' Μεσησιμόρδακος ἔτη δ'. P. 209
ιβ' Ἀβασίλευτος ἄλλος ἔτη η'.
ιγ' Ἰσαρινδῖνος ἔτη ιγ'.
ιδ' Σαοσδουχῖνος ἔτη θ'.
ιε' Κινηλάδανος ἔτη ιδ'.
ις' Ναβοπαλάσαρος ἔτη κα'.
ιζ' Ναβουχοδονόσωρ υἱὸς ἔτη μγ'.
ιη' Εὐειλὰδ Μαροδὰχ ἔτη ε'.
ιθ' Νιριγλήσαρος ὁ καὶ Βαλτάσαρ ἔτη γ'.
κ' Ναβονάδιος ὁ καὶ Ἀστυάγης Δαρεῖος Ἀσσουήρου καὶ Ἀρταξέρξης ἔτη ιζ'.
κα' Κῦρος Περσῶν πρῶτος βασιλεὺς ἔτη λα'.
κβ' Καμβύσης υἱὸς Κύρου ἔτη η'. B
κγ' Μάγοι ἀδελφοὶ β' Σμέρδιος καὶ Παυζούτης μῆνας ζ'.
κδ' Δαρεῖος υἱὸς Ὑστάσπου ἔτη λς'.

2. βηλιλὸς B. Βήληλος G. 4. Ιρηγίβαλλος G. ἔτος B: ἔτη G. 5. μεσησιμόρδακος B. μεσισικόρδακος A. Μεσσισιμόρδακος G. 7. Vulgo Ισααριδηνός. ἰσααρρήδινος B. 8. σαοσδούχινος B. Σαὸς Δούχιος G. 9. Κινηλαδανᾶς G. 10. ναβοπαλάσσαρος B. 11. ναβοχοδονόσωρ B. 12. εὐειλὰδ μαροδὰχ B. εὐϊδᾶν βαροχὰδ A. Εβιδὰν Μεροδὰχ G. 13. Νιρηγλήσαρος G. νηριγλήσαρος AB. 14. Δαρεῖος m. δάρσιος AB. Δάρσειος G. ἀσουήρου AB. 16. ἐβασίλευσεν A. ἔτη] ἔτος B. 18. ἐμέρδιος B. καὶ addidit m. 19. ὑστάπου AB.

7. Interregnum annis 2.
8. Belithus annis 3.
9. Aporanadisus annis 6.
10. Iregiballus anno uno.
11. Messisimordacus annis 4.
12. Alterum interregnum annis 8.
13. Isarindinus annis 13.
14. Saosduchius annis 9.
15. Cineladanas annis 14.
16. Napobalasarus annis 21.
17. Nabuchodonosor filius eius annis 43.
18. Ebidan Merodach annis 5.
19. Niregiesarus, qui et Baltasar, annis 3.
20. Nabonadius, qui et Astyages, Darius, Assverus et Artaxerxe annis 17.
21. Cyrus Persarum primus rex annis 31.
22. Cambyses Cyri filius annis 8.
23. Magi fratres duo Smerdius et Panzutes mensibus 7.
24. Darius Hystaspis filius annis 36.

κε΄ Ξέρξης υἱὸς Δαρείου μῆνας κ΄.
κϛ΄ Ἀρταξέρξης Ξέρξου ὁ μακρόχειρ ἔτη μγ΄.
κζ΄ Ξέρξης υἱὸς Ἀρταξέρξου μῆνας β΄.
κη΄ Σογδιανὸς μῆνας ζ΄.
κθ΄ Δαρεῖος ὁ Νόθος ἔτη ιθ΄.
λ΄ Ἀρταξέρξης ὁ Μνήμων ἔτη μ΄.
λα΄ Ὦχος Ἀρταξέρξου υἱὸς ἔτη ε΄.
λβ΄ Ἄρσου ἀδελφοῦ Ὤχου ἔτη δ΄.
C λγ΄ Δαρείου γ΄ Ἀρσάμου ἔτη ϛ΄.
λδ΄ Ἀλεξάνδρου Μακεδόνος ἔτη ϛ΄.

### Χαλδαίων βασιλεῖς.

Χαλδαίων β΄ ἐβασίλευσε Νάβιος ἔτη η΄, κατὰ δὲ ἄλλους β΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψοβ΄.

Χαλδαίων γ΄ ἐβασίλευσε Χίνζηρος καὶ Πῶρος ἔτη ε΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψπ΄.

Χαλδαίων δ΄ ἐβασίλευσεν Ἰλουλαῖος ἔτη ε΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψπε΄.

Χαλδαίων ε΄ ἐβασίλευσε Μαρδοκέμπαδος ἔτη ιβ΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψϟ΄.

D Χαλδαίων ϛ΄ ἐβασίλευσεν Ἀρκεανὸς ἔτη ε΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δωβ΄.

1. μῆνας] ἔτη m. 2. μγ΄] μα΄ m. 5. Νόθος] Legebatur νοθοσίνομος. In B est νοθοσήνομος. Fluctuavit librarius inter νόθος ἢ νόμος. 9. δαρείου γ΄ B. Δαρεῖος τρίτος G. 12. Νάβιος ἐβασίλευσεν G. 16. ἰλούλαιος AB.

25. Xerxes, filius Darii, annis 20.
26. Artaxerxes, Xerxis filius, Macrochir annis 41.
27. Xerxes, Artaxerxis filius, mensibus 2.
28. Sogdianus mensibus 7.
29. Darius Nothosinomus annis 19.
30. Artaxerxes Memor annis 40.
31. Ochus, Artaxerxis filius annis 5.
32. Arses, Ochi frater. annis 4.
33. Darius 3 Arsami filius annis 6.
34. Alexandri Macedonis anni 6.

### Chaldaeorum reges.

Chaldaeorum rex 2 Nabius annis 8, et ut alii censent 2, mundi vero 4772.
Chaldaeorum rex 3 Chinzerus et Porus annis 5, mundi vero 4780.
Chaldaeorum rex 4 Ilulaeus annis 5, mundi vero 4785.
Chaldaeorum rex 5 Mardocempadus annis 12, mundi vero 4790.
Chaldaeorum rex 6 Arceanus annis 5, mundi vero 4802.

*Χαλδαίων ζ' ἐβασίλευσεν ἀβασίλευτος ἔτη β'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δωζ'.*

*Χαλδαίων η' ἐβασίλευσε Βήλιβος ἔτη γ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δωθ'.*

*Χαλδαίων θ' ἐβασίλευσεν Ἀπαρανάδισος ἔτη ς'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δωιβ'.*

*Χαλδαίων ι' ἐβασίλευσεν Ἡριγέβαλος ἔτος α'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δωιη'.*

*Χαλδαίων ια' ἐβασίλευσε Μεσησιμόρδακος ἔτη δ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δωιθ'.*

*Χαλδαίων ιβ' ἐβασίλευσεν ἀβασίλευτος ἄλλος ἔτη η'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δωκγ'.* P. 210

*Χαλδαίων ιγ' ἐβασίλευσεν Ἰσαρινδῖνος ἔτη ιγ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δωλα'.*

*Χαλδαίων ιδ' ἐβασίλευσε Σαοσδουχῖνος ἔτη θ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δωμδ'.*

*Χαλδαίων ιε' ἐβασίλευσε Κινηλαδὰν ἔτη ιδ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δωνγ'.* V. 168

*Χαλδαίων ις' ἐβασίλευσε Ναβοπαλάσαρος ἔτη κα', ὁ πατὴρ τοῦ Ναβουχοδονόσωρ, κατὰ δὲ ἄλλους ἔτη κε'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δωξζ'.*

5. Legebatur *Παρνάδιος*. In B *παρανάδιος*. 7. *Ιρηγέβαλος ἔτη* G. 9. Vulgo *Μεσισιμόρδακος*. *μεσισημμόρδακος* B. 11. *ἀβασίλευτος* addidi ex B. 13. *ἰσαρινδῖνος* A. *ἰσαρινδίνος* B. *Ἰσαρίνδινος* G. 15. *σαοσδουχῖνος* A. *σαοσδουχίνος* B. *Σαοσδούχινος* G. 17. *κινηλαδὰν* B. *Κινηλαδᾶν* G. Corrige *Κινηλάδανος*. 19. *ναβοπολάσαρος* G. 20. *ναβουχοδονόσωρ* B hic et infra. *Ναβουχοδονόσορ* G.

Chaldaeorum rex 7 nullus, sed interregnum annis 2, mundi vero 4807.
Chaldaeorum rex 8 Belithus annis 3, mundi vero 4809.
Chaldaeorum rex 9 Aporonadisus annis 6, mundi vero 4812.
Chaldaeorum rex 10 Iregebalus anno uno, mundi vero 4818.
Chaldaeorum rex 11 Mesisimordacus annis 4, mundi vero 4819.
Chaldaeorum rex 12 alius annis 8, mundi vero 4823.
Chaldaeorum rex 13 Isarindinus annis 13, mundi vero 4831.
Chaldaeorum rex 14 Saosduchinus annis 9, mundi vero 4844.
Chaldaeorum rex 15 Cineladanus annis 14, mundi vero 4853.
Chaldaeorum rex 16 Nabopolasarus pater Nabuchodonosor annis 21, et ut alii sentiunt annis 25, mundi vero 4867.

B Τοῦτον ὁ Πολυΐστωρ Ἀλέξανδρος Σαρδανάπαλλον καλεῖ πέμψαντα πρὸς Ἀστυάγην σατράπην Μηδείας καὶ τὴν θυγατέρα αὐτοῦ Ἀμυΐτην λαβόντα νύμφην εἰς τὸν υἱὸν αὐτοῦ Ναβουχοδονόσωρ. οὗτος στρατηγὸς ὑπὸ Σάρακος τοῦ Χαλδαίων βασιλέως σταλεὶς, κατὰ τοῦ αὐτοῦ Σάρακος εἰς Νίνον ἐπιστρατεύει· οὗ τὴν ἔφοδον πτοηθεὶς ὁ Σάρακος ἑαυτὸν σὺν τοῖς βασιλείοις ἐνέπρησε, καὶ τὴν ἀρχὴν Χαλδαίων καὶ Βαβυλῶνος παρέλαβεν ὁ αὐτὸς Ναβοπαλάσαρος, ὁ τοῦ Ναβουχοδονόσωρ πατήρ.

## Αἰγυπτίων βασιλεῖς.

Αἰγυπτίων πα' ἐβασίλευσε Νεχαὼ ἔτη η'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δωνδ'.

C Αἰγυπτίων πβ' ἐβασίλευσε Ψαμμήτιχος ἔτη ιδ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δωξβ'.

Αἰγυπτίων πγ' ἐβασίλευσε Νεχαὼ β' Φαραὼ ἔτη θ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δωος'.

Αἰγυπτίων πδ' ἐβασίλευσε Ψάμμουθις ἕτερος, ὁ καὶ Ψαμμήτιχος, ἔτη ιζ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δωπε'.

1. „Ex Polyhistore Sarax sive Saracus non est Nabopolasarus; at Saracus est ipse Sardanapalus. Legendum videtur: Hunc Polyhistor dicit a Sardanapalo missum ad Astyagem. Vitiose obrepsit nomen Sardanapali pro Saraco, qui Chyniladanus esse debet. Ex Polyhistore Saracus est Sardanapalus, Astyages est Arbaces, Nabopolasarus est Belesys. De Sachora et Tilgamo regibus Babyloniorum Aelian. de N. A. I. 12. 21. De Sargon sive Arna Isaias 20, 1. non est ergo huius temporis; Saracus rex esse potest Scytharum, qui sub Cyaxare per annos 28 Asiam tenuerunt." Anonymus. Vulgo Σαρδανάπαλον. 2. Μηδείας] Μηδίας recte m hic et alibi. 3. Ἀμυΐτην] Ἀρωΐτην G. Amuhiam dicit Eusebius p. 21. 25. 4. Χαλδαίου G. 8. ναβοχοδονόσορ A. 10 et 14. νεχαὼ B. Νεχαὰβ G. 12. ψααμμίτιχος A. ψαμίτειχος B. Ψαμμίτιχος G. 16. ψάμμουθης A. ψαμουθὴς B. Vulgo Ψαμμιτικός. Ψαμμίτιχος m. Ψαμιτικὸς B.

Hunc Sardanapalum vocat Polyhistor Alexander, qui ad Astyagem Mediae satrapam miserit et filiam eius Aroitem uxorem filio suo Nabuchodonosor sumpserit. Hic traditis sibi copiis a Saraco Chaldaeorum rege praepositus, in Saracum ipsum et Ninivem civitatem arma vertit; cuius impetum et adventum veritus Saracus, incensa regia igne se absumpsit; imperium vero Chaldaeorum et Babylonis collegit Nabopolasarus, pater Nabuchodonosor.

## Aegyptiorum reges.

Aegyptiorum rex 81 Nechaab annis 8, mundi vero 4854.

Aegyptiorum rex 82 Psammitichus annis 14, mundi vero 4862.

1. συνῳδὰ] Vulgo συνῳδᾷ. δὲ om. G. ἡ τετάρτη] Cap. 23. ab v. 30. 2. γράφει B. γραφὴ G. 6. ὁ Μωσῆς G. ὁ om. AB. ἴδεν B. 10. ἐπέστρεψαν G. τὸν τόπον] τῆς τόπου G. καὶ ἐκρύβη — ἔσεσθαι τὸν τόπον addidi ex B. 12. ἐπισυναγάγῃ B. ἐπισυνάγει G. 13. τῷ Ἰσραὴλ om. G. 15. In margine AB haec adscripta sunt ὅπερ κατὰ τὴν ὑποκειμένην στοιχείωσιν ὤφειλεν εἶναι ͵δωπ'. τὰ δὲ τρία ἔτη ταῦτα τὰ προτρέχοντα ἐν ποίοις προσώποις προσετέθησαν (προσετέθη G.) ἀγνοοῦμεν. αὐτὸς γὰρ ὁ τὴν βίβλον συντάξας καὶ τὸν ἑβδομηκονταετῆ (τὸν ο' ἐτῆ B. τῷ ο' ἔτει G.) χρόνον τῆς αἰχμαλωσίας ἀπὸ τοῦ δ' Ἰωακεὶμ ἀριθμήσας οὕτως ἐστοιχείωσεν. ἀριθμοῦνται (ἀριθμεῖται G.) δὲ τὰ ο' ἔτη τῆς αἰχμαλωσίας οὕτως. Ἰωακεὶμ ἔτη η'. Τῶν β' Ἰεχονιῶν (Vulgo Ἰεχονίων) ἔτος α'. Σεδεκίου ἔτη ια'. Ναβουχοδονόσωρ (Vulgo — σορ) ἀπὸ τοῦ ιθ' ἔτους τῆς βασιλείας αὐτοῦ τὰ λοιπὰ ἔτη κδ'. Εὐιλὰδ Μαροδὰχ (Μεροδὰχ G.) ἔτη ε'. Νιριγλησάρου τοῦ καὶ Βαλτάσαρ ἔτη γ'. Δαρείου Ἀστυάγους ἀπὸ κα' ἔτους τῆς βασιλείας αὐτοῦ τὰ λοιπὰ (τὰ add. G.) ιζ'. Κύρου ἔτος ἕν. Ὁμοῦ ἑβδομήκοντα. Τὸν om. B. ἰεχωνίαν A. 16. τὸν om. G. ἰεχωνίαν A.

est; et undecim annis regnavit in Hierusalem. His consona Regnorum liber IV. enarrat. Caeterum in quodam exemplari legi, prophetam Hieremiam, divinis oraculis monitum, iussisse sacerdotes post mortem Iosiae arcam dei et tabernaculum efferre ac se sequi, mox egressum civitate conscendisse montem, e cuius cacumine terram promissionis Moses prospexit; repertaque spelunca, tabernaculum, arcam, altare, mensam, lucernam et reliqua sancta vasa in eam intulisse atque ingressum obstruxisse; quosdam vero sacerdotum signasse locum . . . . . . dicens: donec colligat dominus populum et propitius fiat . . . . . .

Israël rex 17 Ioachaz, filius Iosiae, mensibus tribus.

Ioachaz hunc Esdras Iechoniam vocat ad verbum haec dicens: et assumentes qui erant ex gente Iechoniam filium Iosiae constituerunt regem.

P. 217 Ἰωσίου ἀνέδειξαν βασιλέα. εἶτα καὶ ἐβασίλευσεν ἐν Ἰσραὴλ καὶ ἐν Ἱερουσαλὴμ μῆνας γ΄. καὶ ἀπέστησεν αὐτὸν βασιλεὺς Αἰγύπτου βασιλεύειν ἐν Ἱερουσαλὴμ, καὶ ἐζημίωσε τὸ ἔθνος ἀργυρίου τάλαντα ρ΄ καὶ χρυσίου τάλαντα ι΄. καὶ ἀνέδειξε βασιλέα Ἰωακεὶμ τὸν ἀδελφὸν αὐτοῦ.

Τοῦ Ἰούδα ιη΄ ἐβασίλευσεν Ἐλιακεὶμ, ὁ καὶ Ἰωακεὶμ, ἔτη ια΄. τοῦ δὲ κοσμου ἦν ἔτος ,δωπγ΄.

Τὸ δ΄ ἔτος Ἰωακεὶμ υἱοῦ Ἰωσίου βασιλέως Ἰούδα, κόσμου δὲ ἦν ἔτος ,δωπγ΄, καὶ πρῶτον ἔτος βασιλέως Βαβυλῶνος Να-
B βουχοδονόσωρ ὁ μέγας Ἱερεμίας φησί· τὸ δ᾽ αὐτὸ κγ΄ ἔτος τῆς ἑαυτοῦ προφητείας πρὸς τὸν λαὸν Ἰούδα ἐξαριθμεῖ ἀπὸ τοῦ ιγ΄ ἔτους Ἰωσίου βασιλέως ἀρχόμενον, ἀφ᾽ οὗ καί τινες τῶν ἐξηγητῶν, ἐν οἷς καὶ Εὐσέβιος, τὸν ἑβδομηκονταετηρικὸν τῆς αἰχμαλωσίας χρόνον βούλονται μετρεῖσθαι, ἕως τοῦ πρώτου ἔτους Κύρου γινόμενον ἔτη ἑβδομήκοντα. κατὰ δὲ δεύτερον τρόπον ὁ αὐτὸς ἑβδομηκονταετὴς χρόνος συνάγεται ἀπὸ τοῦ ἐνεστῶτος δ΄ ἔτους Ἰωακεὶμ, ἀφ᾽ οὗ καὶ ὁ θεὸς διὰ τοῦ προφήτου ἐγκαλεῖ τῷ λαῷ τοῦ Ἰούδα περὶ τῆς ἀπειθίας, ἐπὶ τὸ πρῶτον ἔτος τοῦ αὐτοῦ
C Κύρου. κατὰ δὲ γ΄ καὶ τελευταῖον ἀπὸ τοῦ θ΄ ἔτους Σεδεκίου ἕως τοῦ δευτέρου ἔτους Δαρείου. τισὶ δὲ ἀκριβέστερον δοκεῖ ἀπὸ τοῦ ε΄ ἔτους τῆς προφητείας Ἱερεμίου, ὡς φησιν Εὐσέβιος,

1. εἶτα καὶ] καὶ om. G. 7. ,δωπδ΄ m. 10 et infra — σωρ B. — σορ G. 13. Εὐσέβιος] Vide Eusebium p. 86. 17. τοῦ λαοῦ G. 18. ἀπειθίας B. ἀπειθείας G. 19. θ΄ B. ια΄ G.

Et inferius: regnavit in Israël et Hierusalem mensibus tribus. Et amovit eum rex Aegypti, ne regnaret in Hierusalem. Et multavit gentem argenti talentis centum et auri talentis decem. Et constituit regem Ioacim fratrem eius.

Iuda rex 18 Eliacim, qui et Ioacim, annis 11, mundi vero 4884.

Ioacim filii Iosiae regis Iuda annus 4 in mundi 4883 incurrit, et magno Hieremia teste, in Nabuchodonosor regis Babylonis primum; eundemque suorum ad plebem Iudaeam vaticiniorum tertium ac vicesimum idem propheta observat, qui videlicet a regis Iosiae decimo tertio exordiatur; ab eo siquidem expositorum nonnulli, inter quos reperitur Eusebius, septuagenum captivitatis spatium ad annum Cyri primum, quo anni 70 manifesto complentur, volunt numeratum. Altera vero ratione septuagenum annorum summa ab anno Ioacim quarto ineunte, quo deus prophetae verbo populum contumaciae damnabat ad memorati Cyri annum primum computari dignoscitur. Tertio et postremo modo ab undecimo Sedeciae ad Darii annum secundum a quibusdam colligitur; aliis ex opposito certiorem et veriorem annorum rationem, e quorum grege Eusebius observatur, tenere se iactantibus, summa nimirum annorum 70 ab anno Hieremiae vaticiniorum 5

τὰ ἐπὶ τὸ α' ἔτος Κύρου ἀριθμεῖν. ἀλλ' οὐδ' οὕτως ἀκριβῶς σώζεται.

Οὐρίας υἱὸς Ἀμὼς κατὰ τῆς Ἱερουσαλὴμ προεφήτευσεν. Οὐ- V. 174 ρίας προφητεύων κατὰ τῆς Ἱερουσαλὴμ φεύγει εἰς Αἴγυπτον. μεταπεμψάμενος δὲ αὐτὸν Ἰωακεὶμ καὶ ἀγαγὼν ἀπ' Αἰγύπτου ἀναιρεῖ.

Τῷ δ' ἔτει Ἰωακεὶμ λέγει ὁ Ἱερεμίας ὅτι ἐπάταξεν ὁ Ναβουχοδονόσωρ τὸν Νεχαὼ Φαραώ. τὸ δὲ τέλος τοῦ τετάρτου ἀρχὴ τοῦ πέμπτου ἐστὶ καὶ οὐδὲν διαφέρει. D

Τῷ αὐτῷ ἔτει γέγονεν ὁ λόγος κυρίου πρὸς Ἱερεμίαν περὶ τοῦ χάρτου, ὃ ἀνέγνω Βαροὺχ τῷ πέμπτῳ ἔτει Ἰωακεὶμ, μηνὶ ἐνάτῳ, κατὰ πρόσωπον κυρίου καὶ πάσης τῆς ἐκκλησίας Ἰούδα, ἐν Ἱερουσαλὴμ, ἐν οἴκῳ Γαμαρίου τοῦ γραμματέως· ἔνθεν καὶ ὁ ἑβδομηκονταετὴς χρόνος.

[Σχόλ. Στοιχείωσις ἀκριβὴς ἀπὸ τοῦ πρώτου ἔτους τῶν ο' ἐτῶν τῆς αἰχμαλωσίας μέχρι καὶ αὐτῆς τῆς κατὰ σάρκα γεννήσεως τοῦ Χριστοῦ κατὰ τὴν παροῦσαν συντάξαντα βίβλον, ἀπὸ δ' ἔτους Ἰωακεὶμ, κόσμου ,δωπγ', ἕως ὅτ' ἀπελύθη ἡ αἰχμαλωσία, ἤγουν P. 218 α' ἔτος Κύρου, ἔτη ο'. καὶ ἀπὸ τοῦ β' ἔτους Κύρου, ὅτε ὁ ναὸς ἐθεμελιώθη ἡγεμονεύοντος Ζοροβάβελ καὶ ἀρχιερατεύοντος Ἰησοῦ, ἕως συμπληρώσεως ἐτῶν Ὀνείου ἀρχιερέως τοῦ τελευταίου

1. τὰ ο' ἐπὶ G. 14. χρόνος] χρόνος ἔχεται G. χρόνος ἄρχεται m. 15. Σχόλ. om G. Seclusi hoc scholion. 18. ὅτ' A. ὅτε B. τὸ G. 19. α' ἔτος] πρώτου ἔτους G. 20. Ζωροβάβελ G hic et p. 219. ἀρχιερεύοντος A. 21. ἐτῶν B. ε' ἐτῶν G. Ὀνείου] Vulgo Ὀνίου. ὠνίου G.

ad Cyri 1 deducta; eo licet commento mutilum semper et errans probetur eorum ratiocinium.

Urias filius Amos infesta quaeque Hierusalem praedicit. Urias adversa pleraque Hierusalem civitati praenuncians fugit in Aegyptum; ex Aegypto tamen revocatum et reducem e vivis tollit rex Ioacim.

Quarto regnantis Ioacim anno Nechao Pharaonem a Nabuchodonosor profligatum refert Hieremias; quarti anni finem intellige, qui quinti principium est, nec ista discrimen habent.

Eodem anno factum est verbum domini ad Hieremiam de tabulis a Baruch quinto Ioacim anno, mense nono, in conspectu domini et omni Iuda et Hierusalem, ecclesia audiente, in domo Gamariae scribae lectis, unde septuaginta annorum primus decurrere perhibetur.

Accuratus computus a primo e 70 captivitatis annis, ad ipsam Christi domini secundum carnem nativitatem, ex auctoris praesentis libri mente, est huiusmodi. A quarto Ioacim, qui fuit communis mundi 4883, donec dimitteretur captivitas, hoc est, ad Cyri annum primum 70 anni; et a Cyri anno 2 cum duce Zorobabel et pontificium administrante Iesu templi fundamenta sunt posita, ad ultimum annum, qui terminus est tredecim an-

ἔτη τξγʹ. κόσμου ἔτη ͵ετιεʹ. καὶ ἀπὸ ἀρχῆς τῶν ἀνιέρων διὰ χρημάτων κρατησάντων Ἰάσονος, Μενελάου καὶ Λυσιμάχου ἐπὶ τῆς ἀπιστίας Ἀντιόχου ἕως Ἰούδα υἱοῦ Ματθίου ἔτη ιθʹ. κόσμου δὲ ἔτη ͵ετλδʹ. καὶ ἀπὸ τῆς ἀρχῆς Ἰούδα ἀρχιερέως υἱοῦ Ματθίου ἕως λγʹ ἔτους Ἡρώδου, τεσσαρακοστοῦ δὲ τρίτου ἔτους Αὐγούστου Καίσαρος, ὅτε τὸ κατὰ σάρκα ἐκ τῆς ἁγίας παρθένου ὁ κύριος ἐτέχθη, ἔτη ρξζʹ, κόσμου δὲ ͵εφαʹ, μηνὶ Δεκεμβρίῳ ἰνδικτ. αʹ.]

B Τέσσαρες γεγόνασιν οἱ υἱοὶ τοῦ μακαρίου Ἰωσίου, Ἰωάχαζ, Ἐλιακεὶμ ὁ καὶ Ἰωακεὶμ, Ἰωνὰν, Σεδεκίας ὁ καὶ Ἰεχονίας, καὶ τέταρτος Σαλούμ. καὶ τὸν μὲν Ἰωάχαζ ὑπὸ τοῦ λαοῦ μετὰ θάνατον Ἰωσίου πατρὸς χρισθέντα εἰς βασιλέα μετέστησε Νεχαὼ Φαραὼ εἰς Αἴγυπτον, ἔνθα καὶ ἀποθνήσκει. φόρον τε ἀργυρίου ταλάντων ρʹ καὶ χρυσίου ταλάντου ἑνὸς, ἢ ὥς τινες ιʹ, τῇ Ἰουδαίᾳ ἐπέθηκε, καταστήσας Ἐλιακεὶμ τὸν ἀδελφὸν αὐτοῦ βασιλέα τὸν καὶ Ἰωακεὶμ μετακληθέντα ὑπ' αὐτοῦ. ἀναιρεθέντος δὲ τοῦ αὐτοῦ Νεχαῶ Φαραῶ ὑπὸ τοῦ Ναβουχοδονόσωρ τῷ δευτέρῳ ἔτει C τῆς βασιλείας αὐτοῦ, κατὰ τὸ δʹ ἔτος Ἰωακεὶμ, ὥς φησιν Ἱερεμίας, ἀνελθὼν κατεδουλώσατο τὸν Ἰωακεὶμ ὁ Ναβουχοδονόσωρ ἔτη γʹ, τουτ' ἔστιν ἕως τοῦ ηʹ ἔτους αὐτοῦ Ἰωακείμ. ἀποστάντα δὲ πάλιν

1. ἔτη] ἔτους G. κόσμου ἔτη] κόσμου ἔτος G. 2. χρημάτων — ἰάσονος B. χρήματα — Ἰάσωνος G. 3. ἀπιστείας B. 6. τὸ om. G. ὁ κύριος addidi ex B. 7. μηνὶ δεκεμβρίῳ ἰνδικτ. αʹ B. μηνὸς Δεκεμβρίου αʹ (κεʹ m.) G. 9. Τέσσαρες — τέταρτος m comparato Paralip. I. 3, 15. Legebatur Πέντε — πέμπτος. οἱ om. G. 10. ὁ καὶ ἰωακεὶμ B. Aberat ὁ. ἰωνᾶν addidi ex AB in Ἰωνὰν mutatum. 11. σαλοὺμ B. σαλοῦμ A. Σαλουμὼν G. 12. πατρὸς B. τοῦ πατρός G. 14. ταλάντων] τάλαντα G. 15. ἐπέθηκεν B. ἀπέθηκεν G. Ἐλιακεὶμ] τὸν Ἐλιακεὶμ G. 19. ἀνελθὼν B. ἀλλ' ἐλθὼν G. 20. ἔτη] ἔτει G.

norum pontificii Oniae anni 363 numerantur mundi 5315 et ab exordio sacrilegorum ac pecuniis pontificium obtinentium Iasonis, Menelai et Lysimachi ad infidelis Antiochi probatam saevitiam, ad Iudam nimirum Matthiae filium anni 19, qui mundi 5334 et ab Iudae pontificis Matthiae filii principio ad 33 Herodis annum, qui Augusti Caesaris fuit 43, cum secundum carnem ex sancta virgine natus est Christus, anni 167, qui adscendunt ad vulgares mundi annos 5501, mensis decembris 25.

Liberi beato Iosiae nati sunt quatuor: Ioachaz, Eliacim, qui etiam Ioacim, Sedecias, qui et Iechonias, et quintus Salum. Et Iosia quidem patre vivis erepto, Ioachaz a populo regem unctum transportavit Nechao Pharao in Aegyptum, ubi diem obiit; et imposito Iudaeae talentorum argenti centum et unius, vel ut quibusdam placet, decem auri talentorum tributo, Eliacim fratrem eius, Ioacim deinde ab eo vocatum, principem constituit. Nechao vero Pharaone a Nabuchodonosor secundo regni eius, Ioacim vero regni quarto, sublato, ut testis est Hieremias; profectus in Ioacim Nabuchodonosor regni sui 3 servum sibi reddidit, hoc est, ad ipsius

χειρωσάμενος ἠχμαλώτισε, καταστήσας ἀντ' αὐτοῦ τὸν Ἰωαχεὶμ
υἱὸν αὐτοῦ παῖδα ὀκταέτη. ἡ μὲν ἱερὰ βίβλος τῶν Παραλειπομέ-
νων μετὰ τὸ ἀποικισθῆναι τὸν Ἰωακεὶμ σὺν τοῖς ἱερεῦσι καὶ τοῖς
λοιποῖς ἐμφανέσι τῶν Ἰουδαίων καὶ τῶν ἱερῶν σκευῶν, κατὰ τὸ
η' ἔτος τῆς βασιλείας Ναβουχοδονόσωρ, δεθέντα πέδαις χαλκαῖς
ὑπ' αὐτοῦ, καὶ αἰχμάλωτον εἰς Βαβυλῶνα ληφθέντα, φησὶν ὅτι
κατέστησε τὸν Ἰωαχεὶμ υἱὸν αὐτοῦ ἀντ' αὐτοῦ τὸν καὶ Ἰεχονίαν
παῖδα ὀκταέτη ὑπόφορον· καὶ μετὰ τρεῖς μῆνας καὶ δέκα ἡμέρας D
ἔλαβεν αὐτὸν πολιορκήσας σὺν τῇ μητρὶ καὶ τοῖς λοιποῖς ἄρχου-
σιν Ἰούδα καὶ τοῖς εὐνούχοις καὶ τοῖς δυνατοῖς τῆς γῆς καὶ πᾶσι
τοῖς θησαυροῖς αἰχμαλώτους εἰς Βαβυλῶνα, καὶ ἐβασίλευσε τὸν
Ματθανίαν υἱὸν αὐτοῦ ἀντ' αὐτοῦ, κγ' ὄντα ἐτῶν, δῆλον δ' ὅτι
τοῦ Ἰωσίου υἱόν. συμφωνεῖ δὲ καὶ ἡ δ' τῶν βασιλειῶν. ὁ δὲ ἱερὸς
Ἱππόλυτος ἐν τῷ κατὰ τὴν Σωσάνναν καὶ τὸν Δανιὴλ συγγράμματι
τρία ἔτη λέγει τὸν υἱὸν Ἰωακεὶμ Ἰωαχεὶμ, τὸν καὶ Ἰεχονίαν μετὰ V. 175
τὸν πατέρα κρατήσαντα μετοικισθῆναι εἰς Βαβυλῶνα σὺν τοῖς
λοιποῖς, ὡς πρόκειται. τὸν δὲ Δανιὴλ καὶ τοὺς τρεῖς παῖδας τῆς
παρούσης αἰχμαλωσίας λέγει. τοῦτον δὲ λέγει καὶ τῆς Σωσάννης P. 219
ἄνδρα εἶναι· καὶ πιθανὸς ὁ λόγος. τὴν δὲ Σωσάνναν Χελκίου
τοῦ ἀρχιερέως εἶναι θυγατέρα βεβαιοῦνται τοῦ εὑρόντος ἐπὶ Ἰω-
σίου τὸ βιβλίον. ταύτης ἀδελφὸς Ἱερεμίας, ὥς φησι, καὶ εἰκό-

1. ἠχμαλώτησε B. 3. Vulgo ἀπῳκισθῆναι. 5. βασιλείας τοῦ G. 7. ἰεχωνίαν A hic et infra. 12. τὸν υἱὸν G. ὅτι τοῦ] ὅτι τὸν G. 13. δ' τῶν βασιλειῶν] Cap. 24, 15. 14. τὸν δανιὴλ B. τῷ Δανιὴλ G. συγγράμματι] γράμματι G. 15. τὸν υἱὸν B. τοῦ υἱοῦ G. 18. σουσάννης B. 19. πειθανὸς B. 20. εἶναι θυγατέρα B. θυγατέρα εἶναι G. 21. φησι B. φασιν G.

Ioacim annum octavum, perduellionisque reum iterato devinctum, Ioachim filio eius octenni eius vice in regem substituto, captivum egit in Babylonem. Sacer equidem Paralipomenon liber post deportatum Ioacim cum sacerdotibus ac reliquis Iudaeorum illustribus sacrisque vasis octavo regni Nabuchodonosor anno, eundemque vinculis aereis compeditum captivum in Babylonem missum, filium eius Ioachim, alio nomine Iechoniam vocatum, puerum octennem, patris vice in solio locatum, narrat; tribus autem mensibus et decem diebus exactis, posita circa urbem obsidione eundem cum matre ac reliquis proceribus Iuda et eunuchis et robustis quibusque terrae viris, nec non cum omnibus thesauris, captivum abduxit in Babylonem; eius vero filium Mathaniam annos 23 natum, Iosiae utique filium, regem pro eo constituit, quibus etiam 4 Regnorum liber assentitur. Sacer autem Hippolytus edito de Sosanna et Daniele opere, Ioachim alio nomine Iechoniam, tres annos, patre Ioacim amoto, regnum moderantem, in Babylonem cum reliquis, ut praemissum est, translatum asseverat. Danielem vero ac tres pueros captivitatis huius consortes, eum vero Sosannae coniugem scribit; nec aliena est a veritate sententia. Sosannam quoque Chelciae pontificis, qui sub Iosia legis reperit librum, filiam affirmant. Hieremiam Sosannae

*τως. ἐκ τούτων λέγει γεννηθῆναι τὸν Ἰεχονίαν, οὗ μέμνηται ὁ θεῖος εὐαγγελιστὴς Ματθαῖος. τοῦ δὲ Ἰεχονίου υἱόν φησι τὸν Σαλαθιὴλ, καὶ τοῦ Σαλαθιὴλ τὸν Ζοροβάβελ, καὶ οὕτω τὴν γενεαλογίαν τοῦ σωτῆρος ἐκ τῆς ἱερατικῆς καὶ βασιλικῆς κατάγεσθαι φυλῆς μέχρι Ἰωσὴφ τοῦ δικαίου καὶ τῆς ἁγίας παρθένου* B *καὶ θεοτόκου. ἀπαγορεύει δὲ τὸν Σαλαθιὴλ ἀπὸ Σεδεκίου τεχθῆναι, ὃν καὶ Ἰεχονίαν καλεῖ, ὡς βδελυκτοῦ τῷ θεῷ γεγονότος· καὶ εἰκότως. ἐπειδὴ δὲ ὁ χρόνος τῶν δ' γενεῶν εἰς ξη' ἔτη μεριζόμενος ἀπὸ πρώτου ἔτους Ναβουχοδονόσωρ ἐπὶ τὸ πρῶτον ἔτος Κύρου, καθ' ὃ ὁ Ζοροβάβελ τῆς ἀπολυτρώσεως τῆς αἰχμαλωσίας ἡγήσατο, μᾶλλόν τινες τὸν Σαλαθιὴλ τοῦτον αὐτοῦ τὸν Ἰεχονίου καὶ τῆς Σωσάννης ὑπολαμβάνουσιν υἱὸν εἶναι, ἵνα τὸν Ζοροβάβελ δείξωσιν εἴκοσί που χρόνων κατὰ τὴν ἀνάκλησιν.*

*Τοῦ Ἰούδα ιθ' ἐβασίλευσεν Ἰεχονίας υἱὸς Ἰωακεὶμ, ὁ καὶ Ἰωαχεὶμ, μῆνας τρεῖς, ἄλλοι δὲ ἔτη τρία, ὡς καὶ ὁ ἱερὸς Ἱπ-* C *πόλυτος. τοῦ δὲ κόσμου ἦν ἔτος ,δωϞε'.*

*Τούτου, φησὶ, τῷ τρίτῳ ἔτει γέγονεν ἡ πρώτη μετοικεσία ὑπὸ Ναβουχοδονόσωρ μεταστήσαντος αὐτὸν εἰς Βαβυλῶνα καὶ ι' χιλιάδας ἀνδρῶν, ἐν οἷς καὶ τὸν Δανιὴλ καὶ τοὺς τρεῖς παῖδας συναπενεχθῆναί φησι. τοῦτον λέγει εἶναι τὸν ἄνδρα Σωσάννης Ἰωακείμ.*

1. λέγειν B. 2. τοῦ δὲ] τὸν δὲ G. 3. σαλαθαὴλ A bis. 4. σωτῆρος] πατρὸς G. κατάγεσθαι B. καταγενέσθαι G. 7. βδελυκτοῦ] Legebatur βδελυκτόν. 8. ἐπειδὴ] ἐπειδὰν G. 9. τοῦ πρώτου G. 11. αὐτοῦ τὸν] αὐτοῦ τοῦ G. 12. υἱὸν εἶναι B. εἶναι υἱὸν G. 14. ὁ καὶ ἰωαχεὶμ AB. ὁ καὶ Ἰωακεὶμ G. 21. Ἰωαχεὶμ G.

fratrem asserunt, et merito. Ex eis porro Iechoniam, cuius divinus evangelista Matthaeus meminit, natum dicit, cuius filium ait Salathiel; ex Salathiel, Zorobabel ortum; quocirca patris progeniem, ex sacerdotali simul et regia stirpe, ad Ioseph usque Iustum et ad sanctam et deiparam virginem, apud eum esse deductam constat. Salathiel autem ab Sedecia, quem Iechoniam pariter vocat, natum haud censet, quod exosus deo fuerit; et iure sane. At quoniam quatuor generationum tempus annis sexaginta et octo expenditur, a primo Nabuchodonosor ad primum Cyri annum, quo, Zorobabel, libertate post captivitatem reparata, reducibus se praebuit ducem; ea potius de causa Iechoniae Sosannaeque filium suspicantur Salathiel, ut reditus tempore Zorobabel 20, circiter aetatis annum attigisse demonstrent.

Iuda rex 19 Iechonias, qui et Ioachim, filius Ioacim, mensibus tribus, vel ut nonnullis, inter quos est sacer Hippolytus, placuit, annis 3, mundi vero 4895.

Huius, ait ille, tertio anno facta est prima in Babylonem transportatio, rege Nabuchodonosor cum decem millibus hominum, in quibus Danielem et tres pueros servitutis socios migrasse tenet, eum transferente. Sosannae coniugem celebrem illum Ioachim esse existimat.

Τοῦ Ἰούδα κʹ ἐβασίλευσε Σεδεκίας ἔτη ιαʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δωϞϛʹ.

Ἀφρικανὸς ἀπὸ τοῦ πρώτου ἔτους Σεδεκίου τὰ οʹ ἔτη τῆς αἰχμαλωσίας ἀριθμεῖ.

Τῷ εʹ ἔτει Σεδεκίου, κόσμου δὲ ͵δϡʹ, ἤρξατο προφητεύειν D ὁ μέγας προφήτης Ἰεζεκιήλ. τῷ δ' αὐτῷ ἔτει τῆς αἰχμαλωσίας Ἰωακεὶμ Σεδεκίας τοῖς ἐν Βαβυλῶνι αἰχμαλώτοις ἐδήλωσεν ὅτι μετὰ οʹ ἔτη ἀναζεύξουσιν ἐκ Βαβυλῶνος κατὰ τὴν Ἱερεμίου προφητείαν.

Ἀνανίας ψευδοπροφήτης ἀνθιστάμενος Ἱερεμίᾳ θνήσκει, καθ' ὃν χρόνον Ἰεζεκιὴλ προφητεύει ἐν Βαβυλῶνι.

Ἐν Ἱερουσαλὴμ ἐγένοντο δούλων ἐλευθερίαι.

Τοὺς υἱοὺς Ἰωναδὰβ υἱοῦ Ῥηχὰβ εἰσελθόντας ἐπὶ τῆς Σεδεκίου πολιορκίας εἰς Ἱερουσαλὴμ ὁρῶν Ἱερεμίας μὴ πίνοντας οἶνον μηδὲ ὑπὸ στέγην οἰκοῦντας, διὰ τὴν τοῦ πατρὸς ἐντολήν, τοὺς P. 220 Ἰουδαίους ὠνείδιζεν ἀπειθοῦντας τῷ θεῷ, καὶ μηδὲ κἂν ὡς οὗτοι τῷ πατρὶ πειθομένους τῷ κτίσαντι.

Ἱερεμίας ὁ προφήτης ἐξελθὼν εἰς πόλιν Βενιαμὶν ὠνήσασθαι ἀγρὸν συνελήφθη ὑπό τινος Ἱερούα, τῷ Σεδεκίᾳ τε παρεδόθη καὶ εἰς τὴν φυλακὴν καθείρχθη. ἔνθα προφητεύων τὰ τῇ πόλει

3. τὰ οʹ ἔτη B. τῷ οʹ ἔτει A. τῷ οʹ G, omisso ἔτη. 4. ἀριθμεῖ hoc loco B. Legebatur ante τῆς. 7. Σεδεκίας addidi ex B. τοῖς αἰχμαλώτοις ἐν Βαβυλῶνι G. Transposui auctore B. 8. μετὰ addidi ex p. 223. c. 10. ἱερεμίᾳ B. Ἱερεμίου G. 13. ἰωναδὰβ υἱοῦ ῥηχὰβ B. Ἰωναδὰμ υἱοῦ Ῥηχὰμ G. 16. ὀνειδίζει G. κἂν ὡς] καλῶς G. 17. κτήσαντι G. 18. βενιαμεὶν B. ὠνήσεσθαι G. 19. παρεδώθη B.

Iuda rex 20 Sedecias annis 11, mundi vero 4896.

A Sedeciae anno primo septuaginta captivitatis annos Africanus numerare exorditur.

Sedeciae anno quinto, mundi vero 4900, magnus propheta Ezeciel futuris praenunciandis principium dedit. Eodemque Ioacim captivitatis anno, reliquis ea calamitate pressis in Babylonia, reditum ex illius angustiae loco, iuxta Hieremiae alterum vaticinium, Sedecias praedixit.

Ananias propheta fallax Hieremiae adversarius vitam efflat, quo tempore Ezeciel Babylone futura revelat.

Servi in Hierusalem libertate donati.

Ionadam filii Recham nepotes in Hierusalem ad Sedeciae obsidionis tempore auxilium ingressos prospiciens Hieremias vini potu abstinentes vel ob paterni mandati reverentiam a domibus longe habitantes, Iudaeos in deum contumaces, nec patri ad eorum instar obsequentes, coarguit.

Hieremias propheta egressus in civitatem sortis Beniamin agrum empturus, ab Ierua quodam tentus, Sedeciae traditur et in carcerem mittitur, in quo, cum civitati tum genti Iudaicae praenuncians eventuras ca

καὶ τῷ ἔθνει συμβησόμενα εἰς λάκκον ἐνεβλήθη. τοῦτον ὁ Αἰ-
V. 176 θίοψ Ἀβδεμέλεχ οἰκεῖος Σεδεκίου ἀνείλατο τοῦ λάκκου, δυσωπήσας τὸν βασιλέα. τούτῳ προσαχθεὶς ὁ Σεδεκίας καί τινα μαθὼν παρ' αὐτοῦ πρὸς σωτηρίαν οὐχ ὑπήκουσεν. ἦν δὲ φυλαττόμενος ἐν τῇ αὐλῇ ἕως ὅτε ἡ πόλις ἥλω.

B

## Χαλδαίων βασιλεῖς.

Χαλδαίων ιζ' ἐβασίλευσε Ναβουχοδονόσωρ ἔτη μγ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δωπη'.

Ἄξιον δὲ περὶ τοῦ Ναβουχοδονόσωρ ὀλίγα παραθέσθαι καὶ τοῦ πατρὸς αὐτοῦ ἐκ τῶν Βηρώσσου λέγοντος οὕτως· ἀκούσας δὲ ὁ πατὴρ αὐτοῦ Ναβοπαλάσαρος ὅτι τεταγμένος σατράπης ἔν τε Αἰγύπτῳ καὶ τοῖς περὶ Συρίαν τὴν κοίλην καὶ τὴν Φοινίκην τόποις
C ἀποστάτης γέγονε, οὐ δυνάμενος αὐτὸς ἔτι κακοπαθεῖν συστήσας τῷ υἱῷ Ναβουκοδροσόρῳ μέρη τινὰ τῆς δυνάμεως ἐξέπεμψεν ἐπ' αὐτόν. συμμίξας δὲ Ναβουκοδρόσορος τῷ ἀποστάτῃ καὶ παραταξάμενος αὐτοῦ τε κρατεῖ καὶ τὴν χώραν ἐξ ἀρχῆς ὑπὸ τὴν αὐτοῦ βασιλείαν ἐποιήσατο. τῷ τε πατρὶ αὐτοῦ συνέβη Ναβοπαλασάρῳ ἀρρωστήσαντι μεταλλάξαι τὸν βίον βασιλεύσαντι ἔτη κα'. αἰσθόμενος δὲ μετ' οὐ πολὺν χρόνον τὴν τοῦ πατρὸς τελευτὴν

1. αἰθίωψ B. 3. τούτῳ] τοῦτον G. 5. ὅτε] Legebatur ὅταν. 7. κγ'] μγ' m. 10. βηρώσσου AB. Βηρωσσοῦ G. Excerpta autem haec sunt ex Euseb. I, 11. p. 30. οὕτω A. 11. ἔν τε] ἐν τῇ G. 13. δυνάμενος] δυνόμενος AB. 14. Ναβουκοδροσόρῳ] ναβοκοδροσόρῳ AB. Ναβουχοδονοσόρῳ G. Nabucodrossorus apud Eusebium scribitur. 15. αὐτόν] αὐτῶν G. ναβουκοδρόσορος A. ναβοχοδρόσορος B. Ναβουχοδονόσορος G. 16. αὐτοῦ] Legebatur αὐτῶν. Correctum ex Iosepho Antiq. X, 11. vol. I. p. 537.

lamitates, in cisternam coniicitur. Aethiops Abdemelech Sedeciae domesticus eruit e cisterna Hieremiam, eiusque salutem a rege deprecatur. Advocat prophetam Sedecias et de rebus commune bonum spectantibus edoctus, assentiri detrectat. Propheta detinetur in aula vinctus usque ad urbis excidium.

## Chaldaeorum reges.

Chaldaeorum rex 17 Nabuchodonosor annis 43, mundi vero 4888.

Nonnulla de Nabuchodonosor et eius patre ex Beroso, hic inserere proposito nulla tenus alienum est. Haec ille scribit. Cognita rebellione satrapae, qui in Aegypto locisque ad Coelesyriam et Phoenicen positis, quorum praefecturam gerebat, res novas moliebatur, Nabuchodonosori pater Nabopalasarus mala istiusmodi non ferenda ratus, coactam virium partem filio commendat et in desertorem mittit. Instructa igitur acie collatisque cum eo signis superior Nabuchodonosorus evadit, liberatamque provinciam, quemadmodum prius suo restituit imperio. Eo tempore patri Nabopalasaro graviori morbo correpto annis 21 sceptra moderato excessus e vita contigit. Mora modica interiecta patris mortem percepit Nabucho-

Ναβουχοδρόσορος, καταστήσας τὰ κατὰ τὴν Αἴγυπτον πράγματα καὶ τὴν λοιπὴν χώραν, καὶ τοὺς αἰχμαλώτους Ἰουδαίων τε καὶ Φοινίκων καὶ Σύρων τῶν κατὰ τὴν Αἴγυπτον ἐθνῶν συντάξας D τισὶ τῶν φίλων μετὰ τῆς βαρυτάτης δυνάμεως καὶ τῆς λοιπῆς ὠφελείας ἀνακομίζειν εἰς τὴν Βαβυλωνίαν, αὐτὸς ὁρμήσας ὀλιγοστὸς παρεγένετο διὰ τῆς ἐρήμου εἰς Βαβυλῶνα. καταλαβὼν δὲ τὰ πράγματα διοικούμενα ὑπὸ Χαλδαίων καὶ διατηρουμένην τὴν βασιλείαν ὑπὸ τοῦ βελτίστου αὐτῶν, κυριεύσας ὁλοκλήρου τῆς πατρικῆς ἀρχῆς, τοῖς αἰχμαλώτοις ἔταξε τὰς κατοικίας. αὐτὸς δὲ ὁ Ναβουχοδονόσωρ ἐκ τῶν λαφύρων τό τε Βήλου ἱερὸν καὶ τὰ λοιπὰ φιλοτίμως κοσμήσας, τήν τε ὑπάρχουσαν ἐξ ἀρχῆς πόλιν καὶ ἑτέραν ἔξωθεν προσκαταχαρισάμενος καὶ ἀνακαινίσας πρὸς τὸ μηκέτι δύνασθαι τοὺς πολιορκοῦντας τὸν ποταμὸν ἀναστρέ- P. 221 φοντας ἐπὶ τὴν πόλιν κατασκευάζειν, ὑπερεβάλλετο τρεῖς μὲν τῆς ἔνδον πόλεως περιβόλους, τρεῖς δὲ τῆς ἔξω. τούτων δὲ τοὺς μὲν ἐξ ὀπτῆς πλίνθου καὶ ἀσφάλτου, τοὺς δὲ ἐξ αὐτῆς τῆς πλίνθου. καὶ τειχίσας ἀξιολόγως τὴν πόλιν καὶ τοὺς πυλῶνας κοσμήσας ἱεροπρεπῶς προκατεσκεύασε τοῖς πατρικοῖς βασιλείοις ἕτερα βασίλεια ἐχόμενα ἐκείνων, ὑπὲρ ὧν τὸ μὲν ἀνάστημα καὶ τὴν λοιπὴν πολυτέλειαν μακρὸν ἴσως ἔσται ἐάν τις ἐξηγῆται, πλὴν ὄντα ὑπερ-

1. Ναβουχοδονόσορος G. 5. ὁρμίσας A. 8. ὁλοκλήρου B. ὁλοκλήρως G. 9. τὴν κατοικίαν G. 11. κοσμήσας B. κοσμίσας G. 12. προσκαταχαρησάμενος B. προσκαταχρησάμενος A. προκαταχρησάμενος G. ἀνακαινίσας ex Iosepho dedi. Legebatur ἀναγκάσας. 14. περιεβάλετο Iosephus. 17. τειχήσας B. 18. προκατεσκεύασεν AB. κατεσκεύασεν G. Correctum ex Iosepho. 20. μακρὸν B. μικρὸν G.

donosorus, rebusque per Aegyptum et alias regiones ad mentem constitutis, captivisque Iudaeis, Phoenicibus et Syris, earum quae ad Aegyptum sunt nationum, valida militum manu reliquoque commeatu stipatis et in Babyloniam deducendis, fideli cuique amico commendatis, ipse, paucis secum viae comitibus assumptis, per desertum Babylonem repetit. Redux in patriam res a Chaldaeis feliciter administratas reperit, et a viro inter eos integerrimo servatum sibi regnum; mox paternum imperium omni ex parte assequutus, captivis habitandas provincias assignat. Ipse Nabuchodonosor nominis ac famae studiosus Beli templum et publica quaeque opera victorum spoliis ornat et auget; fundatam olim a principio reparat urbem, novam extra prioris ambitum exstruere molitur, ac ne aquis sursum revocatis in urbis perniciem, si forte obsideretur, flumine hostes uterentur, eam a fundamentis erigit; et ternos intimae, ternosque pariter extimae civitati murorum ambitus circumposuit; et eorum quidem aliquos ex coctis lateribus et bitumine, alios solis lateribus compegit. Iam vero civitate suis moenibus circumvallata, portisque sacro decentique more adornatis, paternae regiae novam aliam adiungere aggreditur, cuius amplitudine et varietate forsan inferior erit omnis quantumcunque elaborata descriptio, verum ampla quamvis fuerit et lapidum congerie tumens ac superba, diebus

βολῇ μεγάλα καὶ ὑπερήφανα, συνετελέσθη ἡμέραις ιε'. ἐν δὲ τοῖς βασιλείοις τούτοις ἀναλήμματα λίθινα ὑψηλὰ ἀνοικοδομήσας B καὶ τὴν ὄψιν ἀποδοὺς ὁμοιοτάτην τοῖς ὄρεσι, καταφυτεύσας δένδρεσι παντοδαποῖς, ἐξειργάσατο· καὶ κατεσκεύασε τὸν καλούμενον κρεμαστὸν παράδεισον, διὰ τὸ τὴν γυναῖκα αὐτοῦ ἐπιθυμεῖν τῆς ὀρείας διαθέσεως, τεθραμμένην ἐν τοῖς κατὰ Μήδειαν τόποις. ταῦτα ὁ Βήρωσσος ἱστορεῖ περὶ τοῦ Ναβουχοδονόσωρ καὶ ἕτερα πλεῖστα ἐν τρίτῃ τῶν Χαλδαϊκῶν βίβλῳ, μεμφόμενος τοῖς ψευδῶς γράψασιν Ἑλλήνων ἱστορικοῖς ὑπὸ τῆς Ἀσσυρίας Σεμιράμεως κτισθῆναι Βαβυλῶνα καὶ τὰ κατ' αὐτὴν θαυμάσια.

V. 177 Τὸν Φαραὼ Νεχαὼ Ναβουχοδονόσωρ δευτέρῳ ἔτει τῆς βασιλείας αὐτοῦ ἀνεῖλε κατὰ τὸν Εὐφράτην ἐπὶ μάχῃ κρατερᾷ, ε' ἔτει C Ἰωακεὶμ ἀρχομένῳ, καὶ ἐλθὼν ἐπὶ Ἰωακεὶμ καὶ τὴν Ἰουδαίαν κατεδουλώσατο τὸν Ἰωακεὶμ γ' ἔτη, ὥς φησιν ἡ δ' τῶν βασιλειῶν καὶ ἡ β' τῶν Παραλειπομένων. καὶ μετὰ τρία ἔτη ἠθέτησεν αὐτῷ, καὶ ἀπέστειλε κύριος αὐτῷ τοὺς μονοζώνους τῶν Χαλδαίων καὶ τοὺς μονοζώνους Συρίας καὶ Μωὰβ καὶ υἱῶν Ἀμμών, καὶ κατίσχυσαν ἐν γῇ Ἰούδα κατὰ τὸν λόγον κυρίου ὃν ἐλάλησεν ἐν χειρὶ δούλων αὐτοῦ τῶν προφητῶν. ταῦτα παρ' αὐτοῖς προφη-

2. Vulgo ἀναλήματα. 4. ἐξεργάσατο B. κατεσκεύασεν B. κατεσκευάσας A. κατασκευάσας G. 5. κρεμμαστὸν παρὰ θειᾶς A. 6. ὀρείας] Vulgo ὀρίας. Correctum ex Iosepho c. Apion. I, 19. vol. II. p. 451. Μήδειαν] Μηδίαν et hic corrigendum et ubicunque vel hoc modo vel Μηδείαν scriptum legitur. 7. Βήρωσσος] Vulgo Βηρωσσός. 12. ἔτει] ἔτη A. 14. ἔτη] ἔτει G. ἡ δ'] Cap. 24. 15. ἡ β'] Cap. 36. 17. μωὰβ B. Μωὰμ G. 18. κατίσχυσαν B. κατίσχυσεν G. ἐν τῇ χειρὶ τῶν δούλων G.

tamen solis quindecim absoluta est et perfecta. Regia in illa moles e lapidibus exstruxit excelsas, easdemque variis arboribus consitas, speciem montibus quam simillimam referre excogitavit. Hinc horti nuncupati pensiles, quibus uxorem in Media educatam et iucundo agrorum ac nemorum situ delectari solitam sibi conciliabat. Haec Berosus et alia pleraque de Nabuchodonosor tertio Chaldaicarum antiquitatum libro narrat, mendacii insimulans historicos Graecorum scriptores, qui Babylonem ab Assyria Semiramide constructam referunt, eamque miranda quaeque illius opera edidisse temere pronunciant.

Nabuchodonosor imperii sui anno secundo cruento cum Pharaone Nechao inito conflictu superior evasit et eum occidit ad Euphratem, ineunte Ioacim regnantis anno quinto. Tum armis in Ioacim et Iudaeam versis, Ioacim captum abduxit anno regni sui tertio, ut quartus Regnorum et secundus Paralipomenon libri testantur. Tum annis tribus exactis defecit a Nabuchodonosor. Dominus autem auxiliarios ad eum misit expeditos Chaldaeorum et expeditos Syriae et Moab et filiorum Ammon; et praevaluit in terram Iuda iuxta verbum domini, quod locutus est in manu servorum suorum prophetarum. Haec eodem tempore Urias Ammaei filius (quem fugien-

τεύων κατὰ τοὺς χρόνους τούτους Οὐρίας υἱὸς Ἀμμαίου, ὃν φυγόντα εἰς Αἴγυπτον ἀγαγὼν ὁ Ἰωακεὶμ ἀνεῖλε, καὶ Ἱερεμίας ἀρξάμενος καὶ αὐτὸς, ὡς προδεδήλωται, τῆς προφητείας ἀπὸ τοῦ ιγ' ἔτους Ἰωσίου. D

Τὸν Ναβουχοδονόσωρ ὁ Μεγασθένης ἐν τῇ δ' τῶν Ἰνδικῶν Ἡρακλέους ἀλκιμώτερον ἀποφαίνει, ὃς ἀνδρείᾳ μεγάλῃ Λιβύης τὸ πλεῖστον καὶ Ἰβηρίας κατεστρέψατο. συμφωνεῖ δὲ αὐτῷ καὶ Φιλόστρατος ἐν ταῖς ἱστορίαις, ἔνθα καὶ περὶ τῆς Τύρου πολιορκίας καὶ τῶν Φοινίκων πάλαι, αἵτινες ἱστορίαι φέρονται περὶ τοῦ Ναβουχοδονόσωρ, ὅτι Συρίαν καὶ Αἴγυπτον καὶ πᾶσαν τὴν Φοινίκην κατεστρέψατο πολέμοις.

Ναβουχοδονόσωρ τὸν Ἰωακεὶμ χειρωσάμενος ια' ἔτει τῆς βασιλείας αὐτοῦ ἀρχομένῳ σὺν πολλοῖς τῶν Ἰουδαίων καὶ τῶν ἱερῶν P. 222 σκευῶν αἰχμάλωτον εἰς Βαβυλῶνα ἀπήγαγε, δήσας αὐτὸν πέδαις χαλκαῖς, ὡς ἐν τῷ δευτέρῳ τῶν Παραλειπομένων γέγραπται. τὸν δὲ Ἰωαχεὶμ υἱὸν αὐτοῦ, τὸν καὶ Ἰεχονίαν, παῖδα ὀκταέτη καταστήσας βασιλέα ὑπόφορον μετὰ τρεῖς μῆνας καὶ δέκα ἡμέρας, πάλιν ἐπελθὼν τῇ Ἰουδαίᾳ κατὰ τὸ αὐτὸ ἔτος ἐπολιόρκησε τὴν Ἱερουσαλήμ· πρὸς ὃν ἐξῆλθεν Ἰωαχεὶμ καὶ οἱ παῖδες αὐτοῦ καὶ ἡ μήτηρ αὐτοῦ σὺν αὐτῷ καὶ οἱ ἄρχοντες καὶ οἱ εὐνοῦχοι αὐτοῦ. καὶ ἔλαβεν αὐτοὺς βασιλεὺς Βαβυλῶνος ἐν ἔτει η' τῆς βασιλείας αὐτοῦ, καὶ εἰσῆλθεν εἰς τὴν πόλιν καὶ ἐξήνεγκε πάντας

1. ἀμαίου B. 3. προδεδήλωται] P. 217 b. 4. ιγ' B. τρίτον G. 6. ἀλκημότερον B. 7. τὸ πλεῖστον B. τῷ πλείστῳ G. 12. χειρησάμενος B. ἔτει] ἔτη A. 15. τῶν om. B. 20. καὶ οἱ εὐνοῦχοι] καὶ οἱ addidi ex B. οἱ habet etiam A. Vide Reg. IV. 24, 12.

tem in Aegyptum ac inde revocatum interfecit Ioacim) et Hieremias pariter vaticiniis, ut manifestum est superius, a tertio Iosiae anno dato initio, praedixerant.

Nabuchodonosor Hercule, (quamvis Libyae et Iberiae plurimam partem vastaverit), validiorem demonstrat Megasthenes rerum Indicarum quarto. Concordi voce loquitur Philostratus in historiis, ubi de Tyriorum obsidione et de antiquorum Phoenicum excidio tractat; illae siquidem de Nabuchodonosor et de illius in Syriam, Aegyptum et Phoenicem bellis ac victoriis narrationes instituerunt.

Nabuchodonosor Ioacim regni sui 11 ineunte bello cepit, et cum Iudaeorum plurimis ac sacris vasis et aereis compedibus vinctum Babylonem transportavit, ut in Paralipomenon 2 scriptum legimus. Ioachim vero filium eius, alio nomine Iechoniam nuncupatum, puerum octennem tributo pendendo subiectum, regem constituit ac post tres menses et dies decem recrudescente in Iudaeam bello, Hierusalem obsidione coegit ad deditionem. Ad eum exivit Ioachim et filii eius et mater eius cum eo et proceres eunuchi eius. Et accepit eos rex Babylonis octavo regni sui anno et ingressus ci-

B τοὺς θησαυροὺς οἴκου κυρίου καὶ τοὺς θησαυροὺς οἴκου τοῦ βασιλέως, καὶ συνέκοψε πάντα τὰ σκεύη τὰ χρυσᾶ, ἃ ἐποίησε Σαλομὼν βασιλεὺς Ἰσραὴλ ἐν τῷ ναῷ κυρίου κατὰ τὸ ῥῆμα κυρίου· καὶ ἀπῴκισε πᾶσαν τὴν Ἱερουσαλὴμ, καὶ πάντας τοὺς ἄρχοντας καὶ τοὺς δυνατοὺς ἰσχύϊ αἰχμαλωσίᾳ καὶ δέκα χιλιάδας αἰχμαλωτίσας, καὶ πάντα τὰ τέκνα καὶ τὸν συγκλείοντα, καὶ οὐχ ὑπελείφθη πλὴν οἱ πτωχοὶ τῆς γῆς. καὶ ἀπῴκισε τὸν Ἰωαχεὶμ εἰς Βαβυλῶνα καὶ τὴν μητέρα καὶ τὰς γυναῖκας τοῦ βασιλέως καὶ τοὺς εὐνούχους καὶ τοὺς ἰσχυροὺς τῆς γῆς ἀπήγαγεν αἰχμαλωσίας ἀποικεσίαν ἐξ Ἱερουσαλὴμ εἰς Βαβυλῶνα, καὶ πάντας τοὺς ἄνδρας
C τῆς δυνάμεως, ἄνδρας ἰσχύος, ποιοῦντας πόλεμον, ͵ζ, καὶ τὸν τέκτονα καὶ τὸν συγκλείοντα, χιλίους, πάντες δυνατοὶ ποιοῦντες πόλεμον. καὶ ἤγαγεν αὐτοὺς βασιλεὺς Βαβυλῶνος μετοικεσίαν εἰς Βαβυλῶνα, καὶ ἐβασίλευσε βασιλεὺς Βαβυλῶνος τὸν Ματθίαν υἱὸν αὐτοῦ ἀντ' αὐτοῦ. καὶ ἐπέθηκε τὸ ὄνομα αὐτοῦ Σεδεκίαν. υἱὸς κ' ἐτῶν Σεδεκίας ἐν τῷ βασιλεύειν αὐτὸν, καὶ ια' ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ.

Ταῦτα πρὸς λέξιν ἐν τῇ δ' τῶν βασιλειῶν γεγραμμένα παρεθέμην, ὥστε εἰδέναι τοὺς ἐντυγχάνοντας διαφόρους αἰχμαλωσίας τοῦ Ἑβραίων γένους γεγενῆσθαι, καὶ διὰ τοῦτο τὰς τῶν προφητῶν προῤῥήσεις μὴ καθ' ἕνα τρόπον ἢ χρόνον νοεῖσθαι εἰρηκό-
D των, ἔτη ἑβδομήκοντα διαρκέσει τὸ ἔθνος ἐπὶ τῆς Βαβυλωνίας

2. σαλομῶν B. Σολομὼν G. 3. ναῷ τοῦ κυρίου G. 4 et 7. Vulgo ἀπῴκησεν. 5. καὶ τοὺς addidi ex B. αἰχμαλωτήσας B. αἰχμαλωτίσιν A. ἠχμαλώτισεν G. 14. Ματθίαν] Vide Reg. IV. 24, 17. 16. Σεδεκίας om. B. 18. ταῦτα B. ταύτῃ G.

vitatem, abstulit omnes thesauros domus domini et thesauros domus regiae et cuncta vasa aurea, quae Salomon rex Israël in templo domini iuxta verbum domini fecerat, comminuit. Et transtulit omnem Hierusalem, principes omnes et potentes fortitudine in captivitatem et decem millia misit in servitutem, et omnes pueros et inclusorem, nec ullus remansit, nisi e mendicorum grege. Et transtulit Ioachim in Babylonem et matrem et uxores regis et eunuchos eius et fortes terrae abduxit in captivitatis transmigrationem ex Hierusalem in Babylonem; et omnes viros virtutis, viros robore praestantes, bello idoneos, septem millia, et fabrum et inclusorem, mille numero; hi cuncti robusti erant et militiae periti. Et transtulit illos rex Babylonis transmigrationem in Babylonem. Et regem fecit rex Babylonis Matthaniam filium eius pro eo et imposuit ei nomen Sedeciam. Filius annorum 20 erat Sedecias cum regnum collegit et undecim annis regnavit in Hierusalem.

Haec ad verbum ex 4 Reg. in medium protuli, quo percipiant lectores gentis Hebraeorum varias extitisse captivitates; ac idcirco prophetarum vaticinia non uno modo vel tempore complenda, ubi pronunciant; septuaginta annis permanebit populus in Babylone captivus. Quorum porro diver-

αἰχμάλωτον· ὧν δὲ ἡ ἀρχὴ διάφορος, τούτων καὶ τὸ τέλος διάφορον. ὅθεν κατὰ μὲν τοῦ Ἔσδρα τὴν γραφὴν τῷ πρώτῳ ἔτει Κύρου ὁ ἑβδομηκονταετὴς χρόνος ἐπληρώθη ἀρξάμενος ἀπὸ τοῦ δ' ἔτους Ἰωακεὶμ, ἡνίκα καὶ ἀπόφασις τοῦ θεοῦ ἐξῆλθε διὰ στόματος Ἱερεμίου· κατὰ δὲ τὴν προφητείαν Ζαχαρίου τοῦ προφήτου βοῶντος μετὰ ἔτη μβ', κύριε ἕως τίνος οὐ μὴ ἐλεήσῃς τὴν Ἱερουσαλὴμ καὶ τὰς πόλεις Ἰούδα, ἃς ὑπερεῖδες; τοῦτο ἑβδομηκοστὸν ἔτος. ἄλλοθέν ποθεν ὁ αὐτὸς οὗτος ἑβδομηκονταετὴς χρόνος ἕξει τὴν ἀρχήν. οὗτος δὲ ἀπὸ τῆς τελευτῆς Ναβουχοδονόσωρ εὑρίσκεται λαμβανόμενος ἐπὶ τὴν τελείαν οἰκοδομὴν τοῦ ναοῦ, ἥτις ἀρξαμένη μὲν τὸ πρῶτον ἀπὸ τοῦ α' ἔτους Κύρου ἐπαύθη ὑπὸ τοῦ αὐτοῦ Κύρου μόνων τῶν θεμελίων ὑπερβληθέντων, μέχρις ἔτους δευτέρου Δαρείου τοῦ Ὑστάσπου. τῷ δὲ δευτέρῳ ἔτει τοῦ αὐτοῦ Δαρείου τελείας ἀφέσεως δοθείσης τῷ ἔθνει καὶ τῇ ἀνοικοδομῇ τοῦ ναοῦ, τῷ ϛ' ἔτει Δαρείου ἐτελειώθη τὸ ἔργον, ὡς ἐφεξῆς δειχθήσεται ἐκ τῆς ἱερᾶς τοῦ Ἔσδρα γραφῆς. εἰσὶν οὖν τὰ ἀπὸ τοῦ δ' ἔτους Ἰωακεὶμ ἕως πρώτου ἔτους Κύρου ο' ἔτη τῆς τοῦ Ἰούδα αἰχμαλωσίας ταῦτα. Ἰωακεὶμ ἀπὸ τοῦ δ' ἔτους ἕως ια' ἔτη η'. Σεδεκίου ἔτη ια'. Ναβουχοδονόσωρ ἔτη κε'. Εὐειλὰδ Μαροδὰχ ἔτη ε'. Νιριγλησάρου τοῦ καὶ Βαλτάσαρ ἔτη γ'. Δαρείου Ἀστυάγους ἔτη ιζ'. Κύρου α'. ὁμοῦ ο'. τὰ δὲ ἀπὸ τῆς

V. 178 P. 223

6. ἐλεήσεις B. Vide Zachar. I, 12. 7. ὑπερίδες B. 9. τῆς τοῦ G. 10. οἰκοδομεῖν B. 11. μὲν om. G. 12. ὑπὸ B. ἀπὸ G. 15. ἀνοικοδομεῖ B. 16. λεχθήσεται G. 19. εὐειλὰδ A. Εὐιλὰδ G. 20. Μαρωδὰχ G. νιριγλισάρου AB.

sum principium, varium quoque finem esse necessum est. Quocirca annorum septuaginta decursus ab Ioacim quarto, ita deo Hieremiae verbis ferente sententiam exordium sumens, anno Cyri primo, iuxta Esdrae fidem nostram sibi conciliantis testimonium finitus dignoscitur. Zacharia tamen oppositam in partem assensum trahente et retro annos duos et quadraginta vociferante: domine, quousque non misereberis Hierusalem et urbium Iuda, quas despexisti; iste annus septuagesimus est. Sane septuagenum hocce spatium aliud exordium sortiri detegitur, ac nonnunquam ab ipsius Nabuchodonosor obitu numerari, ut circa templi restaurationem absolutam terminum aptius consequatur. Et illa quidem anno Cyri primo coepta est, cum ipsius Cyri mandato, positis duntaxat fundamentis, ad secundum Darii Hystaspis filii suspensa non processit ulterius; secundo postmodum eiusdem Darii anno, libera facultate, genti templique operae concessa, sexto Darii anno tota moles ultima manu fuit absoluta, ut in sequuturis ex sacris Esdrae monumentis declarandum. Numerantur itaque ab Ioacim anno 4 ad primum Cyri captivitatis Iuda anni 70, hoc pacto. Ab Ioacim anno quarto ad undecimum anni 8, Sedeciae anni 11, Nabuchodonosor anni 25, Evilad Merodach anni 5, Niriglesari, qui et Baltasar, anni 3, Darii Astyagis anni 17, Cyri unus: summa 70. Qui vero a Nabuchodonosor obitu ad

B τελευτῆς Ναβουχοδονόσωρ ἐπὶ τὴν τελείαν οἰκοδομὴν τοῦ ναοῦ καὶ τοὺς χρηματισμοὺς Ζαχαρίου τοῦ προφήτου πάλιν ο' ἔτη συναριθμεῖται οὕτως· Εὐειλὰδ Μαροδὰχ ἔτη ε'. Νιριγλήσαρος ἔτη γ'. Δαρεῖος Ἀστυάγης ἔτη ιζ'. Κῦρος λα'. Καμβύσης η'. Δαρεῖος Ὑστάσπου ς'. ἐτελειώθη ὁμοῦ ο'. ἐκ ταύτης τῆς αἰχμαλωσίας ἦν Δανιὴλ ἅμα τοῖς σὺν αὐτῷ Ἀνανίᾳ, Ἀζαρίᾳ, Μιζαήλ. οὗτος ὁ Δανιὴλ παιδευθεὶς τὴν παιδείαν εὐάρεστος ἐγένετο τῷ βασιλεῖ Ναβουχοδονόσωρ. ταῦτα καὶ ὁ Ἀφρικανὸς μαρτυρῶν, ὅτι ἐκ τῆς β' αἰχμαλωσίας Ἰούδα ἦν, ὅ τε Δανιὴλ καὶ οἱ τρεῖς παῖδες. Πανόδωρος δὲ καὶ ἕτεροι τῶν ἱστορικῶν ἐκ τῆς ἐν Σαμαρείᾳ ὑπὸ
C Σαλμανασὰρ αἰχμαλωσίας.

Τοῦ Ἰούδα κ' ἐβασίλευσε Σεδεκίας ἔτη ια'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δωϞς'.

Ἀφρικανὸς ἀπὸ τοῦ α' ἔτους Σεδεκίου τὰ ο' ἔτη τῆς αἰχμαλωσίας ἀριθμεῖ.

Τῷ ε' ἔτει Σεδεκίου, κόσμου δὲ ͵δϡ', ἤρξατο προφητεύειν ὁ μέγας προφήτης Ἰεζεκιήλ. τῷ δ' αὐτῷ ἔτει τῆς αἰχμαλωσίας Ἰωακεὶμ Σεδεκίας τοῖς ἐν Βαβυλῶνι αἰχμαλώτοις ἐδήλωσεν ὅτι
D μετὰ ο' ἔτη ἀναζεύξουσιν ἐκ Βαβυλῶνος κατὰ τὴν Ἱερεμίου προφητείαν.

Ἀνανίας ψευδοπροφήτης ἀνθιστάμενος Ἱερεμίᾳ θνήσκει, καθ' ὃν χρόνον Ἰεζεκιὴλ προφητεύει ἐν Βαβυλῶνι.

Ἐν Ἱερουσαλὴμ ἐγένοντο δούλων ἐλευθερίαι.

3. Εὐιλὰδ Μαρωδὰχ G. ἔτη ε' B. ἔτη om. G. Vulgo Νιριγλησάρου. νιριγλίσαρος B. 4. κῦρος AB. Κύρου G. Conf. p. 230 b. 10. ἐκ B. ἐν G. 14. ο' om. G.

ultimam templi structurae manum impositam et Zachariae prophetae vaticinia intercluduntur anni, hunc in modum colliguntur. Evilad Merodach anni 5, Niriglesari anni 3, Darii Astyagis anni 17, Cyri anni 31, Cambysis 8, Darii Hystaspis filii 6: summa est 70. Captivitate ista Daniel cum sociis Anania, Azaria et Mizael abductus est. Daniel omni scientiarum cultu exornatus regis Nabuchodonosor animum sibi conciliavit. Haec Africanus, secunda Iudae captivitate Danielem et socios pueros fuisse delatos testatus; Panodorus autem et alii historiarum scriptores Samariae servitute, cuius auctor fuit Salmanasar, deportatum contendunt.

Iuda rex 20 Sedecias annis 11, mundi vero 4896.

A Sedeciae anno primo captivitatis intervallum computat Africanus.

Quinto Sedeciae anno, mundi vero 4900 magnus propheta Ezeciel futurorum eventus coepit praedicere; eodemque Ioacim captivitatis anno Sedecias captivis Babylone detentis post annos 70 ex Babylone revocandos in patriam iuxta Hieremiae vaticinia manifestavit.

Ananias pseudopropheta Hieremiae adversarius interiit ea tempestate, qua Ezeciel Babylone prophetiae lumine claret.

Servorum manumissiones in Hierusalem factae.

*Τοὺς υἱοὺς Ἰωναδὰβ υἱοῦ Ῥηχὰβ εἰσελθόντας ἐπὶ τῆς Σεδεκίου πολιορκίας ὁρῶν Ἱερεμίας μὴ πίνοντας οἶνον μηδὲ ὑπὸ στέγην οἰκοῦντας, διὰ τὴν τοῦ πατρὸς ἐντολήν, τοὺς Ἰουδαίους ὠνείδιζεν ἀπειθοῦντας τῷ θεῷ, καὶ μηδὲ κἂν ὡς οὗτοι τῷ πατρὶ πειθομένους τῷ κτίσαντι.*

*Ἱερεμίας ὁ προφήτης ἐξελθὼν εἰς πόλιν Βενιαμὶν ὠνήσασθαι ἀγρὸν συνελήφθη ὑπό τινος Ἱερούα, τῷ Σεδεκίᾳ τε παρεδόθη καὶ εἰς τὴν φυλακὴν καθείρχθη. ἔνθα προφητεύων τὰ τῇ πόλει* P. 224
*καὶ τῷ ἔθνει συμβησόμενα εἰς λάκκον ἐνεβλήθη. τοῦτον ὁ* V. 179
*Αἰθίοψ Ἀβδεμέλεχ οἰκεῖος Σεδεκίου ἀνείλατο τοῦ λάκκου, δυσωπήσας τὸν βασιλέα. τούτῳ προσαχθεὶς Σεδεκίας καί τινα μαθὼν παρ' αὐτοῦ πρὸς σωτηρίαν οὐχ ὑπήκουσεν. ἦν δὲ φυλαττόμενος ἐν τῇ αὐλῇ ἕως ὅτε ἡ πόλις ἥλω.*

## *Τὰ τῆς τετάρτης τῶν βασιλειῶν περὶ τῆς τελείας αἰχμαλωσίας Σεδεκίου καὶ τῶν καταλειφθέντων ἐπὶ Ἰωακεὶμ* B *Ἰουδαίων καὶ ἱερῶν οἴκου κυρίου καὶ ἐρημώσεως Ἱερουσαλήμ.*

*Καὶ ἐγένετο ἐν τῷ ἔτει τῷ θ' τῆς βασιλείας Σεδεκίου, ἐν τῷ μηνὶ τῷ ι', ια' τοῦ μηνός, ἦλθε Ναβουχοδονόσωρ βασιλεὺς Βα-*

1. *ἰωναδὰβ* B. *Ιωναδὰμ* G. *Ῥηχὰβ* dedi ex p. 219 d. *ῥιχὰβ* B. *ῥιχὰμ* A. *Ρεχὰμ* G. 4. *καὶ μηδὲ κἂν*] *μηδὲ, καὶ* G. 5. Legebatur *πεποιθομένους*. Correxi ex p. 220 a. 6. *βενιαμεὶν* B. 7. *Ἱερούα*] *Ιερουὰ* G. *παρεδώθη* B. 10. *αἰθίωψ* B. *Σεδεκία* G. 13. *ὅτε*] Legebatur *ὅταν*. 16. *ἱερῶν σκευῶν* G. 18. *Καὶ*] Cap. 25. 19. *ὁ βασιλεὺς* G. *ὁ* om. B.

Filios Ionadam filii Recham obsidionis sub Sedecia tempore Hierusalem ingressos contemplatus Hieremias vino abstinere et a domibus procul habitare patris mandatum reveritos, Iudaeos in deum contumaces, neque horum more patri conditori obsequutos increpat.

Hieremias propheta egressus in urbem Beniamin, ut agrum emeret, a quodam Ierua portae custode detentus, Sedeciaeque traditus, carcere conclusus ibidemque civitati et genti eventura praenuncians, in cisternam missus est; quem subinde Abdemelech Aethiops Sedeciae domesticus rege precibus interpellato, e cisterna eripuit. Sedecias collatis cum eo sermonibus nonnulla, quae salutem spectarent, accepit monita, quibus nihilo secius parere detrectavit; Hieremias autem ad urbis usque ultimum excidium sub aulae custodia tenebatur.

## Excerpta ex Regum libro 4 de consummata captivitate, de Sedecia et relictis ab Ioacim tempore Iudaeis, de sacris domus domini vasis et de Hierusalem desolatione.

Et factum est in anno Sedeciae regis nono, in mense 10, die vero mensis 11, venit Nabuchodonosor rex Babylonis, ipse et virtus eius omnis

*βυλῶνος, αὐτὸς καὶ πᾶσα ἡ δύναμις αὐτοῦ εἰς Ἱερουσαλὴμ, καὶ παρενέβαλεν ἐπ' αὐτὴν, καὶ ᾠκοδόμησεν ἐπ' αὐτὴν περίτειχος κύκλῳ. καὶ ἦλθεν ἡ πόλις εἰς περιοχὴν ἕως τοῦ ια' ἔτους βασιλέως Σεδεκίου, θ' τοῦ μηνός. καὶ ἐνίσχυσεν ὁ λιμὸς ἐν τῇ πόλει καὶ* C *οὐκ ἦσαν ἄρτοι τῷ λαῷ τῆς γῆς. καὶ ἐῤῥάγη ἡ πόλις καὶ ἐξῆλθεν ὁ βασιλεὺς καὶ πάντες οἱ ἄνδρες τοῦ πολέμου νυκτὸς ἐξῆλθον ὁδὸν πύλης τῆς ἀνὰ μέσον δύο τειχέων, αὕτη ἐστὶ τοῦ κήπου τοῦ βασιλέως. καὶ οἱ Χαλδαῖοι ἐπὶ τὴν πόλιν κύκλῳ κατὰ δυσμὰς κατὰ Ἱεριχώ. καὶ ἐπορεύθησαν ὁδὸν τὴν Ἄραβα. καὶ ἐδίωξεν ἡ δύναμις τῶν Χαλδαίων ὀπίσω τοῦ βασιλέως καὶ κατέλαβον αὐτὸν ἐν τῇ ἐρήμῳ Ἱεριχώ. καὶ πᾶσα ἡ δύναμις αὐτοῦ διεσπάρη ἐπάνωθεν αὐτοῦ. καὶ συνέλαβον τὸν βασιλέα καὶ ἤγαγον αὐτὸν πρὸς βασιλέα Βαβυλῶνος εἰς Ὀβλαθὰ, καὶ ἐκρίθη πρὸς αὐτὸν λόγοις. καὶ τοὺς υἱοὺς Σεδεκίου ἔσφαξε κατ' ὀφθαλμοὺς αὐτοῦ, καὶ τοὺς* D *ὀφθαλμοὺς Σεδεκίου ἐξετύφλωσε, καὶ ἔδησεν αὐτὸν ἐν πέδαις. καὶ ἤγαγεν αὐτὸν εἰς Βαβυλῶνα. καὶ ἐν τῷ μηνὶ τῷ πέμπτῳ ἑβδόμῃ τοῦ μηνὸς αὐτὸς ἐνιαυτὸς ἐννεακαιδέκατος τοῦ Ναβουχοδονόσωρ ἦλθε Ναβουζαρδὰν ἀρχιμάγειρος ἑστὼς ἐνώπιον βασιλέως Βαβυλῶνος εἰς Ἱερουσαλὴμ, καὶ ἐνέπρησε τὸν οἶκον κυρίου καὶ τὸν οἶκον τοῦ βασιλέως καὶ πάντας τοὺς οἴκους Ἱερουσαλήμ. καὶ πάντα οἶκον ἐνέπρησεν ἐν πυρί. καὶ τὸ τεῖχος Ἱερουσαλὴμ κατέλυσε κύκλῳ ἡ δύναμις Χαλδαίων, ὁ ἀρχιμάγειρος.*

1. *πᾶσα ἡ* B. *ἡ πᾶσα* G. 2. *παρενέβαλεν* B. *παρέλαβεν* G. *περίτειχον* G. 3. *περιοχὴν κύκλῳ* G. *κύκλῳ* om. B. *βασιλείας* G. 4. *τοῦ μηνός*] *τοῦ* om. B. 5. *εἴσαν* B. 7. *ἀναμέσον* B. *ἀνὰ μέσων* G. 9 et 11. *Ἱεριχῶ* AB. 9. Vulgo *Ἀραβά*. 13. *Ῥεβλαθὰ* Reg. 17. *ὁ ἐνιαυτὸς* G. 18. *ἀρχημάγειρος* B. 21. *οἶκον* om. G. 22. *καὶ ὁ* m. *ὁ ἀρχιμάγειρος* om. Reg.

in Hierusalem. Et castra metatus est super eam et aedificavit super eam vallum in circuitu. Et cirumvallata est et clausa civitas per gyrum, ad annum undecimum regni Sedeciae, nona mensis. Et invaluit fames in civitate; et non erant panes populo terrae. Et scissa est civitas; et egressus est rex omnesque viri bellatores nocte pariter exierunt via portae inter duos muros exstructae, haec est regiorum hortorum porta; et Chaldaei civitatem per gyrum obsidebant ad occidentem versus Hiericho. Et profecti sunt via Araba. Et insecuta est virtus Chaldaeorum post regem et ceperunt eum ad desertum Hiericho; et omne robur eius dispersum est ab eo. Et ceperunt regem et duxerunt eum ad regem Babylonis in Reblatha; et locutus est iudicium cum eo. Et filios Sedeciae iugulavit ante oculos eius; et oculos Sedeciae excaecavit et ligavit eum compedibus et duxit eum in Babylonem. Et in mense quinto, die septima mensis, (ipse annus nonus et decimus Nabuchodonosor), venit Nabuzardan princeps coquorum stans coram rege Babylonis, in Hierusalem; et incendit domum domini et domum regis et omnem domum Hierusalem et omnia flammis consumpsit. Et murum Hierusalem in circuitu diruit virtus Chaldaeorum et princeps coquorum,

καὶ τὸ περισσὸν τοῦ λαοῦ τὸ καταλειφθὲν ἐν τῇ πόλει καὶ τοὺς ἐμπεπτωκότας, οἳ ηὐτομόλησαν πρὸς βασιλέα Βαβυλῶνος, καὶ τὸ λοιπὸν τοῦ στηρίγματος μετῆρες, καὶ ἀπὸ τῶν πτωχῶν τῆς γῆς ὑπέλιπεν εἰς ἀμπελουργοὺς καὶ εἰς γεωργούς. καὶ τοὺς στύλους τοὺς χαλκοῦς τοὺς ἐν οἴκῳ κυρίου καὶ τοὺς μεχωνὼθ καὶ τὴν θάλασσαν τὴν χαλκῆν τὴν ἐν οἴκῳ κυρίου συνέτριψαν οἱ P. 225
Χαλδαῖοι, καὶ ἦραν τὸν χαλκὸν αὐτῶν, τοὺς λέβητας καὶ τοὺς λαμπτῆρας καὶ τὰ ἱμάτια καὶ τὰς φιάλας καὶ τὰς θυΐσκας καὶ πάντα τὰ σκεύη τὰ χαλκᾶ, ἐν οἷς λειτουργοῦσιν, ἐν αὐτοῖς ἔλαβον, καὶ τὰ πύρια καὶ τὰς φιάλας τὰς χρυσᾶς καὶ τὰς ἀργυρᾶς ἔλαβεν ὁ ἀρχιμάγειρος, στύλους δύο, τὴν θάλασσαν τὴν μίαν καὶ τὰς βάσεις, ἃς ἐποίησε Σαλομὼν τῷ οἴκῳ κυρίου. οὐκ ἦν σταθμὸς τοῦ χαλκοῦ τῶν σκευῶν· καὶ τὰ ἑξῆς.

Ταῦτα μὲν ἐν τῇ δʹ τῶν βασιλειῶν. ἐν δὲ τῷ τέλει τῆς δευτέρας τῶν Παρακλειπομένων περὶ τῶν οʹ ἐτῶν τῆς αἰχμαλωσίας οὕτως φησί· καὶ ἦσαν αὐτῷ καὶ τοῖς υἱοῖς αὐτοῦ εἰς δούλους ἕως B
βασιλείας Περσῶν καὶ Μήδων τοῦ πληρωθῆναι λόγον κυρίου διὰ στόματος τοῦ Ἱερεμίου, ἕως τοῦ προσδέξασθαι τὴν γῆν τὰ σάββατα αὐτῆς σαββατίσαι εἰς συμπλήρωσιν ἐτῶν οʹ. Ναβου- V. 180
ζαρδὰν ὁ ἀρχιμάγειρος δοῦλος τοῦ Ναβουχοδονόσωρ ἐμπρήσας τὸν ἐν Ἱερουσαλὴμ ναὸν καὶ τὰ βασίλεια, τὰ σκηνώματά τε τῶν δυναστῶν καὶ τῶν λοιπῶν, τοὺς ἐπισήμους ἀπήγαγε πρὸς Ναβου-

1. περισσὸν B. πεσσὸν G. 3. μετῆρεν AB. μετήρας G. 4. ὑπέλειπεν B. 5. μεχωνὼθ B. μεχωνῶθ A. μαχωνὼθ G. 7. αὐτῶν B. αὐτὸν G. 11 et 20. ἀρχημάγειρος B. 11. στύλλους A. 16. εἶσαν B. 19. σαββατῆσαι B. Ναβουζαρδὰν ὁ] ὁ Ναβουζαρδὰν G. 20. καὶ δοῦλος G.

qui residuum populi quod remanserat in civitate, et eos qui deiecto animo ad regem Babylonis defecerant, et reliquum populi robur secum abduxit; et de mendicis terrae reliquit in vinitores et in agricolas. Et columnas aereas in domo domini erectas et bases et mare aereum in domo domini positum contriverunt Chaldaei; et tulerunt aes eorum. Lebetes insuper et et lucernas et vestes et phialas et mortariola et omnia vasa, in quibus ministrant, abstulit; et thuribula et phialas aureas et argenteas cepit princeps coquorum; columnas duas et mare unum et bases, quas fecit Salomon in domo domini. Non erat pondus aeris omnium vasorum; et quae sequuntur.

Hactenus ex 4 Regnorum libro; ad calcem vero Paralipomenon secundi de captivitatis annis 70 haec habentur. Et erant ipsi et filiis eius in servos usque ad Persarum et Medorum regnum, ut adimpleretur verbum domini per os Hieremiae; donec frueretur terra Sabbatis suis, et ea sabbatizaret in complementum annorum 70, Nabuzardan princeps coquorum et servus Nabuchodonosor Hierusalem templo, regia et procerum tabernaculis et reliquis igne devastatis, praestantes quosque et insignes eorum ad Na-

χοδονόσωρ, οἳ καὶ ἀνῃρέθησαν ὑπ' αὐτοῦ. οὗτος πένητάς τινας κατέλιπεν ἐν τῇ Ἰουδαίᾳ προφάσει γεωργίας ἡγεμόνα αὐτοῖς καταστήσας τὸν Γοδολίαν. Ἱερεμίας δὲ καίτοι προτραπεὶς ὑπ' αὐτοῦ, εἰ βούλοιτο συναπελθεῖν καὶ τιμῆς ἀξιωθῆναι, μᾶλλον τοῖς πένησι συναπέμεινεν. Ἰσμαὴλ δέ τις μετὰ δύο μῆνας ἀναπεισθεὶς C ὑπὸ τοῦ βασιλέως Ἀμανιτῶν ἅμα τισὶν ἄλλοις ἐπελθὼν εἰς Μασσίφατον, Γοδολίαν ἀναιρεῖ καὶ τοὺς σὺν αὐτῷ Χαλδαίους καὶ Ἰουδαίους· ἐν οἷς καὶ π' ἄνδρας ἀπὸ Σαμαρείας καὶ τῆς λοιπῆς Ἰουδαίας πενθοῦντας τὴν ἅλωσιν τοῦ ναοῦ καὶ προσφορὰς προσάγοντας συνανεῖλεν· Ἰωνᾶς δέ τις παραλαβὼν τοὺς καταλοίπους τῶν Ἰουδαίων, Ἱερεμίου κωλύοντος αὐτὸν, καὶ Ἱερεμίαν ἄκοντα, προσφεύγει σὺν αὐτοῖς Οὐαφρεὶ τῷ Αἰγυπτίων βασιλεῖ· ἔνθα πάλιν προφητεύει Ἱερεμίας αὐτοῖς τὰ τῆς ἐσχάτης ἁλώσεως καὶ ἀπωλείας ἅμα τοῖς Αἰγυπτίοις ἐσόμενα ὑπὸ Χαλδαίων, ἃ καὶ γέγονε τῷ κη' ἔτει Ναβουχοδονόσωρ, ἀφ' οὗ ἐπὶ τὸ πρῶτον ἔτος Κύρου πληροῦται ἔτη μ' κατὰ τὴν προφητείαν Ἰεζεκιήλ. οὗτοι D εἰδωλολατρήσαντες ἐν Αἰγύπτῳ ἐλεγχόμενοί τε ὑπὸ τοῦ μεγάλου Ἱερεμίου ἐλιθοβόλησαν αὐτόν.

Ταύτης τελείας αἰχμαλωσίας καὶ πυρπολήσεως ἔτη ἀπ' ἐντεῦθεν ἀριθμοῦνται, ἤγουν ἀπὸ τοῦ ια' ἔτους Σεδεκίου, κόσμου δὲ ͵δϡγ'. καὶ εἰσὶ κατὰ τὸν ἀκριβῆ λόγον ἀπὸ τοῦ κ' ἔτους Ναβου-

1. οἳ καὶ] οἱ δὲ G. 2. κατέλειπεν B. 3. καίτοι] εἰ καὶ G. 6. ἀμμανιτῶν B. μασίφατον B. 8. οἷς καὶ B. καὶ om. G. 10. ἰωνὰς B. 12. Οὐασφρεῖ G. οὐαφρεῖ AB. 14. ἃ B. ὡς G. 15. τὸ πρῶτον ἔτος B. τῷ α' ἔτει G. 20. ἀριθμεῖται G.

buchodonosor deportavit, qui omnes ab eo iugulati sunt. Ille agros colendos causatus, egenos quospiam in Iudaea reliquit, duce Godolia praefecto. Hieremias autem licet invitatus, et ut cum eo discederet honoribus allectus, cum egenis moram facere elegit. Exactis porro mensibus duobus, quidam Ismaël nomine Ammanitarum regis consilio motus, Massiphato cum nonnullis aliis occupato, Godoliam et repertos cum eo Chaldaeos et Iudaeos interficit, e quorum numero erant viri 80 ex Samaria et reliqua Iudaea lugendo urbis excidio et primitiis offerendis intenti, quos omnes una crudeliter necat. Alius quidam Ionas adiunctis Iudaeorum reliquis, Hieremia in contrarium sensum renitente, ipsoque Hieremia secum ducto, ad regem Aegypti Vaphri confugit; ibi postremi calamitatem excidii proximique interitus et necis a Chaldaeis impendentis ipsis et Aegyptiis comminatur Hieremias; quae probavit eventus anno Nabuchodonosor 28, a quo ad primum Cyri annum, complentur anni 40 iuxta Ezechielis prophetiam. Illi idolorum cultus in Aegypto studiosi redditi, et eo nomine ab Hieremia reprehensi, lapidibus ei mortem inferunt.

Captivitatis istius universae et integri excidii anni ducunt hinc exordium, ab anno videlicet undecimo Sedeciae, mundi vero 4903. Accuratum autem et diligentius expensum ratiocinium a 20 Nabuchodonosor ad annum

χοδονόσωρ ἕως τοῦ α' ἔτους τῆς βασιλείας Κύρου ἔτη οὕτως· Ναβουχοδονόσωρ τὰ λοιπὰ ἔτη κδ'. μγ' γὰρ τὰ ὅλα ἐβασίλευσε Χαλδαίων, ἀπὸ δὲ τοῦ ιθ' ἔτους αὐτοῦ ἐβασίλευσε καὶ τῶν Ἰουδαίων· τὰ λοιπὰ ἔτη κδ'. μετὰ τοῦτον ὁ υἱὸς αὐτοῦ Εὐειλὰδ P. 226 Μαροδὰχ λεγόμενος ἔτη δύο μετὰ θάνατον τοῦ πατρὸς Ναβουχοδονόσωρ ἐβασίλευσεν, ὡς μαρτυροῦσιν οἱ τὰ Χαλδαϊκὰ συγγραψάμενοι Ἀλέξανδρος καὶ Ἀβυδηνὸς, οἷς καὶ Ἰώσηππος καὶ πάντες ἐν τούτοις ἕπονται, συμφωνούσης καὶ τῆς θείας γραφῆς.

Τοῦτον τὸν Εὐειλὰδ Μαροδὰχ διὰ πολλὴν περὶ τὰ πράγματα παρανομίαν καὶ ἀσέλγειαν Νιριγλήσαρος γαμβρὸς αὐτοῦ ἐπ' ἀδελφῇ ἀνελὼν διεδέξατο, καὶ ἐβασίλευσεν ἔτη δ' Χαλδαίων καὶ Ἰουδαίων καὶ τῶν λοιπῶν. μεθ' ὃν υἱὸν αὐτοῦ Λαβοσάροχόν φασιν ἐπὶ μῆνας θ' κρατῆσαι τῆς ἀρχῆς, καὶ διὰ τρόπων κακοήθειαν B ὑπὸ τῶν φίλων ἐπιβουλευθῆναι. τούτου δὲ μνήμην αἱ θεῖαι γραφαὶ οὐ ποιοῦνται, οὐδὲ ἐν χρονικοῖς κανονίοις αὐτὸν οἱ πολλοὶ τάττουσιν· ἕτεροι τοῖς χρόνοις τοῦ πατρὸς Νιριγλησάρου συναριθμοῦσιν, ἀντὶ τεσσάρων πέντε συνάγοντες. μετὰ τοῦτον παρέθηκαν τὴν βασιλείαν οἱ ἐπιβουλεύσαντες αὐτῷ κοινῇ γνώμῃ ἑνὶ τῶν ἐκ τῆς ἐπισυστάσεως αὐτῶν Ναβοννήδῳ τῷ Ἀσσουήρῳ Δαρείῳ καλουμένῳ τῷ καὶ Ἀστυάγει, οὗ κατὰ τὸ ιζ' ἔτος τῆς βασιλείας Κῦρος ἐκ Περσίδος μετὰ δυνάμεως πολλῆς ἐξεληλυθὼς καὶ

4. εὐειλὰδ B. Εὐιλὰδ G. 5 et 9. Μεροδὰχ G. 7. Vulgo Ἀβυδινός. ἀβυδῖνος B. Ἰώσηππος] Antiq. X, 11. p. 53. c. Apion. I, 20. p. 451. 8. τούτῳ G. 9. εὐειλὰδ B. Εὐιλὰδ G. 10. νιριγλίσαρος A. 12. ὃν υἱὸν B. ὧν υἱῶν G. 18. δὲ αὐτῷ AB. 19. ἐκ τῆς addidi ex B. ἐπισυστάσεως B. ἐπὶ συστάσεως G. Ναβοννίδῳ G.

Cyri regnantis primum hoc pacto colligitur. Reliqui Nabuchodonosor anni putantur 24, tribus siquidem et quadraginta Chaldaeis imperavit, et iam a 19 Iudaeos sub iugum misit; supersunt itaque 24. Post eum Evilad Merodach filius eius ita dictus, patre nimirum Nabuchodonosor vivis erepto, regnum annis duobus obtinuit, ut Chaldaicarum rerum scriptores Alexander et Abydenus testantur, quos etiam assentiente divina scriptura, cum aliis sequitur Iosephus.

Cimon quoque belli dux, praeclaris eius gestis oblivioni traditis, exiguo postea tempore, ab Atheniensibus in exsilium pulsus est, iisdem pari poena Aristidem mulctantibus, et ingrato animo Themistoclis labores compensantibus . . . . adeo ut ille venenum lubens sumeret et amitteret vitam.

Tunc rursus Democritus Abderites physicus philosophus agnoscebatur, et Empedocles Agrigentinus, Zeno et Parmenides philosophi, et Hippocrates Co insula oriundus; rhetores vero Lysias et Isaeus et Antisthenes celebrabantur; nec non Aristophanes comicus et Euripides et Heraclitus physicus philosophus, quorum aetate Socratem philosophum in lucem venisse ferunt.

### Macedonum reges.

Macedonum rex 12 Archelaus annis 14, mundi vero 5081.

Macedonum rex 13 Orestes annis 3, mundi vero 5095.

*Σποράδην.*

*Ἐν Ῥώμῃ Σουνία παρθένος φθαρεῖσα κατωρύγη ζῶσα.* B

*Λίθος ἐκ τοῦ οὐρανοῦ ἔπεσεν ἐν Ποταμοῖς Αἰγός.*

*Σωκράτης ἐγεννήθη.*

*Πίνδαρος καὶ Σιμωνίδης μελοποιοὶ ἐγνωρίζοντο.*

*Ἡ ἐν Θερμοπύλαις μάχη καὶ ἡ ἐν Σαλαμῖνι ναυμαχία.*

*Ἐν Ῥώμῃ Πομπιλία τις παρθένος ἐπὶ διαφθορᾷ καταγνωσθεῖσα ζῶσα κατωρύγη.*

*Χοιρίλος καὶ Φρύνιχος ἐγνωρίζοντο.*

*Οἱ περὶ Διαγόραν φυσικοὶ φιλόσοφοι ἤκμαζον.*

*Ἱέρων Συρακουσίων ἐτυράννει καὶ ὅλης Σικελίας.* V. 203

*Σοφοκλῆς τραγῳδοποιὸς πρῶτος ἐπεδείξατο.* C

*Θεμιστοκλῆς εἰς Πέρσας φεύγει διὰ τὴν Ἀθηναίων ἄνοιαν, ὃς αἷμα ταύρου πιὼν τελευτᾷ.*

*Σικελίας δημοκρατία.*

*Ἡλίου ἔκλειψις.*

*Ἀναξαγόρας θνήσκει.*

*Κίμων ἐπ' Εὐρυμέδοντι ναυμαχίᾳ Πέρσας νικᾷ καὶ πεζομαχίᾳ.*

2. *Ἐν τῇ Ῥώμῃ* G. *Σουνία* ex Eusebio dedi p. 338. Legebatur *Σουσουνία.* *κατωρύγει* A. 7. *Πομπιλία* ex Eusebio dedi p. 837. *πόρπιλα* A. *πόρπηλα* B. *Πορπίλλα* G. 9. *Χοιρίλος*] *χοίριλος* B. *Χοίριλλος* G. *Φρύνιχος*] Legebatur *Προύνικος.* Correctum ex Eusebio p. 337. 11. *συρακουσίων* B. *συρρακουσίων* A. *Συρακούσιος* G. Praestat *Συρακουσῶν.* 12. *πρῶτος*] *πρῶτον* G. *ἐπεδείξατο*] *ἐγνωρίζετο* B. *primum sui specimen edidit* Eusebius p. 338. 15. *δημοκρατεία* B.

## Miscellanea.

Sunia virgo corrupta Romae viva in terram defossa est.
Lapis e caelo lapsus in Aegem fluvium cadit.
Socrates nascitur.
Pindarus et Simonides carminum auctores agnoscebantur.
Pugna ad Thermopylas et alia navalis ad Salaminem.
Pompilia Vestalis stupro admisso Romae damnatur et viva defoditur.
Choerillus et Phrinicus celebres.
Diagorae physici philosophi auditores vigebant.
Hieron Syracusarum et totius Siciliae tyrannus.
Sophocles tragoediarum auctor primum artis specimen edidit.
Themistocles Atheniensium vecordia lacessitus ad Persas confugit et hausto tauri sanguine moritur.
Siculorum plebs rempublicam administrat.
Solis eclipsis.
Anaxagoras moritur.
Cimon navali terrestrique pugna ad Eurymedontem Persas profligat.

*Εὔηνος ἐλεγείας ποιητὴς ἐγνωρίζετο.*

*Ἐμπεδοκλῆς καὶ Παρμενίδης φυσικοὶ φιλόσοφοι ἐγνωρίζοντο.*

*Ζήνων καὶ Ἡράκλειτος ὁ σκοτεινὸς ἤκμαζον.*

D *Δήμαρχοι ἐν Ῥώμῃ καὶ ἀγορανόμοι ᾑρέθησαν μηκέτι ὄντων ὑπάτων.*

*Νόμους ἐκ τῆς Ἑλλάδος Ῥωμαῖοι μετεστείλαντο, ἀφ᾽ ὧν τὰς δώδεκα δέλτους συνέθηκαν.*

## *ΚΟΣΜΟΥ ΕΤΗ.*

*Ἀρχιερεὺς δ᾽ Ἰωδαὲ ἔτη λϛ΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵επβ΄.*

*Ἀρχιερεὺς ε΄ Ἰωάννης ἔτη λβ΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εριη΄.*

*Ἀρχιερεὺς ϛ΄ Ἰαδδοῦς ἔτη κ΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵ερν΄.*

*Μανασσῆς ἀδελφὸς Ἰαδδοῦς ἀρχιερέως ᾠκοδόμησε τὸ ἐν Γαριζὶν ἱερὸν Σαμαρείας.*

P. 255

## *Περσῶν βασιλεῖς.*

*Περσῶν η΄ ἐβασίλευσε Ξέρξης υἱὸς Ἀρταξέρξου μῆνας β΄.*

*Περσῶν θ΄ ἐβασίλευσε Σογδιανὸς μῆνας ζ΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εϟ΄.*

*Περσῶν ι΄ ἐβασίλευσε Δαρεῖος ὁ Νόθος ἀνελὼν Σογδιανὸν ἔτη ιθ΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εϟα΄.*

1. Legebatur *Εὐήνιος*. Emendatum ex Eusebio p. 339. *ἐλεγίας* B. 4. *Δήμαρχοι* Scaliger p. 54. Vulgo *Δήμαρχος*. *ἀγορανόμοι ᾑρέθησαν* Scaliger. Vulgo *ἀγορᾷ ἦν ὠμηράθησαν* (*ὁμηρέθησαν* B). *Romae tribuni. Namque reip. placuit lex ut ne amplius consules essent* Eusebius p. 339. 9. *ἰωδαὲ* B. *Ιωδδαὲ* G. 11 et 12. *ἰαδδοὺς* B. 12. *γαρίζειν* B.

Euenius elegiarum scriptor agnoscebatur.
Empedocles et Parmenides physici philosophi celebrabantur.
Zeno et Heraclitus Tenebrio dictus vigebant.
Tribuni plebis et Aediles abrogatis consulibus Romae creati.
Leges e Graecia mutuantur Romani; unde tabulae duodecim collectae.

## ANNI MUNDI.

Ioddae pontifex 4 annis 36, mundi veró 5082.
Ioannes pontifex 5 annis 32, mundi vero 5118.
Iaddus pontifex 6 annis 20, mundi vero 5150.
Iaddus pontificis frater Manasses ad Samariam in Garizim templum aedificat.

## Persarum reges.

Persarum rex 8 Xerxes, Artaxerxis filius, mensibus duobus.
Persarum rex 9 Sogdianus mensibus septem; mundi vero annus 5090.
Persarum rex 10 Darius Nothus, qui Sogdianum sustulit, annis 19, mundi vero 5091.

*Κατὰ τοῦτον τὸν ἐπικληθέντα Δαρεῖον Νόθον ἡ Ἀθηναίων συμφορὰ γέγονεν ἐν Σικελίᾳ, καὶ Αἴγυπτος ἀπέστη Περσῶν.*

*Τότε δὴ καὶ Πολυδάμας Σκοτουσσαῖος παγκράτιον νικήσας* B
*παρ' Ὤχῳ τῷ Περσῶν βασιλεῖ γέγονε μετὰ χρόνους, λέοντας διαχρώμενος καὶ ὡπλισμένος γυμνὸς πολεμῶν, παμμεγέθης ὑπάρχων καὶ ἀλκιμώτατος.*

*Περσῶν ιαʹ ἐβασίλευσεν Ἀρταξέρξης, υἱὸς Δαρείου Νόθου, ὁ καὶ Μνήμων, ἔτη μʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵ερίʹ.*

*Εὐσέβιός φησι, κατὰ τοῦτόν μοι δοκεῖ ἡ κατὰ τὴν Ἐσθὴρ ἱστορία, εἰ δὴ αὐτός ἐστιν ὁ παρὰ μὲν Ἑβραίοις Ἀσσούηρος, παρὰ δὲ τοῖς ἑβδομήκοντα ἑρμηνευταῖς Ἀρταξέρξης.* C

*Τῷ λβʹ ἔτει Ἀρταξέρξου υἱοῦ Δαρείου Νόθου Ἀλέξανδρος ὁ Φιλίππου Μακεδόνων βασιλεὺς ἐξ Ὀλυμπιάδος ἐγεννήθη.*

*Ἐπὶ τοῦ Ἀρταξέρξου τοῦ Μνήμονος Κῦρος ἀδελφὸς αὐτοῦ Δαρείου τοῦ Νόθου παῖς καὶ Παρυσάτιδος, οἰκῶν ἐν τῇ Ἀσίᾳ, ἐπιστρατεύει κατὰ τοῦ ἀδελφοῦ περὶ τῆς βασιλείας μετὰ πλήθους Ἑλληνικοῦ στρατοπέδου, συνόντος αὐτῷ Ξενοφῶντος ἱστορικοῦ τοῦ γράψαντος τὴν ἀνάβασιν αὐτοῦ. πολέμου δὲ συστάν-* V. 204
*τος ὑπὲρ τὸν Τίγριν ποταμὸν σταδίοις τξʹ κατὰ τὸν Ξενοφῶντα, πίπτει μὲν τρωθεὶς ὁ Κῦρος, κρατοῦσι δὲ τῶν Περσῶν Ἕλληνες. Ἀρταξέρξης δὲ μηδ' ὅπλοις κρατεῖν Ἑλλήνων ἰσχύων μηδ' ἀτα-*

3. σκοτουσαῖος B. Σκουτουσαῖος G. 9. Εὐσέβιος] P. 342. 10. ἀσσούηρος A. ἀσούηρος B. Ἀσσουῆρος G. *Arsavirus* Eusebius p. 342. 11. ἑρμηνευταῖς] ἑρμηνεύεται G. 19. τίγρην B. 21. ἑλλήνων B. Ἕλληνας G.

Huius Darii, cognomento Nothi, tempore Atheniensium clades in Sicilia contigit.

Aegyptus etiam a Persis defecit.

Eo tempore Polydamas Scutusaeus Pancratii victoria celebris post annos aliquot ad Ochum Persarum regem secessit; leones conficiebat, nudus et armis gravatus pugnabat, procerus valde et robustissimus extitit.

Persarum rex 11 Artaxerxes, qui et Memnon, Darii Nothi filius, annis 40, mundi vero 5110.

Eusebius: eius, inquit, tempore, quae Esther spectant mihi videntur gesta; si tamen idem sit qui Hebraeis Asverus et septuaginta Interpretibus dicitur Artaxerxes.

Anno Artaxerxis, Darii Nothi filii, 32 Alexander Macedonum rex Philippo et Olympiade nascitur.

Cyrus, Artaxerxis frater, Darii Nothi et Parysatidis filius, cum in Asia moram ageret, Graecanico exercitu collecto, Xenophontem historicum expeditionis istius scriptorem belli socium adsciscit et de regno adversus fratrem armis contendit. Commissa supra Tigrim stadiis 60 pugna, Graeci quidem Persarum victores evadunt, Cyrus, ex Xenophontis relatu, vulnere accepto vitam relinquit. Artaxerxes vero cum neque Graecos armis supe-

ῥάχως ἐπανελθεῖν πείθων παρασπονδήσας δόλῳ τοὺς στρατηγοὺς διὰ Τισαφέρνους ἀνεῖλε. Ξενοφῶν δὲ τοὺς Ἕλληνας παραλαβὼν ἀπαχθεὶς εἰς Ἑλλάδα διέσωσε διὰ μαχίμων ἐθνῶν ἐπὶ τὸν Εὔξεινον πόντον ἐπανελθὼν εἰς Βυζάντιον. κἀκεῖθεν ἐλθὼν εἰς Θρᾴκην Σεύθῃ τῷ Θρᾳκῶν βασιλεῖ παραδοὺς Λακεδαιμονίους συμμαχήσοντας Θίβρωνι παρέπεμψε διαβιβάσας εἰς Πέργαμον ναυαρχοῦντι τῶν Λακεδαιμονίων.

Περσῶν ιβ' ἐβασίλευσεν Ὦχος ὁ καὶ Ἀρταξέρξου παῖς ἔτη ε', κατὰ δέ τινας κ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ερν'.

P. 256 Ὦχος Ἀρταξέρξου παῖς εἰς Αἴγυπτον στρατεύων μερικὴν αἰχμαλωσίαν εἷλεν Ἰουδαίων, ὧν τοὺς μὲν ἐν Ὑρκανίᾳ κατῴκισε πρὸς τῇ Κασπίᾳ θαλάσσῃ, τοὺς δὲ ἐν Βαβυλῶνι, οἳ καὶ μέχρι νῦν εἰσιν αὐτόθι, ὡς πολλοὶ τῶν Ἑλλήνων ἱστοροῦσιν.

Οὗτος ὁ Ὦχος κρατήσας Αἰγύπτου β' ἔτη ἀναιρεῖται ὑπὸ Βαγώου τινὸς Πέρσου τῶν ἐν τέλει.

Ὁ αὐτὸς καὶ Σιδῶνα κατέσκαψεν.

Ἕως Ὤχου καὶ Νεκτανεβῶ ὁ Μανεθῶ τὰς λα' δυναστείας Αἰγύπτου περιέγραψε τρίτου τόμου ἔτη ,αν'. τὰ δὲ μετὰ ταῦτα B ἐξ Ἑλληνικῶν συγγραφέων. Μακεδόνων βασιλεῖς ιε'.

Οὗτος ὁ Ὦχος εἰς Αἴγυπτον ἐπιστρατεύσας ἔτι ζῶντος τοῦ

1. παρασπονδήσας B. παρασπονδίσας G. 2. Τισαφέρνους] τῆς ἀφερι οῦς AB. Ιησαφερνοῦς G. 4. βυζάτιον B. 5. Σεύθῃ] Legebatur Εὔθεϊ. εὔθῃ B. 11. κατῴκισε Scaliger p. 54. Vulgo κατῴκησεν. 17. νεκτανεβὼ B. νεκταναβῶ A. Νεκταναβὼ G. μανεθῶ A. μανεθὼ B. Μανεθῶς G. 18. ἔτη] Legebatur ἔτει. Correxi ex p. 145, 10. 19. Vulgo συγγράφων.

rere valeret, neque securum et tutum permitteret recessum, Tisaphernis ope duces eorum interficit. Ipse Xenophon per gentes ferro bellisque assuetas versus Pontum Euxinum iter agens Graecos socios secum assumptos in Graeciam traiicit et Byzantio restituit. Inde profectus in Thraciam Lacedaemoniis Eutheo Thracum regi commendatis, eosdem Thibroni Lacedaemonicae classi duci opem laturos Pergamum destinat.

Persarum rex 12 Ochus, Artaxerxis filius, annis 5, et, ut aliis placet, 20; mundi vero 5150.

Ochus Artaxerxis filius armis in Aegytum motis, Iudaeorum manum haud exiguam captivam fecit; eorumque parte ad mare Caspium in Hyrcaniam translata partem aliam Babylone reliquit; ibidemque, prout Graecorum plurimi narrant, in hodiernum usque diem sedes obtinent.

Ochus iste anno ab Aegypto superata secundo a Bagoa Persa non ignobili interficitur.

Sidonem urbem Ochus iste subvertit.

Ad Ochum et Nectanabo principes unius et triginta dynastiarum descriptionem Manetho volumine suo tertio per annos 1050 delineavit; quae sequuntur Macedonum reges quindecim spectantia ex Graecis auctoribus desumuntur.

Ochus iste expeditione suscepta Aegyptum armorum vi sibi subiecit, patre Artaxerxe adhuc superstite; nonnulli post eius mortem bellum movisse

πατρὸς Ἀρταξέρξου, ὡς καὶ ἄλλοι, μετὰ ταῦτα ἐκράτησεν Αἰγύπτου, φυγόντος Νεκτανεβῶ, ὡς τινές, εἰς Αἰθιοπίαν, ὡς δὲ ἕτεροι, εἰς Μακεδονίαν· ἡνίκα καὶ Ὀλυμπιάδι μιχθεὶς διὰ γοητείας υἱὸν ἔσχεν Ἀλέξανδρον Ἄμμωνος εἶναι θεοῦ υἱὸν νομιζόμενον.

Περσῶν ιγ' ἐβασίλευσεν Ἀρσῆς Ὤχου ἀδελφὸς ἔτη δ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ερνε'.

Περσῶν ιδ' ἐβασίλευσε Δαρεῖος Ἀρμουσάμου ἔτη ς'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ερνθ'.

Οὗτος ὁ Δαρεῖος ὁ Ἀρμουσάμου συμβαλὼν Ἀλεξάνδρῳ ἐν Ἰσσῷ ποταμῷ τῆς Κιλικίας ἡττᾶται. C

## Ἰωσήππου.

Δαρεῖος Ἀρσάμου, ὃν Ἀλέξανδρος καθεῖλε, Σαναβαλλέτην τινὰ Χουσαῖον σατράπην ἔπεμψεν ἐν τῇ Ἰουδαίᾳ. τούτου γαμβρὸς ἐπὶ θυγατρὶ γέγονε Νικᾶς ὁ τοῦ τηνικαῦτα ἀρχιερέως Ἰαδδοῦ ἀδελφός, ὁ καὶ Μανασσῆς, ὃν μὴ δυνηθεὶς Σαναβαλλέτης εἰς Ἱερουσαλὴμ καταστῆσαι ἀρχιερέα, κτίζει ναὸν ἐν τῷ ὄρει Γαριζίν, δεηθεὶς πρῶτον μὲν Δαρείου, ἔπειτα δὲ καὶ Ἀλεξάνδρου τοῦ μεγάλου, καὶ καθιστᾷ αὐτὸν ἀρχιερέα ἐν τῷ αὐτῷ ναῷ τῷ D
ὑπὸ Σαμαρειτῶν νῦν προσκυνουμένῳ.

2. φεύγοντος G. νεκτανεβὼ B. νεκτανεβῶ A. Νεκταναβὼ G. 6. Ἀρσῆς] Legebatur Ναρσῆς. Vide supra p. 145, 8., 146, 6. 12. Ἰωσήππου om. G. 13. Ἀρσάμου] Ἀρμασάμου G. σὺν ἀβαλὲν τητινὰ A. 15. Νικᾶς] Νικασσοὶ G. Ἰαδδοῦ] ἰαδδοῦ ὁ A. ἰαδδουὼ B. 16. σαναβαλέτης A. 17. Γαριζὶν] γαρίζειν B. Γαριζεὶ G. 20. Σαμαριτῶν G.

sentiunt, quo Nectanabo Aegypto fugere coactus, iuxta quosdam in Aethiopiam, ex aliorum relatu, in Macedoniam secessit, ubi Olympiadi praestigiis delusae commixtus Alexandrum, quem Iovis Ammonis filium reputavere, genuit.

Persarum rex 13 Narses, Ochi frater, annis 4, mundi vero 5155.

Persarum rex 14 Darius Armusami filius annis 6, mundi vero 5159.

Darius iste Armusami filius ad Issum Ciliciae flumen collatis cum Alexandro manibus superatur.

Darius Armusami ab Alexandro postmodum interfectus Sanaballetem satrapam quendam Chusaeum in Iudaeam misit. Eius filia Nicasso in uxorem ducta, Manasses Iaddus pontificis frater, factus est gener; quem Sanaballetes pontificem in Hierusalem cum non posset instituere, precibus primum a Dario, tum ab Alexandro magno templi in monte Garizim exstruendi potestatem accepit; hoc pacto pontificis confert ei dignitatem in ipso templo, quod in hodiernum usque diem Samaritani praecipuo cultu frequentant.

## Αἰγυπτίων δυναστεῖαι.

Αἴγυπτος ἀπέστη Περσῶν δευτέρῳ ἔτει Νόθου Δαρείου.

V. 205 Αἰγυπτίων κη΄ δυναστεία Ἀμυρταῖος Σαΐτης ἔτη ς΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εϟβ΄.

Αἰγυπτίων κθ΄ δυναστεία Μενδησίων βασιλέων δ΄. ὧν α΄ Νεφερίτης ἔτη ς΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εϟη΄.

P 257 Αἰγυπτίων κθ΄ δυναστεία, β΄ Ἄχωρις ἔτη ιγ΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵ερδ΄.

Αἰγυπτίων κθ΄ δυναστεία, γ΄ Ψάμμουθις ἔτη β΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εριζ΄.

Αἰγυπτίων κθ΄ δυναστεία, δ΄ * * * μῆνας δ΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εριθ΄.

Αἰγυπτίων λ΄ δυναστεία Σεβεννυτῶν, α΄ Νεκτανέβης ἐβασίλευσεν ἔτη η΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵ερκ΄.

Αἰγυπτίων λα΄ δυναστεία Σεβεννυτῶν, Νεκτάνεβος β΄, ἔτη ιη΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵ερκη΄.

Αἰγυπτίων λβ΄ δυναστεία, β΄ Τεὼς ἔτη β΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵ερμς΄.

B

## Σποράδην.

Πλάτων πρὸς Σωκράτην ἐφοίτα.

Σιμίας καὶ Κέβης καὶ οἱ λοιποὶ Σωκρατικοί.

5. βασιλέων] βασιλεῖς G. 7. ἄχαρις B. 9. ψαμούθις B. 11. Lacunam indicavit B. Excidit Nepheritae nomen: vide p. 144, 13. μῆνας] Vulgo Μηνᾶς. 14. ͵ερκ΄ B. ͵ερκη΄ G. 15. Αἰγυπτίων λα΄ — ͵ερκη΄ addidi ex B. 17. λβ΄ — β΄] Immo λα΄ — γ΄. τεὼς B. Τεῶς G. 21. Σιμίας] Vulgo Σημίας, σημεία B.

## Aegyptiorum dynastiae.

Aegyptus anno Darii Nothi secundo a Persis defecit.

Aegyptiorum dynastia 28 Amyrtaeus Saites annis 6, mundi vero 5092.

Aegyptiorum dynastia 29 Mendesiorum regum 4, quorum Nepherites primus extitit, annis 6, mundi vero 5098.

Aegyptiorum dynastiae 29 rex secundus Achoris annis 13, mundi vero 5104.

Aegyptiorum dynastiae 29 rex 3 Psammuthis annis 2, mundi vero 5117.

Aegyptiorum dynastiae 29 rex 4 Menas annis 4, mundi vero 5119.

Aegyptiorum dynastia 30 Sebennytarum regum, quorum primus Nectanebes annis 8, mundi vero 5128.

Aegyptiorum dynastia 32 Teos secundus annis 2, mundi vero 5146.

## Miscellanea.

Plato Socratis auditor.

Simmias Cebes et alii Socratici.

## Ἀφρικανοῦ.

Ὀλυμπιὰς πζ΄.

Ὁ Πελοποννησίων καὶ Ἀθηναίων πόλεμος ἑπτακαιεικοσαετὴς, ὃν Θουκυδίδης συνέγραψε, δι' Ἀσπασίας πόρνας δύο καὶ στήλας κατὰ Μεγαρέων ἀστυγειτόνων Ἀθηναίοις συνέστη.

Ὀλυμπιὰς πη΄. C

Βακχυλίδης μελοποιὸς ἐγνωρίζετο.

Ἀθηναίους ἐπίεσεν ὁ λιμός.

Σωκράτης φιλόσοφος καθαρτικὸς ἤνθει.

Εὔπολις καὶ Ἀριστοφάνης κωμικοὶ, Σοφοκλῆς τε ὁ τραγῳδοποιὸς ἐγνωρίζετο.

Γοργίας καὶ Ἱππίας καὶ Πρόδικος, ὡς δέ τινὲς, καὶ Ζήνων καὶ Παρμενίδης κατὰ τούτους ἤκμαζον.

Πῦρ ἐκ τῆς Αἴτνης ἐν τοῖς κατὰ Σικελίαν τόποις ἐρράγη.

Σεισμῶν γεγονότων ἡ πρὸς Λοκροῖς Ἀταλάντη σχισθεῖσα νῆσος ἐγένετο.

Λακεδαιμόνιοι πρὸς Ἀθηναίους ἐσπείσαντο.

Εὔδοξος ὁ Κνίδιος ἐγνωρίζετο.

Λακεδαιμόνιοι ἀπῴκισαν Ἡράκλειαν. D

1. ἀφρικανοῦ B. Ἀφρικανός G. 4. ὃν] ὧν A. 5. στήλας B. στείλας G. ἀστυγειτόνων Scaliger p. 55. Vulgo ἀστυγείτων. 8. ἐπίεσεν Scaliger. Vulgo ἔπεισεν. 15. λύκροις AB. ἀταλαντὴ B. 19. ἀπῴκισαν Scaliger. ἀπώκεισαν B. ἀπῴκησαν G. *incolis orbaverunt* Eusebius p. 341. Ἡράκλειαν] ἡρακλεῖδα A. ἡρακλείδα B.

## Ex Africano.

Olympias 87.

Peloponnesiorum et Atheniensium bellum ad annos 27 continuo gestum. Aspasiae utriusque scorti causa et ob proscriptorum nomina cippis inscripta adversus Megarenses Athenis urbi vicinos susceptum Thucydides conscripsit.

Olympias 88.

Bacchylides carminum auctor celebrabatur.

Athenienses fame oppressi.

Socratės philosophus munditiei doctor florebat.

Eupolis et Aristophanes poetae comici, Sophocles vero tragicus in pretio habiti.

Georgias, Hippias et Prodicus, et ut quidam volunt, Zenon et Parmenides temporibus istis clarebant.

Ignis ex Aetna plurimus nonnullis Siciliae locis erupit.

Atalante ad Locros posita, terrae motu a continente divisa, facta est insula.

Lacedaemonii cum Atheniensibus foedus ineunt.

Eudoxus Cnidius agnoscebatur.

Lacedaemonii Heracleam coloniis implent.

Ἀθηναίων συμφορὰ ἐν Σικελίᾳ.

Ἀθηναῖοι ἐτυραννήθησαν.

Ἀλκιβιάδην ἀνεῖλε Φαρνάβαζος.

Κύρου Πέρσου ἀνάβασις, ἣν ἱστορεῖ Ξενοφῶν ὁ Γρύλλου.

Σωκράτης ῥήτωρ, Κτησίας, Διόδωρος ἐγνωρίζοντο.

Ἀθηναῖοι τὰ κδʹ Ἑλληνικὰ γράμματα κατὰ τούτους τοὺς χρόνους ἐχρήσαντο, ιςʹ μόνα ὄντα πρότερον.

Οἱ ἐν Ἀθήναις τύραννοι κατελύθησαν.

P. 258 Ἀθηναῖοι ἡττηθέντες ὑπὸ Λυσάνδρου ἐν Αἰγὸς Ποταμοῖς παρέδοσαν ἑαυτοὺς Λακεδαιμονίοις ἔτη ρνζʹ.

Ῥόδιοι ἐκ τῆς Τριπόλεως εἰς μίαν συνῆλθον πόλιν.

Καὶ Κῦρος ἐπὶ τὸν ἀδελφὸν Ἀρταξέρξην ἀπὸ τῆς Ἑλλάδος
V. 206 ἀνελθὼν ἀναιρεῖται, ὡς ἱστορεῖ Ξενοφῶν ὁ τὴν ἀνάβασιν, ὃς ἡγήσατο τῶν μυρίων ἐν τῇ καθόδῳ.

Οἱ τέσσαρες ἐν Ἀθήναις κατελύθησαν τύραννοι.

B Σαλπιγκτῶν καὶ κηρύκων ἀγὼν προσετέθη ἐν Ὀλυμπίᾳ.

Ἑλίκη καὶ Βοῦρα πόλεις ἐν Ἀχαΐᾳ ἤτοι Πελοποννήσῳ κατεπτώθησαν μεγάλῳ σεισμῷ, ὧν ἔτι κατὰ θάλασσαν ἴχνη φαίνεται τοῖς πλέουσιν ἀπὸ Πατρῶν ἐπὶ Κόρινθον εἰς δεξιά.

3. Φαρνάβαζος] *Pharnazas* Eusebius p. 342. 5. Σωκράτης] Ita etiam Eusebius p. 343. Ἰσοκράτης Scaliger. καὶ Διόδωρος m. ἐγνωρίζοντο B. ἐγνωρίζετο G. 7. τὸ πρότερον G. 10. παρέδωσαν B. 13. Addidi ὁ. γράψας addit m. 16. καὶ κηρύκων G et Scaliger. καὶ om. AB. Vide Scaligeri Notas p. 420. 17. βουράπολις AB. πόλεις Scaliger. Vulgo πόλις. κατεπτώθησαν B. κατεπώθησαν G. κατεπόθησαν Scaliger. *deiectae sunt* Eusebius p. 344. Sic κατέπτωσε p. 313 c. κατεπτώθησαν p. 319 b. 342 b. 347 a. b. 348 a. 349 a. c. 353 d.

Atheniensium clades in Sicilia.

Athenienses a tyrannis oppressi.

Alcibiadem Pharnabazus interemit.

Cyri Persae expeditio a Xenophonte Grylli filio descripta.

Isocrates rhetor, Ctesias et Diodorus agnoscebantur.

Sub id. tempus litterarum 24 usus sedecim duntaxat prius receptis, apud Athenienses communiter admissus.

Tyranni Athenienses exstincti.

Athenienses ad Aegem fluvium a Lysandro victi Lacedaemoniis annis 157 se subiiciunt.

Ex triplici in unam urbem coeunt Rhodii.

Cyrus concitatis adversus fratrem Artaxerxem Graecorum armis in certamine concidit, ut auctor est Xenophon historia de bello isto conscripta, qui etiam in illius expeditionis reditu militum myriadis unius praefecturam gessit.

Tyranni quatuor Athenis deleti.

Tibicinum et praeconum certamen Olympicis additum.

Helice et Bura Achaiae sive Peloponnesi urbes ingenti terrae motu absorptae Patris Corinthum navigantibus ad dextram conspiciuntur.

*Εὔδοξος ἀστρολόγος ἐγνωρίζετο.*

*Καρχηδονίων ὁ ἱερὸς πόλεμος.*

*Σκιπίων Ἀφρικανὸς Ῥωμαῖος δικτάτωρ πορθήσας Καρχηδόνα Ἀφρικὴν τὴν χώραν μετωνόμασε.*

*Σωκράτης ἐξ ἀνοίας Ἀθηναίων ἀποθνήσκει, κατακριθεὶς πιεῖν τὸ κώνειον.*

*Ὁ ἐν Ἐφέσῳ ναὸς αὖθις ἐνεπρήσθη.* C

*Διογένης κυνικὸς φιλόσοφος ἐγνωρίζετο.*

*Διονύσιος Σικελίας ἐτυράννει.*

*Πλάτων καὶ ἄλλοι Σωκρατικοὶ φιλόσοφοι ἤνθουν.*

*Γαλάται καὶ Κέλται Ῥώμης ἐκράτησαν, πλὴν τοῦ Καπετωλίου.*

*Εὐαγόρας βασιλεύων τῆς Κύπρου ἐξέστη.*

*Πρεσεντίνους ἐνίκησαν Ῥωμαῖοι.*

*Σωκράτης σοφιστὴς ἤκμαζε.*

*Διονύσιος τύραννος Σικελίας ἀπέθανε κρατήσας ἔτη ιη΄. μεθ᾽ ὃν ὁ δεύτερος υἱὸς αὐτοῦ Διονύσιος ὁ νεώτερος, καθ᾽ ὃν ὁ Πλάτων ἐν Σικελίᾳ γέγονε τὸ δεύτερον.*

*Ἀριστοτέλης Πλάτωνι ἐμαθήτευσεν ἀπὸ ιζ΄ ἔτους τῆς ζωῆς αὐτοῦ.* D

*Τότε, φασί, καὶ Σωκράτης ἐξ ἀνοίας τῶν Ἀθηναίων τὸ κώνειον πιὼν ἐτέλεσε τὸν βίον.*

1. εὐδόξιος AB. 3. σκηπίων AB. Vulgo *Δικάτωρ*. 6. κώνιον B. 10. φιλόσοφοι om. G. 14. πρεσεντινοὺς B. *Πραινεστίνους* Scaliger. *Praesantini* Eusebius p. 344. 16. τύραννος σικελίας B. *Σικελίας τύραννος* G. 21. καὶ om. G.

Eudoxus astrologiae scientia clarus.

Sacrum Carthaginensium bellum.

Scipio Africanus, Romanus dictator, Carthagine devicta, Africae provinciae nomen tulit.

Socrates hausta cicuta et Atheniensium vecordia interiit.

Templum Ephesinum secundo incendio vastatum.

Diogenes Cynicus philosophus agnoscebatur.

Dionysius Siciliam tyrannide vexabat.

Plato cum aliis Socraticis florebat.

Galli et Celtae Roma, dempto Capitolio, potiuntur.

Evagoras rex Cypri in furorem versus.

Praenestinos Romani vicerunt.

Socrates philosophus vigebat.

Dionysius, Siciliae tyrannus, annis 18 tyrannide exercita, vita fungitur. Dionysius Iunior filius eius secundus regnum excipit et eius aetate Plato secundo navigat in Siciliam.

Ab aetatis anno 17 Platonis scholam discipulus Aristoteles frequentavit.

Tunc ex Atheniensium vecordia Socratem cicutae potu interiisse narrant.

Ἐπ' αὐτοῦ Διονύσιος ἐτυράννει τῆς Σικελίας, καθ' ὃν ὁ
Πλάτων ἀποδημήσας ἱστορίας ἕνεκα τῶν λεγομένων Αἰτναίων
τοῦ πυρὸς κρατήρων, ὥς φασιν οἱ κατ' αὐτὸν φιλόσοφοι, ὡς
δὲ Ἀριστείδης ὁ ῥήτωρ κατὰ Πλάτωνος γράψας, Σικελικῆς χά-
ριν τραπέζης, τῷ τυράννῳ γινώσκεται διά τινος Δίωνος γυναι-
καδέλφου τοῦ Διονυσίου ἀνδρὸς προσκειμένου φιλοσοφίᾳ. ὡς
δὲ ἐπηρώτησε Διονύσιος Πλάτωνα, τίς εὐδαίμων ἐν ἀνθρώποις;
ἐλπίζων ἀκοῦσαι παρὰ τοῦ φιλοσόφου ὅτι σύ, ὁ δ' οὐ κολακεύ-
P. 259 σας τὸν τύραννον, ἀλλ' εἰπὼν ὅτι Σωκράτης, ἀπαντᾶν τοὺς
κατ' ἐκεῖνον ζῶντας φιλοσόφως. αὖθις ἠρωτήθη, τί ἔργον πολι-
τικοῦ; καὶ ἀπεκρίνατο τῷ αὐτῷ τυράννῳ τὸ καλοὺς καὶ ἀγαθοὺς
ποιεῖν τοὺς πολίτας, ἀκούσειν ποθοῦντι παρὰ Πλάτωνος ὅτι τὸ
ὀρθῶς δικάζειν. ηὔχει γὰρ ἐπὶ τούτῳ Διονύσιος. εἶτά φησι, τὸ
ὀρθῶς δικάζειν τίνος ἔργον σοὶ δοκεῖ; πρὸς ὃν ὁ Πλάτων, μό-
ριόν τι μικρὸν πολιτικοῦ τὸ δικάζειν ὀρθῶς. ἀκεσταῖς γὰρ ἐοί-
κασι τοῖς τὰ διερρωγότα ἱμάτια ἀνυφαίνουσι. τρίτον αὐτὸν ἐπαν-
ήρετο τὸ τύραννον εἶναι, φάς, ποταπόν σοι φαίνεται; πρὸς ὃν
ἀντέφη Πλάτων, σφόδρα δεινόν, ὅπου γε καὶ τὰ κουρευτικὰ
μαχαίρια φοβεῖται μὴ ὑπ' αὐτῶν ἀναιρεθῇ. πρὸς ταῦτα, φασὶν
B οἱ Πλατωνικοὶ Πλάτωνος ὑπεραπολογούμενοι τοῦ διδασκάλου

2. Αἰτναίων Scaliger p. 56. Vulgo Αἰτνιαίων. 4. Ἀριστείδης] Vol. II. p. 125, 7. 6. προσκειμένου A. προκειμένου G. 7. Vulgo ἐπερώτησεν. 9. καὶ ἀπαντᾷν m. 12. παρὰ om. B. 13. ηὔχη B. 14. δικάζειν δὲ A. 15. μικρὸν om. G. 16. διερραγότα B. 18. κουρετικὰ B. 19. φοβῆται B. φασὶν B. φησὶν G.

Sub id tempus Dionysius Siciliam tyrannide vexabat, ad quem craterum Aetnaeorum et ignis naturae perscrutandae, ex philosophorum eius sequacium dictis, ut vero rhetor Aristides suis in Platonem scriptis testatur, Siculae mensae gratia profectus Plato Dionis cuiusdam Dionysii ex sorore leviri philosophiae addictissimi interventu in tyranni colloquium et familiaritatem admittitur. Ut Platonem Dionysius interrogavit. Quis hominum felicissimus? Non alius a te, a philosopho auditurum se praestolatus, hominem ab adulando alienum persensit, dicentem, quod Socrates, et eandem felicitatem assequuturos, qui ad eius praecepta mores philosopho dignos componerent. Rursum Plato rogatus, quodnam foret viri politici officium? Respondit tyranno: si bonos cives et probos reddiderit. Sperabat Dionysius responsurum: si rectum exerceat iudicium; iustitiae siquidem gloriolam aucupabatur; eaque de causa subintulit. Recti ver et aequi studium cuius aestimas esse munus? Ad quem Plato. Pars est haec politici quam exigua; eius enim sollicitum sartoribus laceras vestes interpolantibus parem esse arbitror. Interrogavit tertio. Tyrannidem exercere cuiusmodi censesopus? Permolestum, ait ille, cum a radentibus novaculis vitae caveri suadeant. His auditis, (aiunt Platonici adversus Aristidem Platonis magistri

ἐν τοῖς κατὰ τοῦ Ἀριστείδου Διονύσιος ὁ Σικελίας τύραννος χαλεπήνας ἐπὶ τῷ φιλοσόφῳ μηδ' ὅλως αὐτὸν κολακεύσαντι ἀπεφήνατο Πλάτωνα Συρακουσῶν αἱρεσθαι ἡλίου ὑπὲρ γῆν ὄντος, καὶ ἐπρίατο αὐτὸν Ἀννίκηρίς τις ἐξ Αἰγίνης, οὗ χάριν ὁ λόγος παρὰ τοῖς Πλατωνικοῖς μέχρι νῦν ἐπεκράτησε· καὶ οὐδεὶς Ἀννίκηριν ἐγίνωσκεν, εἰ μὴ Πλάτωνα ἐπρίατο. ἕτεροι δὲ ἱστοροῦσιν ὅτι V. 207 Πόλλιδι παραπλέοντι τὴν Σικελίαν παραδοὺς ὁ τύραννος ἐκβάλλει τῆς νήσου, ὃς τὸν φιλόσοφον παραλαβὼν Αἰγινήταις πρὸς Ἀθηναίους οὐκ εἰρηνεύουσι προσορμίσας ἀποδίδωκε τὸν Πλάτωνα, τοῦτο κελεύσαντος αὐτῷ λάθρα τοῦ Διονυσίου. αὐτὸς δὲ C Πλάτων τοῦ πριαμένου μεταθέντος αὐτὸν εἰς Ἀθήνας διαπλεῖ. Διονυσίου δὲ τελευτήσαντος ιη' ἔτει τῆς τυραννίδος κρατεῖ Διονύσιος παῖς αὐτοῦ μετ' αὐτὸν τῆς Σικελίας [τυραννεῖ], Πλάτωνά τε μετακαλεῖται τῷ Δίωνι χαριζόμενος καὶ σφόδρα τιμᾷ παραγενάμενον διὰ τὴν Δίωνος προτροπὴν ἐλπίδι τοῦ μεταβάλλειν εἰς ἀριστοκρατίαν τὴν τυραννίδα. Δίωνος δὲ συκοφαντίᾳ προδοσίας ἐκδιωχθέντος ὑπὸ τοῦ τυράννου τῆς νήσου καὶ πλεύσαντος εἰς Ἀθήνας ἐκπέμπεται καὶ Πλάτων, ἐν ᾗ μεταμεληθεὶς ὁ τύραννος μετακαλεῖται Πλάτωνα, ὑποσχόμενος ἐπαναγαγεῖν καὶ D

1. ἀριστείδους B. 4. Ἀννίκηρις Scaliger p. 56. Vulgo Ἀννικήριος G. 5. ἀννικήριν B. ἀννικήρην A. Ἀννικήριον G. 7. Πόλλιδι] Legebatur πολλῇ τιτινὶς (sic). Scaliger Πόλιδι τινί. Vide Menag. ad Diogen. Laert. III, 19. παραπλέοντι] παρὰ τιάτι παραπλέοντι A. παρὰ τατιάτι παραπλέοντι B. παρὰ τιάτινα πλέοντι G. παρ' αἰτίαν τινὰ παραπλέοντι Scaliger. ὁ τύραννος om. G. 8. ὃς] ὁ G. Αἰγινήταις Scaliger. Vulgo Αἰγενίταις. 9. εἰρηνεύουσι Scaliger. Vulgo εἰρηνεύοντας. προσωρμήσασα B. 12. ἔτει Scaliger. Vulgo ἔτη. 13. αὐτὸν] αὐτοῦ B. τυραννεῖ ego deleo, in τυραννίδος mutat Scaliger. 14. παραγενάμενος (sic) AB. παραγενόμενον G. 16. ἀριστοκρατείαν B.

defensione instituta), Platonis nulla in re sibi adblandientis libertatem Dionysius Siciliae tyrannus impatienter tolerans, orto sole virum Siracusis efferri iussit. Eum Annicerius quidam Aegineta numerata pecunia emit; cuius idcirco nomen apud Platonicos ad diem istum celebre, quod Platone non empto occultum penitus remansisset. Alii Polidi cuipiam praeter consilium Siciliam adnaviganti, ut insula exportaret, traditum referunt; qui receptum in fidem suam philosophum, secreto tyranni mandato, Aeginetis cum Atheniensibus pacem non agentibus ad patriam reversus exhibuit. Demum Plato, emptore eum transvehente, Athenas navigio appulit. Dionysio vivis erepto ab occupata tyrannide anno 18 filius Dionysius regnum excipit, et in Dionis gratiam Platonem arcessitum, eiusdem Dionis tyrannidem in aristocratiam commutari cupientis suasu venientem plurimis honoribus excipit. Dione vero proditionis crimine per calumniam damnato, et tyranni iussu ex insula pulso et iam mari commisso, Plato quoque Athenas amandatur. Mox facti poenitens tyrannus Platonem denuo arcessit, et eius

*Δίωνα δι' αὐτόν. καὶ παραγίνεται Πλάτων. Διονυσίου δὲ ψευσαμένου μετ' ὀλίγον ἀπαίρει. ὁ δὲ Δίων ἐπαναστὰς μεθ' Ἑλληνικῆς δυνάμεως ἐκβάλλει Διονύσιον τῆς ἀρχῆς, αὐτός τε μετ' ὀλίγον ἀναιρεῖται παρά τινων οἰκείων· καὶ Διονύσιος πάλιν κρατεῖ, ὃς ὑπὸ Κορινθίων καὶ Τιμολέοντος στρατηγοῦ ἀχθεὶς ἐν Κορίνθῳ ἀσχήμως ἐκεῖ τελευτᾷ ἐν πενίᾳ καταγηράσας.*

*Πλάτων τελευτῶν κατὰ τὴν ρζ' ὀλυμπιάδα Σπεύσιππον ἀδελφιδοῦν διάδοχον τῆς Πλατωνικῆς διατριβῆς προεστήσατο.*

P. 260 *Ἀριστοτέλης ὁ Νικομάχου Σταγειρίτης μαθητὴς Πλάτωνος ἤνθει. τούτου μαθητὴς γνησιώτατος Ἀλέξανδρος ὁ Φιλίππου πᾶσαν λογικὴν καὶ σωματικὴν παίδευσιν ἀσκηθεὶς ὑπ' αὐτοῦ ἐπὶ σοφίᾳ καὶ λόγοις δογματικοῖς.*

*Ἤνθουν Ξενοκράτης διάδοχος Σπευσίππου Πλάτωνος, Κράτης καὶ Διογένης κυνικοί, καὶ Ἱππαρχία Κράτητος γυνὴ φιλόσοφος.*

*Δημοσθένης ὁ ῥήτωρ.*

*Ἤριννα ποιήτρια.*

*Διονύσιος ὁ τύραννος ἐξέπεσε Σικελίας.*

## *Μακεδόνων βασιλεῖς.*

B *Μακεδόνων ιδ' ἐβασίλευσεν Ἀρχέλαος ἔτη δ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,εϟη'.*

2. *ὀλίγον* B. 9. Post *Ἀριστοτέλης* in B deest folium unum, quod pertinuit usque ad *τοῦ πρώτου βασιλέως* p. 261 d. *Σταγειρίτης*] *σταγερίτου* A. 14. *Ἱππαρχία* ex Diogene Laert. VI, 96. correxi. Legebatur *Ὑπαρχία*. 16. Vulgo *Ἠρίνα*.

gratia Dionem patriae restituendum pollicetur. Reversus Plato Dionysii pollicitorum falsitate deprehensa haud diu post e Sicilia solvit. Valida deinde Graecorum manu stipatus Dio movet in Dionysium et imperio deiicit; moxque brevi tempore interiecto domesticis quibusdam vita privatur. Quare Dionysius potestatem recipit; qui tandem a Corinthiis et duce Timoleonte Corinthum abductus, senescens in egestate foedo exitu vitam finivit.

Plato circa Olympiadem 107 leto proximus Speusippum ex sorore nepotem Platonicae scholae successorem delegit.

Aristoteles Stagirita patria, patre Nicomacho natus florebat. Coniunctissimus discipulus Alexander, Philippi filius, logicam omnem ac de rebus corporeis notitiam ab eo edoctus, scientia et rerum disceptatarum certioribus sententiis perceptis commendatur.

Xenocrates Speusippi, qui Platonis successor, Crates et Diogenes Cynici, et Hyparchia Cratetis uxor, philosophiae doctrina praestabant.

Demosthenes rhetor.

Herina poetria.

Dionysius tyrannus Sicilia excidit.

## Macedonum reges.

Macedonum rex 14 Archelaus annis 4, mundi vero 5098.

*Μακεδόνων ιε' ἐβασίλευσεν Ἀμύντας ἔτος α'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ερβ'.*

*Μακεδόνων ις' ἐβασίλευσε Παυσανίας ἔτος α'. τοῦ δὲ κόσμου ἦν ἔτος ,εργ'.*

*Μακεδόνων ιζ' ἐβασίλευσεν Ἀμύντας ἔτη ε'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ερδ'.*

*Μακεδόνων ιη' ἐβασίλευσεν Ἀργαῖος ἔτη β'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ερθ'.*

*Μακεδόνων ιθ' ἐβασίλευσεν Ἀμύντας ἔτη ιβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ερια'.*

*Μακεδόνων κ' ἐβασίλευσεν Ἀλέξανδρος ἔτος α'. τοῦ δὲ κόσμου* C
*ἦν ἔτος ,ερκγ'.*

*Μακεδόνων κα' ἐβασίλευσε Πτολεμαῖος ἔτη γ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ερκδ'.*

*Μακεδόνων κβ' ἐβασίλευσε Περδίκκας ἔτη ς'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ερκζ'.*

*Μακεδόνων κγ' ἐβασίλευσε Φίλιππος ἔτη κγ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ερλγ'.*

*Οὗτος δοθεὶς πρὸς ὁμηρείαν εἰς Θήβας Ἐπαμυνόδότῳ κατὰ* V. 208
*τὰς Θήβας ἀκμάζοντι στρατηγικῷ ἀνδρὶ, τότε ζηλωτὴς γέγονε τῆς αὐτοῦ ἀρετῆς, βασιλεύσας δὲ ὄντως μετιὼν τοῖς πράγμασιν· ὅθεν καὶ τὴν Μακεδόνων ἀρχὴν μεγάλως ηὔξησε. τούτου δὲ ἀναιρεθέν-* D
*τος ὑπὸ Παυσανίου Ἀλέξανδρος παῖς αὐτοῦ ἐβασίλευσεν ὁ Πέρσας καταπολεμήσας.*

1 et 5. *ἀμυντᾶς* A. 11. *ἄλλος Ἀλέξανδρος ὁ λωρίτης* (corr. *Ἀλωρίτης*) margo A. 19. *ὁμηρείαν* Scaliger p. 56. Vulgo *ὁμηρίαν*. *ἐπ' ἀμινοδότῳ* A.

Macedonum rex 15 Amyntas anno uno, mundi vero 5102.
Macedonum rex 16 Pausanias anno uno, mundi vero 5103.
Macedonum rex 17 Amyntas annis 5, mundi vero 5104.
Macedonum rex 18 Argaeus annis 2, mundi vero 5109.
Macedonum rex 19 Amyntas annis 12, mundi vero 5111.
Macedonum rex 20 Alexander anno uno, mundi vero 5123.
Macedonum rex 21 Ptolemaeus annis 3, mundi vero 5124.
Macedonum rex 22 Perdiccas annis 6, mundi vero 5127.
Macedonum rex 23 Philippus annis 23, mundi vero 5133.

Hic Epaminadoto bellica virtute apud Thebanos praestanti obses Thebis datus, eius virtutem imitari studuit. Regno potitus, publicis rebus egregie gerendis totum se dedit; ex quo Macedonici imperii fines ample dilatavit. Eo demum a Pausania sublato, filius Alexander, qui Persas deinde subegit, in eius locum suffectus est.

*Μακεδόνων κδ' ἐβασίλευσεν ἔτη ιβ' ὁ Φιλίππου καὶ Ὀλυμπιάδος παῖς. τοῦ δὲ κόσμου ἦν ἔτος ͵ερνϛ'.*

*Ἀλέξανδρος Ἰλλυριοὺς καὶ Θρᾷκας εἷλε, Θήβας κατέσκαψε, τοὺς Δαρείου στρατηγοὺς ἐπὶ Γραννικῷ ποταμῷ Λυδῶν ἐνίκησε, Σάρδεις εἷλε, Τύρον ἐπολιόρκησεν, Ἰούδαν προσελάβετο, καὶ τὸν ἀρχιερέα Ἰαδδοὺς ἐτίμησε θύσας τῷ θεῷ, ὡς παρ' αὐτοῦ*
P. 261 *τὴν οἰκουμένην ὁμολογῶν προσειληφέναι, ἧς καὶ ἐπιμελητὴν μετὰ τῶν λοιπῶν τόπων Ἀνδρόμαχον κατέστησεν, ὃν ἀνελόντες οἱ τὴν Σαμαρέων οἰκοῦντες δίκας ἔτισαν ἐπανελθόντος Ἀλεξάνδρου ἐξ Αἰγύπτου. τὴν Σαμάρειαν πόλιν ἑλὼν Ἀλέξανδρος Μακεδόνας ἐν αὐτῇ κατῴκισεν.*

*Ἑλλήνων βασιλείας ἔτος πρῶτον ἀπὸ ἑβδόμου ἔτους Ἀλεξάνδρου ἀριθμοῦσιν· Ἕλληνες γὰρ καὶ Μακεδόνες οἱ αὐτοί.*

*Ἀπὸ ἑβδόμου ἔτους Ἀλεξάνδρου ἕως κβ' Κλεοπάτρας ἔτη τ'.*

*Ἀλεξάνδρεια ἡ κατ' Αἴγυπτον ἑβδόμῳ ἔτει Ἀλεξάνδρου ἐκτίσθη.*

B *Τῷ αὐτῷ ἔτει τοὺς ἐν Σαμαρείᾳ διὰ τὸν Ἀνδρομάχου φόνον ἐπανιὼν Ἀλέξανδρος ἐξ Αἰγύπτου ἐτιμωρήσατο, Μακεδόνας ἐγκατοικίσας τῇ πόλει αὐτῶν.*

*Τῷ αὐτῷ ἔτει ἡ ἐν Ἀρβήλοις τῆς Μηδικῆς ἤχθη μάχη, καθ' ἣν Δαρεῖος μὲν ὑπὸ τῶν περὶ Βῆσσον ἀνῃρέθη τῶν Βακτριανῶν,*

3. *Ἀπὸ Ναβονασάρου ἕως πρῶτον ἔτος Ἀλεξάνδρου ἔτη υιβ'* (*υκδ'* m.) margo A. 4. *Γρανικῷ* Scaliger. Vulgo *Γραννικῷ*. 5. *Ἰουδαίαν* Scaliger. 8. *τὴν* A. *τῶν* G. 11. *κατῴκισεν* Scaliger p. 56. Vulgo *κατῴκησεν*. 13. *τινὲς ἀριθμοῦσιν* m. 18. Vulgo *ἐγκατοικήσας*. 21. *βῆσσον* A.

Macedonum rex 24 Alexander, Philippi et Olympiadis filius, annis 12, mundi vero 5156.

Alexander Illyricos et Thraces cepit, Thebas subvertit; Darii duces ad Granicum Lydiae flumen devicit; Sardes occupavit, Tyrum obsedit; Iudaea recepta, Iaddus pontificem divinis honoribus prosequutus est, et caesis victimis deum verum coluit, cuius munere regendum orbem se accepisse praedicavit; Iudaeae vicinisque locis curatorem dedit Andromachum, quo a Samariae civibus interfecto, poenas ex Aegypto reversus exegit. Alexander capta Samaria Macedonibus habitandam concessit.

Annum Graecorum regni primum ab Alexandri septimo numerare quidam exordiuntur; Graeci enim et Macedones iidem reputantur.

Ab Alexandri anno septimo ad Cleopatrae 22, medii intersunt 300.

Anno Alexandri 7 Alexandria in Aegypto condita est.

Eodem anno reversus ex Aegypto Alexander Samariae cives caedis Andromachi reos suppliciis addixit, urbe victoribus Macedonibus ad habitandum concessa.

Eodem anno praelium in Arbelis Mediae commissum, quo Darius a Bactrianis Bessi militibus interfectus est. Alexander Babylonem et Susam

*Ἀλέξανδρος δὲ τὴν Περσικὴν βασιλείαν σὺν Βαβυλῶνι καὶ Σουσιανῇ προσηγάγετο, διαρκέσασαν ἀπὸ Κύρου ἕως Δαρείου ἔτη σλ'. ὁ αὐτὸς Ὑρκανοὺς καὶ Μάρδους ἐχειρώσατο, Βῆσσος συνελήφθη, Ἀλέξανδρος Σογδιανὴν κατεστρέψατο. ὁ αὐτὸς τὴν Ἄορνον πέτραν ἐχειρώσατο καὶ Βερναβοῦν ποταμὸν Ἰνδῶν, πρὸς δὲ Ἄμδαμιν διέβη Βραχμανόν.*

*Σπουδὴν θέμενος τὸ ,ερο' ἔτος τοῦ κόσμου κατὰ τὸ τέλος* C *Ἀλεξάνδρου τοῦ Μακεδόνος ἀποδεῖξαι συντρέχον, ὡς ἂν καὶ τὰ ἀπὸ Φιλίππου μετὰ Ἀλέξανδρον ἔτη λαμβανόμενα, κατὰ τοὺς Πτολεμαίου προχείρους τῆς ἀστρονομίας κανόνας ὁμοφωνεῖν ἐν τοῖς ἐφεξῆς ἡμῖν ἔτεσιν, εὗρον Κῦρον τὸν πρῶτον βασιλέα Περσῶν ἐν τοῖς ἀπὸ Ναβονασάρου καταγομένοις ἐπὶ Ἀλέξανδρον ἔτεσιν ἐννέα μόνον ἔτη βασιλεύσαντα Περσῶν ἐν πᾶσι τοῖς ἀκριβέσι κανονίοις. μὴ δυνάμενος δὲ Κῦρον οὕτω στοιχειῶσαι διὰ τὸ ταῖς θείαις γραφαῖς ἀντιπίπτειν, ἁπανταχοῦ γὰρ λα' ἔτη κεῖται βασιλεύσας παρὰ τοῖς ἐκκλησιαστικοῖς ἱστορικοῖς, ἐξ ἀνάγκης ἐκ τῶν Ὤχου χρόνων ἀμφιβαλλομένων παρ' ἐνίοις, ὑφελὼν ἔτη τὰ δοκοῦντα εἶναι περιττὰ Κύρου ε' μόνα ἐπ' αὐτοῦ ἐστοιχείωσα,* D *καὶ ἔστιν ὁ κανὼν σύμφωνος.*

*Ὁ περὶ τῆς βασιλείας Μακεδόνων λόγος διὰ τὴν ἀρετὴν Ἀλεξάνδρου καὶ Φιλίππου τοῦ πατρὸς αὐτοῦ τοῖς φιλομαθέσι καὶ*

1. *τὴν περσικὴν βαβυλῶνα σὺν τῇ βασιλείᾳ καὶ σουσᾶν* A. 2. *σλ'*] *σιβ'* m. 4. *Ἄορνον*] Legebatur *Ἀορνὴν*. 5. *βερναβοῦν* A. *Βαρναβοὰν* G. 6. *ἄμδαμιν* A. *Ἄβδαμιν* G. 7. *τὸ* m. *τοῦ* G. 15. *ἔτη*] Vulgo *ἔτος*. 17. *ἀμφιβαλλομένων*] Vide p. 255 d. 18. *περιττὰ*] Legebatur *περιττὰ περὶ τά*. Vide Clintoni Fastos p. 320. *κύρου ε'* A. *ε' Κύρου* G. 20. *γενεὰν καὶ ἀρετὴν* m.

et regnum omne Persicum a Cyri primordiis ad Darii exitum per annos 212 stans subegit. Idem Hircanos et Mardos debellavit, Bessum cepit, Sogdiana vastata, Aornam petram tenuit et Barnaboan Indorum flumen et ad Abdamin Brachmanem traiecit.

Annum mundi vulgarem 5170 in Alexandri magni obitum incidentem demonstrandi studio ductus, quo deinceps anni a Philippo (Aridaeo) retro Alexandrum computati cum expeditis Ptolemaei regulis et astronomicis tabulis consentire dignoscantur; annis a Nabonasaro ad Alexandrum deductis, Cyrum Persarum regem primum annos novem duntaxat regnum tenuisse ex laterculis accuratius digestis comperio. At cum Cyri regnum nequeam huiusmodi restringere spatio, ne divinae videar adversus scripturae et ecclesiasticis scriptoribus cunctis Cyri imperium annis 31 definire solitis; ex annis a quibusdam Ocho dubie concessis, qui superesse mihi credebantur, solos quindecim detractos ad Cyri annos adieci; eoque pacto consonum (ferme) in cunctis laterculum haberi dignoscitur.

De Alexandri et Philippi patris eius natalibus et virtute in litteratorum gratiam tractatum instituere necesse est; ut compendio et sub uno adspectu

περὶ ταῦτα σπουδάζουσιν ἀναγκαῖος πέφυκε. προκείσθω γοῦν
V. 209 κεφαλαιωδῶς ὑπὸ μίαν σύνοψιν ἀρχόμενος ἀπὸ Καράνου τοῦ πρώτου βασιλέως Μακεδόνων ἕως Ἀλεξάνδρου. τὸ μὲν οὖν πρῶτον γένος τοῖς βασιλεῦσι τῶν Μακεδόνων εἰς Ἡρακλέα ἀναφέρεται. μετὰ γὰρ τὴν ἅλωσιν Τροίας ἔτεσιν π' Ἡρακλεῖδαι κατέσχον τὴν Πελοπόννησον, ἐξ ὧν αἱ τῶν Κορινθίων καὶ Λακεδαιμονίων
P. 262 βασιλεῖαι πρῶται συνέστησαν. χρόνοις δὲ ὕστερον περὶ τὰ τέλη τούτων ἡ τῶν Μακεδόνων ἤρξατο βασιλεία οὕτως.

Κάρανος ὁ Ἀργεῖος ἀδελφὸς ὢν Φείδωνος ἑνὸς τῶν ἀφ' Ἡρακλέους καταγόντων τὸ γένος καὶ τῆς Ἀργείας βασιλεύοντος σπουδάζων ἑαυτῷ χώραν κατακτήσασθαι δύναμιν ἤθροισε παρὰ τοῦ ἀδελφοῦ καὶ ἐκ τῆς ὅλης Πελοποννήσου, μεθ' οἷς τοῖς ὑπὲρ

1. προκείσθω γοῦν A. προκεῖσθαι γὰρ G. 9. In margine AB hic adscriptus est regum index Κάρανος ἀπὸ Πελοποννήσου ἐκτὸς Ἄργους βασιλεύει Μακεδόνων (haec om. B.). Κάρανος ἔτη λ'. Κοῖνος (κοινὸς B. κυνὸς A.) ἔτη κη'. ὁμοῦ νη'. Τυρίμμας μγ'. (με' Goarus) ργ'. Περδίκκας μη'. ρνα'. Ἀργαῖος λδ'. (λα' A.) ρπε'. Φίλιππος λε'. (ιε' m.) ρϟ'. (ρ' G.) Ἀεροπᾶς κγ' (ιγ' m.) σιγ'. Ἀλκέτας κη'. σμα'. Ἀμύντας μβ'. σπγ'. Ἀλέξανδρος μδ'. (μγ' m.) τκς'. Περδίκκας κγ'. τμθ'. Ἀρχέλαος ιδ'. τξγ'. Ὀρέστης γ'. τξς'. Ἀρχέλαος δ'. το'. Ἀμύντας δ'. (α' B.) τοδ'. Παυσανίας α'. τοε'. Ἀμύντας α'. (β' m.) τοζ'. Ἀργαῖος β'. (Ἀργαῖος β' om. A.) τοθ'. Ἀμύντας ια'. τϟ'. (ις'. τϟβ' B.) Ἀλέξανδρος α'. (δύο m.) τϟβ'. Πτολεμαῖος ἔτη γ'. τϟε'. (Haec de Ptolemaeo om. A. In B est πτολεμαῖος.) Περδίκκας ς'. υα'. Φίλιππος κγ'. υκδ'. Ἀλέξανδρος (ὁ φιλίππου add. B.) Φίλιππος Ἀριδαῖος ζ'. (ἀριδαῖος ιζ B. ....δας ζ' G.) υμγ'. Κάσανδρος (κάσσανδρος A.) ιθ'. υξβ'. Παῖδες Κασάνδρου (κασσάνδρου A.) γ'. (δ' m.) υξε'. Δημήτριος Ἀντιγόνου (ἀντιγόνου B. ἀ.... A. α' G.) ς'. υοα'. Πύρρος (πύρος A.) μῆνας ζ'. (υοβ' addit m.) Λυσίμαχος ε'. (ε' μῆνας ε' B.) υοζ'. Πτολεμαῖος ὁ Κεραυνὸς β'. υοθ'. Μελέαγρος μῆνας β'. Ἀντίπατρος ἡμέρας με'. Σωσθένης β'. υπα'. (υπα' om. A.) Ἀντίγονος ὁ Γονατᾶς μδ'. (μδ' om. A.) φκε'. Καὶ ἀναρχίας σβ' (σβ' om. A. ἔτη β'. φκζ'. m.) Δημήτριος υἱὸς Ἀντιγόνου ι'. (ι' καὶ B.) φκζ'. (φλζ m.) Ἀντίγονος ιβ'. (ιβ' om. A.) φλζ'. (φμθ' m.) Φοῦσκος (φίλιππος m.) μβ'. φϟα'. (φ... A.) Φίλιππος (Περσεὺς m.) ι'. χα'. Περσεὺς (Ψευδοφίλιππος m.) μῆνας γ'. (γ'. om. A.)
9. Φείδωνος] Vulgo Φίλωνος. Correctum ex p. 198 a. ἀφ' B. ἀμφ' G.

a Carano Macedonum rege primo ad Alexandrum usque intuitu vel uno celerrime conspiciatur. In Herculem itaque generis originem primam Macedonum principes referunt. Annis etenim a Troiana clade circiter octoginta Peloponnesum occupaverunt Heraclidae, a quibus Corinthiorum et Lacedaemoniorum regna primitus instituta; succedente vero aetate paucis eorum adhuc inter vivos superstitibus Macedonum regnum hoc ordine principium habuit.

Caranus Argivus Phidonis Argivorum regis, eorum unius, qui Herculem generis auctorem iactant, frater, provinciae sibi comparandae cupidus, ex fratris viribus et tota Peloponneso acie conflata et in superiorem Mace-

*Μακεδονίαν τόποις ἐπιστρατεύσας, συμμαχήσας ἅμα καί τινι* B *τῶν Ὀρεστῶν λεγομένων δυνάστῃ περὶ τὴν χώραν κατὰ τῶν πλησιοχώρων βαρβάρων, τὴν ἡμίσειαν ἔλαβε χώραν καὶ πόλιν ἤγειρε κατὰ χρησμὸν καὶ βασιλείαν ἐν αὐτῇ συνεστήσατο, ἣν οἱ κατὰ γένος ἐξ αὐτοῦ καὶ μετ᾽ αὐτὸν διεδέχοντο. οὗτος ὁ Κάρανος ἀπὸ μὲν Ἡρακλέους ια' ἦν, ἀπὸ δὲ Τημένου τοῦ μετὰ τῶν ἄλλων Ἡρακλειδῶν κατελθόντος εἰς Πελοπόννησον ἕβδομος. γενεαλογοῦσι δ᾽ αὐτὸν οὕτως, ὥς φησιν ὁ Διόδωρος καὶ οἱ πολλοὶ τῶν συγγραφέων, ὧν εἷς καὶ Θεόπομπος. Κάρανος Φείδωνος τοῦ* C *Ἀριστοδαμίδα τοῦ Μέροπος τοῦ Θεοστίου τοῦ Κισσίου τοῦ Τημένου τοῦ Ἀριστομάχου τοῦ Κλεαδάτους τοῦ Ὕλλου τοῦ Ἡρακλέους. ἔνιοι δὲ ἄλλως, φησί, γενεαλογοῦσι, φάσκοντες εἶναι Κάρανον Ποίαντος τοῦ Κροίσου τοῦ Κλεοδαίου τοῦ Εὐρυβιάδα τοῦ Δεβάλλου τοῦ Λαχάρους τοῦ Τημένου, ὃς καὶ κατῆλθεν εἰς Πελοπόννησον. οὗτος ὁ Κάρανος λ' ἔτη ἐβασίλευσε· μεθ᾽ ὃν Κοῖνος παῖς ἔτη κη'. μετὰ δὲ τοῦτον ὁ υἱὸς Τυριμμᾶς ἔτη με',* D *καὶ τὴν λοιπὴν τῆς Μακεδονίας προσελάβετο χώραν, καὶ καθ᾽ ὅλου τὴν βασιλείαν ηὔξησεν. εἶτα Ἀργεῖος παῖς Τυριμμᾶ ἔτη λδ', μεθ᾽ ὃν Φίλιππος υἱὸς Ἀργείου ἔτη λε'. πρὸς οἷς Ἀλκέτας ὁ Φιλίππου*

4. *συνεστήσατο*] *κατεστήσατο* G. 6. *τημένου* B. *τιμένου* A. *Τιμένους* G. 8. *οὕτως* B. Vulgo *οὗτος*. *καὶ* addidit Scaliger p. 57. 9. *Φείδωνος*] Vulgo *Φίλωνος*. 10. *Ἀριστοδαμίδα τοῦ* Scaliger. *ἀριστοδαμηδάτου* B. *Ἀριστοδαμιδάδου* G. *μέρωπος* B. *Κισσίου*] *κισοῦ* B. *τημένου* B. *Τιμένου* G hic et infra. 13. *Κλεοδαίου* Scaliger. *κλεοδέου* B. *Κλεοδίου* G. 14. *Δεβάλλου*] *δαιβάλου* B. 16. *κοινὸς* AB. Post *ὁ υἱὸς* addebatur *Κάρανος ἔτη λ'*, quae delevit Scaliger. 18. Post *ηὔξησεν* m addit *εἶτα Περδίκκας ἔτη μη'*, et delet proximum *Τυριμμᾶ*. 19. *ἀλκετὰς* A. *ἀλκετᾶς* B.

donia provinciam expeditione suscepta, Orestarum ita dictorum principi cuidam loco illo cum vicinis bello decertanti operam locat et auxiliaribus armis sub eo meretur; acquisitae deinde regionis partem mediam sibi victor vindicat et oraculi monitu civitate constructa regnum instaurat, quod ordine deinceps posteri tenuerunt. Caranus iste ab Hercule undecimus, a Timene vero et Heraclidis in Peloponnesum olim irrumpentibus septimus numeratur. Generis eius seriem, teste Diodoro, scriptorum plerique, quorum unus est Theopompus, ita describunt. Caranus, Phidonis frater, filius Aristodamidae, filii Meropis, filii Theostii, filii Cissii, filii Timenis, filii Aristomachi, filii Cleodatis, filii Hylli, filii Herculis. Aliter, inquit iterum, generis laterculum disponunt alii, Caranum Poeantis filium asserentes ex Croeso nati, cuius pater Cleodius, Cleodii Eurybiadas, tum huius Deballus, huius iterum Lacharus ac tandem Timenes, qui cum aliis in Peloponnesum descendit. Caranus iste annis triginta regnum tenuit; quem Coenus filius annis viginti octo excepit; post hunc Tyrimas annis 45 reliquam Macedoniam imperio adiunxit et quaqua versus auxit. Deinde Perdiccas annis 48, tum Argeus filius annis 34 successit Philippus Argeo natus annis 35, Aeropas suffectus est

υἱὸς ἔτη . . . . εἶτ᾽ Ἀμύντας υἱὸς Ἀλκέτου ἔτη . . . . ἑξῆς Ἀλέξανδρος
Ἀμύντου. οὗτος κατὰ τὴν Ξέρξου διάβασιν Πέρσαις ἔδωκεν
ὕδωρ καὶ γῆν. οὗτος ἔσχε δύο υἱούς, Περδίκκαν καὶ Ἀμύνταν,
ὧν Περδίκκας μὲν ἐβασίλευσεν ἔτη * * Ἀμύντας δὲ πάντα τὸν
βίον ἰδιωτικῶς ζήσας κατέλιπεν υἱὸν Ἀριδαῖον, οὗ παῖς γέγονεν
P. 263 Ἀμύντας ἕτερος ὁμώνυμος τῷ πάππῳ, περὶ οὗ ἑξῆς λεχθήσεται,
πῶς ἐπὶ τὴν βασιλείαν παρῆλθε. μετὰ γὰρ Περδίκκαν Ἀρχέ-
λαος ὁ υἱὸς αὐτοῦ ἐβασίλευσεν ἔτη ιδ', πρὸς ὃν καὶ Εὐριπίδης
τραγῳδοποιὸς παραγενηθεὶς πάντα τὸν χρόνον διῆξε τιμώμενος
παρ᾽ αὐτῷ. Ἀρχελάου δ᾽ ἀναιρεθέντος διεδέξατο τὴν βασιλείαν
Ὀρέστης υἱὸς αὐτοῦ ἔτη δ'. ὃν ἀνεῖλεν Ἀερόπας ἐπίτροπος καὶ
ἐβασίλευσε μετ᾽ αὐτὸν ἔτη δ'. μεθ᾽ ὃν Ἀμύντας ἔτος α' βασι-
λεύσας ὑπὸ Μακεδόνων ἐξεβλήθη. καὶ Ἀμύντας ὁ προρρηθεὶς
V. 210 καθείρχθη, υἱὸς μὲν Ἀριδαίου τοῦ υἱοῦ Ἀμύντου τοῦ Ἀλεξάν-
δρου, καθ᾽ ὅν, ὡς προείρηται, γέγονεν ἡ Ξέρξου διάβασις ἐπὶ
B τὴν Ἑλλάδα. Ἀμύντου τοίνυν τούτου βασιλεύσαντος ἔτη ιβ' διε-
δέξατο τὴν ἀρχὴν Ἀλέξανδρος υἱὸς αὐτοῦ πρῶτος ἔτος α'. μετὰ
δὲ τοῦτον Πτολεμαῖος ἦρξεν ὁ λεγόμενος Ἀλωρίτης, ἀλλότριος
τοῦ γένους ἔτη * *. τοῦτον ἀνελὼν Περδίκκας υἱὸς καὶ αὐτὸς

1. Lacunae indicium om. A. ἀμυντᾶς AB et sic, vel ἀμυντὰς, etiam infra. Puncta om. AB. 3. περδικκᾶν καὶ ἀμυντὰν B. 4. περδικκᾶς B. μὲν om. G. ἔτη . . . B. ἔτη A. ἔτη [κγ'] G. 5. κατέλειπεν B. ἀρίδαιον AB. 8. εὐριππίδης τραγοποιὸς A. 10. διεδέξαντο B. 11. Ἀερόπας] Ἀρχέλαος m. 13. προρηθεὶς B. 16. Post Ἑλλάδα addit m διεδέξατο Παυσανίας ἔτος α'. εἶτα Ἀμύντας ἔτη ε'. εἶτα ἄλλος Ἀργεῖος β'. εἶτα ἄλλος Ἀμύντας ιβ'. 19. ἔτη A. ἔτη . . B. ἔτη γ' G.

annis 23, Alcetas Philippi annis 28, tum filius Alcetae Amyntas annis 42, excepit Alexander Amyntae filius annis 44, qui circa Xenophontis expeditionem Persis aqua et terra cessit. Hic filios duos habuit Perdiccam et Amyntam, quorum prior annis 23 regnavit; Amyntas vitam agens privatam filium reliquit Aridaeum, ex quo natus Amyntas alter eiusdem cum avo nominis, de quo in sequentibus disseretur, et qua ratione ad regnum evectus fuerit. Perdiccae etenim regni successor extitit filius Archelaus annis 14, ad quem Euripides tragoediarum scriptor profectus vitam omnem apud eum exegit summis honoribus felicem. Archelao sublato regnum collegit Orestes annis quatuor; quem procurator Archelaus occidit et solium annis 4 occupavit; post quem Amyntas anno unico regno potitus a Macedonibus eiectus. Amyntas ille filius Aridaei, qui Amyntae alterius; Amyntas vero Alexandri in custodiam missus est; eius aetate, ut praemissum, in Graeciam Xerxes suscepit expeditionem. Successit Pausanias anno uno, Amyntas 5, deinde Argeus 2, tum Amyntas alter 12, Amynta isto annis 12 sceptris potito filius eius maior Alexander imperium tenuit anno uno; post quem imperavit Ptolemaeus ab eius genere alienus, Alorites dictus, annis tribus, quo perempto Perdiccas alter Amyntae filius annis sex.

Ἀμύντου ἔτη κγʹ κρατήσας τῆς βασιλείας Μακεδόνων, δεόντως τε ἅπαντα πράξας καὶ κατὰ τάξιν μεγίστην, πασῶν τῶν κατὰ τὴν Εὐρώπην ἀναδείξας τὴν Μακεδόνων ἀρχήν, οὗτος τοὺς περὶ τὴν χώραν ἅπαντας ἐδουλώσατο πολεμίους, βουληθεὶς καὶ αὐτοὺς Ἕλληνας ὑπὸ χεῖρα ποιήσασθαι, μεγάλην κτησάμενος δύναμιν, καὶ Τριβάλλους ὑποτάξας. ἐπ' αὐτοῦ Πλάτων μὲν τελευτᾷ καταγηράσας, Ἀριστοτέλης δ' ὁ Σταγειρίτης Νικομάχου παῖς ἤν- C θει, οὗ καὶ ἀκροατὴς γέγονεν Ἀλέξανδρος ὁ Φιλίππου τούτου παῖς ἐξ Ὀλυμπιάδος γαμετῆς, ἣν Ἕλληνές φασιν ἐξ Ἀχιλλέως τοῦ Θέτιδος φέρειν τὸ γένος. Φίλιππος οὗτος πρὸ μικροῦ χρόνου τῆς τελευτῆς τὸ Βυζάντιον ἐπολιόρκησε· συμμαχούντων δὲ Βυζαντίοις Ἀθηναίων διὰ Χάρητος στρατηγοῦ ἀποτυχὼν ὁ Φίλιππος ἐπὶ Χερρόνησον χωρεῖ, καὶ ταύτην λαβὼν ἐπανῆλθε. τότε καὶ Ἀθηναίοις σπένδεται βασιλεύσας, ὡς προλέλεκται, ἔτη κγʹ, καὶ ἀναιρεθεὶς ὑπὸ Παυσανίου κατὰ τὴν ριʹ ὀλυμπιάδα ἀρχομένην, καθ' ἣν Ἀλέξανδρος παῖς ἐβασίλευε Μακεδόνων. μετὰ γὰρ D τὸν πατέρα Φίλιππον ἀναδέδεικται κατὰ τὸ πρῶτον ἔτος Δαρείου Ἀρσάμου Περσῶν βασιλέως, μετὰ Κῦρον γεγονότος.

Μέχρι τοῦ νῦν τῆς ἀρχῆς Ἀλεξάνδρου γίνεται χρόνος ἀπὸ μὲν πρώτης ὀλυμπιάδος καὶ αὐτῆς ἀρχομένης, καθ' ἣν Ῥωμύλος Ῥώμην κτίζει, ἔτη υκʹ. ἀπὸ δὲ Τροίας ἁλώσεως ἔτη ωʹ.

1. Post Ἀμύντου addit m κατέσχεν τὴν βασιλείαν ἔτη ϛʹ. εἶτα Φίλιππος. κρατήσας] ἐκράτησεν G. 2. τε A. δὲ G. 3. Post ἀρχὴν lacunam indicat Goarus. τοὺς om. G. 12. τῶν Ἀθηναίων G. 13. Χερόνησον B. 15. ριʹ] ρθʹ m. 16. ἐβασίλευε B. ἐβασίλευσεν G. 17. ἀναδέδεικται βασιλεὺς m. 20. καθ' ἣν — κτίζει delet Scaliger. ῥώμυλος B. Ῥώμυλλος G. 21. υκʹ] υλγʹ m. ωʹ] ωκηʹ m.

Philippus demum regnum Macedonum annis 23 assequutus est. Regnum cum virtute et ordine administravit et Macedonicam potestatem omnium per Europam maximam effecit . . . . . . . . . . . . Hostes circa se positos omnes imperio subiecit, Graecosque ipsos sub iugum mittere aggressus est, ac tandem Triballos in servitutem egit. Eius aetate Plato senio confectus moritur. Aristoteles autem Stagira patria, patre Nicomacho natus florebat, cuius auditor fuit Alexander Philippi ex coniuge Olympiade filius, quem proprium genus in Achillem Thetide natum Graeci narrant retulisse. Philippus iste brevi ante obitum intervallo Byzantium obsedit. Atheniensibus porro armis et opibus Byzantios Charete duce iuvantibus, spe frustratus, ad Chersonesum applicat, eaque capta remeavit in patriam; quo tempore foedus ac pacem cum Atheniensibus iniit; demumque regnum, ut superius patuit, annis 23 moderatus a Pausania occisus est Olympiade 109 ineunte, qua filius Alexander Macedonum imperium collegit; mortuo quippe patre rex declaratus est circa Darii filii Arsami post Cyrum principem Persarum regis annum primum.

Ab Olympiadis primae exordiis ad praesens usque Alexandri imperium annorum 433 medium spatium interiectum est; a Troiae vero excidio annorum 828.

Ἀλέξανδρος οὖν κʹ ἄγων ἔτος, κατὰ Δέξιππον, πᾶσαν ἄσκησιν ἠσκημένος σωματικὴν, αὐτοῦ τε γνησιώτατος Ἀριστοτέλους γεγονὼς τοῦ δαιμονιῶντος φοιτητὴς, ἐπὶ τὴν πατρῴαν παρῆλθε βασιλείαν.
P. 264 καὶ πρῶτος μὲν Θρᾴκης καὶ Ἑλλάδος ἁπάσης πλὴν Λακεδαίμονος μόνης κρατήσας, εἰς τὴν μεγάλην Ἀσίαν διὰ τὸν Περσικὸν περαιοῦται πόλεμον, ἐν Γρανικῷ τε ποταμῷ πρότερον καταγωνισάμενος τῶν Περσικῶν στρατευμάτων, ἔπειτα καὶ ἐν Ἰσσῷ τῆς Κιλικίας αὐτῷ πολεμεῖ Δαρείῳ, καὶ τελευταῖον εἴσω χωρεῖ τῆς Ἀσσυρίας. καταλαβὼν δὲ Δαρεῖον ὑπὸ Βησσοῦ τινος τῶν ἀρχόντων ἀναιρεθέντα θάπτει μεγαλοπρεπῶς, ἔχων ἤδη τὴν αὐτοῦ γαμετὴν ἀπὸ τῆς ἐν Ἰσσῷ μάχης, σὺν τῇ μητρί τε καὶ τοῖς τέκνοις. βασιλεύει δὲ βασιλείαν Περσικὴν ἅμα τῇ βαρβάρῳ διαίτῃ. γενόμενος δὲ καὶ ἐν Καυκάσῳ κρατεῖ τῶν αὐτόθι βαρβάρων
B Μαιώτιδος λίμνης ἐλθών. κἀκεῖθεν μεταχωρήσας ἐπὶ τοὺς Ἰνδοὺς παντός τε κρατήσας ἔθνους Ἰνδικοῦ μέχρι ποταμοῦ Γάγγου πάλιν ἀναζεύγνυσι διὰ τοῦ Ἰνδοῦ ποταμοῦ μέχρι τῆς Ἰνδικῆς θαλάσσης, καὶ οὕτως εἰς τὴν Ἀσσυρίαν ἐπάνεισι Βαβυλῶνα, πᾶσαν ἔχων Εὐρώπην ὑπὸ χεῖρα καὶ τὴν Ἀσίαν. τελευτᾷ δὲ τὸν βίον ἐκεῖ νόσῳ καμών. θάπτεται δὲ μετὰ βραχὺ τὸ σῶμα εἰς τὴν κατ' Αἴγυπτον Ἀλεξάνδρειαν, ἣν μετὰ τὴν ἐν Ἰσσῷ μάχην αὐτὸς ᾠκοδομήσατο, Τύρον καὶ Γάζαν καὶ τὰς λοιπὰς πόλεις παραστησάμενος, πλὴν Ἱεροσολύμων, διὰ τὴν ἑξῆς παρατεθησομέ-

4. πρῶτος B. πρῶτον G. 7. ἐν νήσῳ τῆς AB. 8. δαρείῳ B. Δαρεῖον G. 11. Ἰσσῷ Scaliger. Vulgo νήσῳ. 12. βαρβάρῳ διαίτῃ Scaliger. βαρβαρώδει (βαρβαρώδη) ἔτη . . . vulgo. Lacunae signa om. A. ἔτη ϛʹ supplet m. 14. νοιώτιδος B. 20. Ἰσσῷ Scaliger. Vulgo νήσῳ.

Alexander vicesimum, ut vult Dexippus, agens annum, omni corporis exercitamento et habitu bene instructus, ipsiusque Aristotelis naturae genii nuncupati necessitudine familiarissime usus, paternum solium conscendit. Ac primum quidem Thraciae totiusque Graeciae potitus imperio, de Persico bello sollicitus traiicit in Asiam et ad Granicum Phrygiae flumen Persarum copias fudit, mox ad Issum Ciliciae pariter fluvium ipso Dario expugnato in mediam Assyriam penetrat; Darii vero a Besso quopiam satrapa interfecti nece comperta, funus dignis honoribus prosequutus est, defuncti coniuge, matre et liberis data ad Issum pugna iam captis. Persicum imperium barbarico gaudens victu annis 6 moderatus est. Ad Caucasum profectus, Barbaros ad Maeotim paludem positos profligat. Hinc versus Indos digressus nationes Indiae cunctas ad Gangem usque fluvium superat, Indoque fluvio navigiis traiecto, ad Indicum mare deflectit; atque ita in Assyriam Babylonem revertitur, Europa et Asia imperio suo subactis. Ibi aegritudine correptus vita fungitur, brevique post spatio Alexandriam sepeliendus effertur, quam urbem parta ad Issum victoria condidit, cum Tyro, Gaza et civitatibus reliquis, dempta Hierosolymorum urbe propter causam in sequentibus exponendam, sub potestatem missis, e Pa-

νην αἰτίαν, ἐκ Παλαιστίνης εἰς Αἴγυπτον ἐλθών· θάπτεται οὖν
τὸ σῶμα σταλὲν εἰς Ἀλεξάνδρειαν ὑπὸ Ἀριδαίου ἀδελφοῦ αὐτοῦ
πρὸς πατρός, ὃς μετὰ Ἀλέξανδρον ἦρξε Μακεδόνων, μετονομα- V. 211
σθεὶς ὑπ' αὐτῶν Φίλιππος, σὺν Ἀλεξάνδρῳ ἐκ Ῥωξάνης τῆς C
Δαρείου παιδὸς τοῦ μεγάλου Ἀλεξάνδρου, ἐγγὺς ἔτη ζ΄. ἀπὸ τῆς
ἀρχῆς οὖν τούτου οἱ χρόνοι τῶν προχείρων κανόνων κατὰ Πτο-
λεμαῖον ληφθέντες καὶ τὰ κατὰ ἀποκατάστασιν Αἰγυπτιακοῦ
ἔτους ψηφίζονται.

Ὅσα μὲν οὖν ἐχρῆν πρὸ τῆς Ἀλεξάνδρου βασιλείας περὶ τῆς
Μακεδόνων ἀρχῆς παραθέσθαι συνοπτικῶς ἤδη προτέτακται μέ-
χρις αὐτοῦ. λοιπὸν δὲ καὶ τοὺς μετ' αὐτὸν διαδεξαμένους τὴν ἡγε-
μονίαν ἐπισημοτέρους ἄξιον εἰπεῖν καὶ αὐτοὺς ἐν κεφαλαίῳ. μετὰ
τὴν Ἀλεξάνδρου τελευτὴν διαιροῦνται τὴν ἡγεμονίαν Μακεδόνων D
μέν, ὡς ἤδη λέλεκται, Ἀριδαῖος ἀδελφὸς αὐτοῦ πρὸς πατρὸς
ἐκ Φιλίννης τῆς Θετταλῆς, ὁ ἐπικληθεὶς Φίλιππος, πόθῳ τῶν
Μακεδόνων τῷ πρὸς πατέρα Φίλιππον, καὶ Ἀλέξανδρος παῖς
Ἀλεξάνδρου ἐκ Ῥωξάνης τῆς Ὀξυάρτου· εἶτα καὶ οἱ λοιποὶ καθ'
ἑαυτοὺς ἕκαστος, ὧν οἱ προὔχοντες ἦσαν Πτολεμαῖος ὁ Λάγου
κληρωσάμενος τὴν Αἰγύπτου βασιλείαν, Σέλευκος ὁ Νικάτωρ
Συρίας καὶ Κιλικίας μέχρι Βαβυλῶνος, Περδίκκας ὁ λαβὼν
παρὰ Ἀλεξάνδρου τὸν δακτύλιον ἐπὶ τῆς μεγάλης τάττεται Φρυ-
γίας, Λυσίμαχος τὴν εἰς δεξιὰ τοῖς πλέουσι τὸν Πόντον ἡγεμο- P. 265

7. καὶ τὰ B. τὰ om. G. 11. τοὺς B. τοῖς G. 15. φιλλίνης B. 17. Ἀλεξάνδρου om. G. 18. ἕκαστος om. B. 21. τὸ δακτυλίδιον G.

laestina in Aegyptum iter fecit. Corpus igitur Alexandriam delatum ab Aridaeo fratre eodem secum patre nato sepulcro mandatur. Aridaeus iste, cui Philippi quoque nomen a Macedonibus inditum, una cum Alexandro e Roxane Darii filia, Alexandro magno patri suscepto annos circiter septem Macedonicum rexit imperium. Ab illius itaque tempore regularum expeditarum anni ex Ptolemaei mente computandi, nec non ad anni Aegyptiaci periodum et reparationem accommodandi usurpantur.

Quaecunque oppido ante Alexandri tempora de Macedonum imperio recensenda videbantur brevi compendio ad eius usque regnum sunt praemissa. Nunc de insignibus illis viris, qui post eum imperium exceperunt, exigua narratione nonnihil in medium proferre operae pretium existimo. Alexandro mortuo, Macedonum imperium dividunt, ut praemisimus, Aridaeus eius ex patre frater, cognomento Philippus, Philinna Thessala natus, (Macedonibus ipsis patris Philippi et Alexandri fratris memoriae bene affectis illud deferentibus), et Alexander adhuc puer Roxana Oxyartae filia et ipso Alexandro ortus; partem deinde propriam singuli quique ducum praestantiores arripiunt; ac Ptolemaeus quidem Lagi filius Aegypti regnum sortitur, Seleucus Nicator Syriam et Ciliciam usque Babylonem, Perdiccas cui anulum Alexander dederat magnae Phrygiae praeficitur, Lysimachus Pontum adnavigantibus provinciam a dextris sitam occupat, Antigo-

νίαν παραλαμβάνει, Ἀντίγονος Φρυγίας τῆς μικρᾶς καὶ Παμφυλίας καὶ Λυκίας ἄρχει, Εὐμένης Παφλαγονίας καὶ Καππαδοκίας κληροῦται, Κάσανδρος ὁ Ἀντιπάτρου σὺν τῷ πατρὶ τὴν Ἀριδαίου καὶ Ἀλεξάνδρου διοικεῖ βασιλείαν ἐν Μακεδόσι, καὶ τῆς Ἑλλάδος κρατεῖ. ταῦτα πάντα συντρέχει κατὰ τὴν ριε΄ ὀλυμπιάδα, καθ' ἣν ἀρχομένην, ἢ πρὶν ἄρξασθαι, τὸν Ἀριδαῖον Ὀλυμπιὰς κτείνει ἡ Ἀλεξάνδρου μήτηρ ἡ παρὰ Αἰακοῦ σταλεῖσα τοῦ βασιλέως Ἠπείρου, ἢ τοῦτον φυγοῦσα καὶ πρὸς Μακεδόνας ἐλθοῦσα· διττῶς γὰρ ἱστορεῖται. τοῦτον μὲν οὖν ἀνελοῦσα σὺν τῇ γαμετῇ ἑβδόμῳ ἔτει τῆς μετὰ Ἀλέξανδρον βασιλείας αὐτοῦ
B καὶ αὐτὴ μετὰ βραχὺν χρόνον ἀναιρεῖται ὑπὸ Κασάνδρου τοῦ Ἀντιπάτρου· βασιλεύει δὲ Μακεδόνων ἀρξαμένη σὺν δύο παισὶν Ἀλεξάνδρου, τῷ τε ἐκ Φαρσίνης τῆς Φαρναβάζου Ἡρακλεῖ καλουμένῳ καὶ Ἀλεξάνδρῳ τῷ προρρηθέντι ἐκ Ῥωξάνης τῆς θυγατρὸς Ὀξυάρτου Βακτρῶν βασιλέως, οὓς καὶ αὐτοὺς ὁ Κάσανδρος ἀνελών, τὴν δὲ Ὀλυμπιάδα καὶ ἄταφον ἐκρίψας, ἑαυτὸν Μακεδόσι βασιλέα ἀνηγόρευσε, γήμας τὴν Φιλίππου τοῦ βασιλέως γαμετὴν Θεσσαλονίκην, καὶ βασιλεύσας ἔτη ιθ΄, φθινάδι τε νόσῳ διαλυθείς, ἐπὶ τρισὶν υἱοῖς, Φιλίππῳ, Ἀλεξάνδρῳ καὶ Ἀντιπάτρῳ· ὧν Φίλιππος πρῶτος ἦρξε μετὰ Κάσανδρον

5. ριε] ριδ΄ G. 6. ἀρχομένη ἢ πρὶν AB. 7. κτείνει A. κτείνη B. κτείνεται G. Αἰακοῦ] ἐάκου B hic et infra. 8. ἢ B. ἡ A. ὡς G. 10. ἑβδόμῳ ἔτει] ζ΄ ἔτη A. 11. μετὰ om. G. βραχὺν Scaliger p. 58. Vulgo βραχύ. 13. Φαρσίνης] Βαρσίνης m. Φαρναβάζου] φαρναζάβου AB. Φαρνεζάβου G. Ἀρταβάζου m. 14. προρηθέντι B. 15. αὐτοὺς A. αὐτὸς G. 17. τοῦ om. B. 18. φθεινάδι B. 19. φιλίππῳ B. Φιλίππου G. 20. Κάσανδρον] Κάσσανδρον G.

nus in minore Phrygia Pamphylia et Lycia regni figit sedem, Paphlagonia et Cappadocia Eumeni in sortem contigit; Cassander, Antipatri filius, Alexandri et Aridaei regnum una cum patre administrat, Macedonibus et subiectae sibi Graeciae dominatur. In Olympiadem 114 incurrunt haec, sub cuius exordium, vel etiam prius, Olympias Alexandri mater ab Aeaco Epiri rege, simulata ab eo fuga, dimittitur et ad Macedones profecta Aridaeum interficit. Una namque non est huius rei narratio, sed varia. Eo igitur cum coniuge Olympiadis arte sublato, anno post Alexandri obitum et eius regni septimo, exigua temporis mora interposita, a Cassandro Antipatri filio ipsa Olympias caedis praefatae poenas exigitur et ad necem datur. Imperavit illa Macedonibus cum Alexandri liberis duobus, uno Barsines Artabazi filia nato, cui nomen Hercules; altero Roxanes Oxyartae Bactrorum regis filiae et Alexandri copula suscepto, Alexandri quoque nomini insigni; quos demum Cassander interfecit, et Olympiadis corpore absque sepultura proiecto, Thessalonica Philippi regis uxore sibi ducta se ipsum Macedonibus regem declaravit. Annis 19 regno potitus tabido morbo conficitur, liberis tribus Philippo, Alexandro et Antipatro, relictis. Philippus natu maximus post Cassandri decessum arripit tyranni-

τὸν πατέρα Μακεδόνων ἐν Ἐλατείᾳ θανών, Ἀντίπατρος δὲ Θεσ- C
σαλονίκην ἀνελὼν τὴν ἰδίαν μητέρα συμπράττουσαν Ἀλεξάνδρῳ
τἀδελφῷ περὶ τῆς βασιλείας εἰς Πόντον φεύγει πρὸς Λυσίμαχον καὶ
ἀναιρεῖται ὑπ' αὐτοῦ, καίπερ γήμας θυγατέρα αὐτοῦ. Ἀλέξανδρος
δὲ Λυσάνδραν τὴν Πτολεμαίου γαμεῖ, παρὰ Δημητρίου δὲ ἀναι-
ρεῖται τοῦ Πολιορκητοῦ συμμαχήσειν κατὰ Ἀντιπάτρου τοῦ νεω-
τέρου ἀδελφοῦ τοῦτον προσκαλεσάμενος, καὶ ἄρχει Μακεδόνων
Δημήτριος. ὁ Ἀντιγόνου μὲν παῖς οὗτος, τοῦ τὴν μικρὰν κλη-
ρωσαμένου Φρυγίαν, ὡς ἀνωτέρω προείρηται, φοβερωτάτου
δὲ τῶν τότε κατὰ τὴν Ἀσίαν βασιλέων, ὃς καὶ ἐν Φρυγίᾳ θνήσκει
πάντων αὐτῷ διαφόρων ἐπιτεθέντων δυναστῶν ἔτη ιη' τῆς βασι- V. 212
λείας κρατήσας, Πολιορκητὴς δὲ ἐπικληθείς, διὰ τὸ μετὰ θά- D
νατον Ἀντιγόνου τοῦ πατρὸς ἐν Ἐφέσῳ διασωθῆναι φυγάς, ἡνίκα
τῆς ὅλης Ἀσίας ἀποσφαλεὶς ὤφθη δεινότατος ἐν τῇ πολιορκίᾳ
βασιλεύσας ἁπάντων τῶν τηνικαῦτα· οὗτος τῆς μὲν Ἀσίας τῆς
μικρᾶς ἔτη ιζ', Μακεδόνων δὲ ς' ἐβασίλευσεν ἔτη μόνα, μετὰ τὸ
ἀνελεῖν Ἀλέξανδρον τὸν Κασάνδρου, καὶ ἐκβάλλεται τῆς ἀρχῆς
ὑπὸ Πύρρου βασιλέως Ἠπείρου, υἱοῦ μὲν Αἰακοῦ τοῦ Ἠπειρώ-
του δυνάστου διαδεξαμένου τὴν Ἠπειρωτικὴν ἀρχὴν ἀπ' αὐτοῦ,
εἰκοστοῦ δὲ καὶ τρίτου ἀπὸ Ἀχιλλέως τοῦ Θέτιδος καὶ Πηλέως,
ἀνδρὸς καὶ χειρὶ δυνατοῦ καὶ εὐβουλίας στρατηγικοῦ· ὃς Πύρρος P. 266
ἐκβαλὼν Δημήτριον, ὡς προσηκούσης αὐτῷ τῆς Μακεδόνων

1. τὸν πατέρα Μακεδόνων om. G. ἐλατίᾳ B. 3. τ' ἀδελφῷ B. Vulgo τῷ ἀδελφῷ. εἰς πόντον B. Vulgo εἰκόντων. 5. τὴν Λυσάνδραν τὴν G. δὲ om. G. 7. προσκαλεσαμένου G. 9. φοβερώτατος m. 12. διὰ τὸ — ἀποσφαλεὶς delet m et addit διότι ante ὤφθη. 13. ἡνίκα Scaliger. Vulgo ἐνίκα. 18. τοῦ add. B. 21. εὐβουλίᾳ G. 22. ἐκβαλὼν B. ἐκβάλλων G.

dem et Elatiae moritur; Antipater Thessalonicam propriam matrem ad fratrem Alexandrum regnum transferre molientem interimit et ad Lysimachum se recipiens, ab eo, coniugem licet eius filiam haberet, neci traditur. Alexander denique Lysandra Ptolemaei filia sibi copulata a Demetrio Poliorceta postulatis ab eo adversus Antipatrum fratrem iuniorem auxiliis perimitur; Demetrius vero Macedonum praeficitur imperio. Antigoni minorem Phrygiam, ut supra praemissum est, sortiti fuit hic filius regum omnium sui temporis per Asiam summe tremendus, quique variorum principum armis lacessitus, regno annis 18 obtento diem obit in Phrygia. Poliorcetis vero nomen, quasi dicas obsessorem, accepit, quod omnes temporis sui duces urbium obsidendarum peritia superaret. Idem Asiae minori annos 17 Macedonibus 6 duntaxat post necem Alexandro Cassandri filio illatam imperat; et demum a Pyrrho Epiri rege Aeaci Epirotae satrapae, cuius in Epiroticam regionem potestatem exceperat, filio, regia sede deturbatur. Aeacus ille Pyrrhi pater ab Achille Thetidis et Pelei filio tertius et vicesimus rex ortus est, vir manuum robore et militari consilio praeclarus. Pyrrhus ille Demetrio expulso, Macedonum regnum Philippi haeredum defectu,

ἀρχῆς, μετὰ τὸ γένος Φιλίππου διὰ Ὀλυμπιάδα τὴν Ἀλεξάνδρου τοῦ κτίστου μητέρα φέρουσαν ἐκ Πύρρου τοῦ καὶ Νεοπτολέμου παιδὸς Ἀχιλλέως τὸ γένος, ἐκράτησε Μακεδόνων μῆνας ζ΄. Λυσίμαχος δὲ ὁ Θετταλὸς Ἀγαθοκλέους παῖς, εἷς τῶν Ἀλεξάνδρου δορυφόρων, Θρᾴκης τε καὶ Χερρονήσου τῆς λοιπῆς τε βασιλεύων ὁμόρου χώρας, τῷ Πόντῳ καὶ τῇ Μακεδονίᾳ ταύτῃ ἐπιδραμὼν ὡς γείτονι, Πύρρον μὲν διεδέξατο, αὐτὸς δὲ ἐβασίλευσε Μακεδόνων ἔτη ε΄ καὶ μῆνας ϛ΄. οὗτος ἡττηθεὶς ἐν τῇ πρὸς Σέλευκον
B τὸν Νικάτορα μάχῃ βασιλέα Συρίας καὶ Ἀσίας, τὸν αἰχμάλωτον ἑλόντα καὶ τὸν Πολιορκητὴν Δημήτριον, ἐκπίπτει τῆς ἀρχῆς. φανεροῦ δὴ ὄντος τοῦ τρόπου, καθ᾽ ὃν Ἀντίγονός τε ὁ τῆς μικρᾶς Φρυγίας καὶ Παμφυλίας καὶ Λυκίας ἄρξας εὐθὺς μετὰ Ἀλέξανδρον τέθνηκε, καὶ ὅπως ὁ τούτου παῖς Δημήτριος δόλῳ κρατήσας Μακεδόνων ὑπὸ Πύρρου ἐξεβλήθη, αἰχμάλωτός τε ἁλοὺς ὑπὸ Σελεύκου ἐν Κιλικίᾳ τηρούμενος βασιλικῶς θνήσκει· καὶ αὖθις ὁ Λυσίμαχος Πύρρον ἐκβαλὼν Μακεδόνων ἐβασίλευσεν
C ὑπὸ Σελεύκου τε τοῦ Νικάτορος καταπολεμηθεὶς ἐκπέπτωκε τῆς ἀρχῆς. ὑπολείπεται δεῖξαι καὶ Σέλευκον ὅπως τῆς βασιλείας ἔτυχε. Πτολεμαῖος ὁ Λάγου πρῶτος τῆς Αἰγύπτου μετὰ Ἀλέξανδρον βασιλεύσας ἔτη μ΄, ἐλθὼν εἰς Παλαίγαζαν συνάπτει μάχην Δημητρίῳ τῷ Ἀντιγόνου, καὶ νικήσας ἀναδείκνυσι Σέλευκον βασιλέα Συρίας καὶ τῶν ἄνω τόπων. Σέλευκος δ᾽ ἀναβὰς μέχρι

3. Μακεδόνων] μακεδόνας A. 8. ε΄] β΄ m. 16. ἐκβαλὼν B. ἐκβάλλων G. 17. τε om. G. 20. βασιλεύσας] ἐβασίλευσεν G. Παλαίγαζαν Scaliger. Vulgo πάλαι Γάζαν (γάζην B).

tanquam proprium sibi arrogat, Olympiadis nimirum, quae Alexandri conditoris mater fuit et in Pyrrhum, qui etiam Neoptolemus, Achillis filium genus referebat, iure ad se derivato, in Macedonum imperium succedit et obtinet mensibus 7. Lysimachus autem Thessalus Agathoclis filius unus ex Alexandri satellitibus Thraciam et Chersonesum reliquam ceu vicinam regionem tenens, in Pontum et Macedoniae vicinas provincias involans Pyrrhum in imperio excepit, ac Macedones annos duos et menses senos rexit. Hic cum Seleuco Nicatore Syriae et Asiae principe Poliorcetem Demetrium captivum olim sibi subiiciente, collatis signis superatur et regno exuitur. Nunc sane qua ratione Antigonus Phrygiae minoris Pamphyliae et Lyciae principatu comparato, haud diu post Alexandrum mortem oppetierit, utque filium eius Demetrium Macedonum imperio dolis potitum Pyrrhus regia exturbaverit, idemque a Seleuco captus, in Cilicia sub custodia fuerit asservatus, in qua vitam finivit, nullum ignorare arbitror; et ut rursum Lysimachus eiecto Pyrrho Macedones subiectos fecerit; idemque a Seleuco Nicatore devictus exciderit imperio neminem fugit. Quibus tantum artibus Seleucus in regem fuerit promotus, superest demonstremus. Ptolemaeus Lagi filius post Alexandrum primus imperavit annis quadraginta. Gazamque veterem profectus cum Demetrio Antigoni filio conflictu inito victor Seleucum Syriae et superiorum locorum regem declarat. Seleucus autem ex-

Βαβυλωνίας καὶ κρατήσας τῶν βαρβάρων βασιλεύει ἔτη λβ'. διὸ καὶ Νικάνωρ ἐπεκλήθη. τῷ γοῦν λβ' ἔτει τῆς βασιλείας αὐτοῦ, οε' τῆς ὅλης ζωῆς, Λυσίμαχον ἐκβαλὼν τῆς Μακεδονικῆς ἀρχῆς, ἐπαρθεὶς δὲ ἐπὶ τῇ νίκῃ καὶ αὐτὸς ἀναιρεῖται πρὸς Πτολεμαίου D τοῦ Λάγου τοῦ Κεραυνοῦ λεγομένου, μέλλων καὶ Μακεδόνων ἄρχειν, καὶ κρατεῖ Μακεδόνων Πτολεμαῖος. οὗτος ὁ Λάγου καὶ Εὐρυδίκης παῖς τῆς Ἀντιπάτρου Σέλευκον ἀνελὼν εὐεργέτην τε ὄντα ἑαυτοῦ καὶ ἐκ φυγῆς ὑποδεξάμενον ἔτος ἓν καὶ μῆνας ε' ἀναιρεῖται καὶ αὐτὸς, Γαλάταις πολεμῶν, κατακοπεὶς μετὰ τῆς δυνάμεως καὶ τῶν ἐλεφάντων. κατὰ δὲ τοὺς χρόνους τούτους τῶν Γαλατῶν ἐπικειμένων τῇ Μακεδονίᾳ καὶ ληλατούντων αὐτὴν, διὰ τὸ πολλοὺς ἐπεμβαίνοντας τῇ βασιλείᾳ πρὸς βραχὺ κρατεῖν καὶ ἐκπίπτειν αὐτῆς, ὧν εἷς καὶ Μελέαγρος ἀδελφὸς Πτολεμαίου τοῦ Λάγου, πρὸς ὀλίγας ἡμέρας δυναστεύσας καὶ ἐκπεσὼν, P. 267 V. 213 ὡσαύτως δὲ καὶ Ἀντίπατρος ἡμέρας τεσσαράκοντα πέντε· μεθ' οὓς Σωσθένης· ἔτι δὲ Πτολεμαῖος· πρὸς δὲ τούτοις Ἀλέξανδρος καὶ Πύρρος ὁ Ἠπειρώτης. οἳ πάντες ἔτη τρία κατὰ Διόδωρον.

Ἀντίγονος ὁ Γονατᾶς ἐπικληθεὶς διὰ τὸ ἐν Γόνοις τῆς Θετταλίας τραφῆναι υἱὸς Δημητρίου τοῦ Πολιορκητοῦ βασιλεύει Μακεδόνων ἔτη μδ', προβασιλεύσας ἔτη ιβ' τῆς Ἑλλάδος, καὶ

1 et 2. λγ' m. 6. εὐριδικῆς B. 9. δυνάμεως] δυνάμενος B. 17. Διόδωρον] ἐβασίλευσαν add. m.

peditione versus Babyloniam suscepta, Barbaris devictis regno fruitur annis 33 eaque de causa Nicanoris illi nomen impositum. Anno igitur trigesimo tertio aetatis propriae 75 Lysimacho Macedonum principatu exuto, insolentia victoriae elatus Macedonum solium iamiam conseensurus, a Ptolemaeo, Lagi filio, cui cognomen Ceraunus, id est fulmen, interficitur; tum vero Ptolemaeus tyrannidem in Macedones arripit. Iste Lago et Euridice Antipatri filia natus Seleucum erga se quondam beneficum, a quo etiam fugiens exceptus fuerat, et annum unum et menses quinque servatus leto multavit; ac tandem ipse armis adversus Galatas motis acie licet stipatus numerosa et elephantis in frusta concisus interiit. Iis temporibus Galatis in Macedoniam irrumpentibus, et per eam impune grassantibus, quod plures regnum illud aucuparentur; brevi comparatum, breviore quoque spatio amittebant. Eorum unus Meleager, Ptolemaei Lagi filii frater, extitit; dies paucos tyrannidem assequutus et confestim ea spoliatus; Antipater quoque solos quadraginta quinque dies dignitatem obtinuit, cui Sosthenes suffectus et in eius locum Ptolemaeus evectus; his Alexander et Pyrrhus Epirota successerunt; cunctorumque imperia triennio vix adaequantur, ait Diodorus.

Antigonus deinde Gonatas ab incepta Gonis Thessaliae oppido educatione nuncupatus, Demetrii Poliorcetae filius Macedonicum regnum administravit annis 44, regium par munus exercuerat prius annis duodecim, cum

μετὰ ταῦτα τῆς Μακεδονικῆς ἀρχῆς σὺν τῇ Ἑλλαδικῇ ἀντιποιησάμενος ἓν κράτος. μετὰ τοῦτον ὁ υἱὸς Δημήτριος ἔτη ι' βασιλεύ-
B σας τελευτᾷ καταλιπὼν Φίλιππον υἱὸν νήπιον. τούτου ἐπίτροπος Ἀντίγονος κατασταθεὶς ὁ Δημητρίου κρατεῖ Μακεδόνων ἔτη ιβ', κατὰ δὲ τὸν Διόδωρον ἔτη θ'. μεθ' ὃν ὁ Φίλιππος αὐξηθεὶς ἀπέλαβε τὴν πατρῴαν ἀρχήν, καὶ ἦρξεν ἔτη μβ'. τούτου τελευτήσαντος διεδέξατο τὴν ἀρχὴν Περσεὺς ἔτη ι' ἢ θ', κατά τινας ὕστατος βασιλεὺς Μακεδόνων γεγονὼς ὑποχείριός τε Ῥωμαίοις καὶ τὸν βίον οἰκτρῶς καταστρέψας κατὰ τοὺς χρόνους τῶν Μακκαβαίων. τῆς μὲν οὖν πρὸς Ῥωμαίους δυστυχοῦς μάχης Φίλιππος προκατῆρξεν ὁ Περσέως πατήρ, τοῦ δὲ αἰσχίστου τέλους Περσεὺς ἀπέλαυσε σὺν τοῖς ὑπ' αὐτὸν Μακεδόσι καὶ τοῖς συμ-
C μαχήσασιν Ἰλλυριοῖς καὶ Ἠπειρώταις καὶ Μολοσσοῖς. Αἰμίλιος γὰρ Μάρκος Ῥωμαίων ὕπατος καὶ ἄριστος στρατηγὸς Περσέα λαβὼν αἰχμάλωτον, τοῦτον μὲν ἄδικον πρὸς Ῥωμαίους ἐξαγαγόντα παρὰ τὰς συνθήκας πόλεμον εἰς ἐλευθέραν ἀπέθετο φυλακήν, τὰς δὲ πόλεις Μακεδόνων καὶ Ἰλλυριῶν ἁλούσας παρ' ἐλπίδα πάσας ἐλευθέρας ἀφῆκε, καίτοι μεγάλων μεγάλους κινδύνους ὑπομεινάντων Ῥωμαίων πολλάκις ἐν τοῖς πρὸς Περσέα πολέμοις, καὶ πρό γε τούτου κρατήσαντες πολέμῳ Φιλίππου τοῦ πατρὸς αὐτοῦ καὶ Ἀντιόχου τοῦ μεγάλου, καὶ τοσοῦτον ἐπ' αὐτοῖς φιλανθρωπευθέντων, ὡς μὴ μόνον τὰς βασιλείας αὐτῶν ἔχειν, ἀλλὰ καὶ

2. *Δημήτριος* m. Vulgo *Δημητρίου*. 3. *καταλειπὼν* B. 4. *ὁ Δημητρίου* om. G: non omiserat Scaliger p. 58. 7. *ἢ θ'* B. *ὅθεν* G. 8. *βασιλεὺς* B. *βασιλεύσας* G. 9. *μακαβαίων* B. 12. *ἀπέλαυσε*] Vulgo *ἀπήλαυσε*. *ἀπήλασε* B. *τοῖς ὑπὸ Μακεδόσιν* G. 21. *τοσοῦτον*] *τοσούτων* B. 22. *αὐτῶν* om. G.

**Graecanico vero etiam Macedonico principatu adiuncto, unum ex his constituit imperium. In eius locum filius Demetrius subrogatus est et annis decem imperavit, Philippo filio nondum puerum excedente relicto. Huic procurator datus Antigonus regnum invadit et tenet annis duodecim, ut vero Diodorus, novem; eoque sublato Philippus annis grandior paternam adit haereditatem, qua annis 42 potitus est. Eo vita functo excepit imperium Perseus annis decem, qui Macedonum principum postremus extitit et a Romanis bello captus Maccabaeorum aetate vitam misere finivit. Infelici pugna cum Romanis Persei pater Philippus dimicare coeperat; Perseus autem etiam Macedonum, Illyricorum, Epirotarum et Molossorum sociis armis incassum adiutus vitae finem obiit turpissimum. Marcus quippe Aemilius Romanorum consul et dux praestantissimus Perseum egit captivum et bellum iniquum rupto foedere dudum moventem sub custodia libera detinuit; Macedonicas autem et Illyricas urbes bello victas frequentia licet in eis edomandis pericula Romani subiissent et frequentibus praeliis certassent cum Perseo, praeter spem libertati restituit cunctas. Prosperis sane successibus cum eius patre Philippo et Antiocho magno arma moverant Romani, eoque humanitatis erga illos processerant, ut non regnum**

φίλους αὐτοὺς εἶναι συγχωρησάντων· ἐφ' οἷς ἑαυτοὺς Μακεδό- D νες ἀγνωμονήσαντες ἀναξίους ἐδόκουν ἔσεσθαι παντὸς ἐλέους χειρωθέντες Ῥωμαίοις σὺν τῷ Περσεῖ. ἀλλ' ἡ σύγκλητος ἀμνησικάκως καὶ μεγαλοψύχως αὐτοῖς προσηνέχθη τὴν ἐλευθερίαν ἀντὶ δουλείας χαρισαμένη· ὁμοίως δὲ καὶ τοῖς Ἰλλυριοῖς. καὶ τούτων γὰρ τὸν βασιλέα Γεντίωνα αἰχμάλωτον ἔλαβον σὺν τῷ Περσεῖ. εὐγενῶς οὖν δυνατοῖς Ῥωμαῖοι τὴν ἐλευθερίαν χαρισάμενοι τὰ ἡμίση δίδειν τῶν τελῶν προσέταξαν ὧν πρότερον ἐτέλουν τοῖς ἰδίοις βασιλεῦσιν· ἐξέπεμψάν τε δέκα μὲν πρεσβευτὰς ἐκ τοῦ συνεδρίου εἰς Μακεδονίαν, πέντε δὲ εἰς Ἰλλυριούς, οἳ καὶ πρὸς Αἰμίλιον Μάρκον ἐλθόντες συνεῖδον τὰ τείχη Δημητριάδος P. 268 πόλεως Μακεδόνων πρώτης καθελεῖν, Ἀμφιλόχους δὲ τῶν Αἰτωλῶν ἀποζεῦξαι, καὶ τοὺς ἐπιφανεῖς ἄνδρας τῶν Μακεδόνων εἰς ἓν συναγαγεῖν, ἔνθα ἐλευθέρους καὶ ἀφρουρήτους αὐτοὺς ἀφῆκαν. κατέλυσαν δὲ καὶ τὰς ἐκ τῶν μετάλλων ἀργύρου καὶ χρυσοῦ προσόδους, διά τε τὸ τῶν ἐνοικούντων ἀνεπηρέαστον καὶ ὅπως μή τινες μετὰ ταῦτα νεωτερίζοιεν διὰ τῶν χρημάτων ἀνακτώμενοι τὴν Μακεδόνων ἀρχήν. τὴν δὲ χώραν ὅλην διεῖλον εἰς τέσσαρα μέρη, ὧν πρῶτον τὸ μεταξὺ Νέστου ποταμοῦ καὶ Στρυμόνος καὶ τὰ πρὸς ἀνατολὴν τοῦ Νέστου Ἐρύμην καὶ τὰ πρὸς Ἄβδηρα

2. ἀναξίους B. ἀναξίως G. 3. πέρση A. πέρσει B. Similiter infra. 6. Γεντίωνα] Legebatur Γαιτιῶνα. γετίωνα B. Γέντιος apud Polybium, Diodorum et alios dicitur: Γενθίων apud Athenaeum X. p. 440 a. 8. τὰ ἡμίση m. Vulgo τὰ ἥμισυ. τὸ ἥμισυ Scaliger p. 59. δίδειν] διδόναι Scaliger. Conf. ad p. 276 d. προσέταξεν G. 9. ἐξέπεμψαν B. ἐξέπεμψεν G. 16. τὸ add. A. 19. τὸ] τὰ G. στρυμῶνος AB. Στρύμωνος G hic et infra. 20. Ἄβδηρα Scaliger. Vulgo Ἀβδηραν.

modo tenere, sed amicos haberi liceret; quibus beneficiis Macedones ingrati in Romanorum potestatem cum Perseo lapsi a clementiae omnis experimento alienandi videbantur; Romanus autem senatus iniuriarum immemor, ipsis ac pariter Illyriis, (Gaetion quippe rex eorum una cum Perseo captus tenebatur), laxata servitute liberos esse donavit. Forti igitur ac generoso virtutis exemplo Macedonibus relicta libertate, tributorum propriis regibus prius pensorum partem tantum mediam exegere Romani, et in Macedoniam decem, in Illyricum e senatu legatis quinque missis, communi eorum et Marci Aemilii consilio Demetriados primae Romanorum civitatis moenia deiicienda decreverunt. Amphilochis quoque ab Aetolis seorsim positis nobilissimos Macedonum quoscumque in unum coactos omni custodia liberos suae voluntati permiserunt. Impenso quoque incolis et publicis commodis studio, ne divitiarum cupiditate res novas nonnulli molirentur, cunctos ex integro auri et argenti metallorum reditus suppresserunt. Regionem porro universam in partes quatuor voluere divisam; prima, quae Nestum inter et Strymonem fluvios intercipiuntur, quaeque ad Nesti pla-

B καὶ Μαρώνειαν καὶ Αἶνον πόλεις· πρὸς δυσμὰς δὲ τοῦ Στρυμόνος
V. 214 Βισαλτία πᾶσα μετὰ τῆς ἐν τῇ Σικτικῇ Ἡρακλείας· δεύτερον
μέρος, ὅπερ ἀπὸ μὲν ἀνατολῆς ὁρίζει ὁ Στρυμὼν ποταμός, ἀπὸ
δὲ δυσμῶν ὁ καλούμενος Ἄξιος ποταμὸς καὶ οἱ παρακείμενοι αὐ-
τῷ τόποι· τρίτον ὃ περιέχει κατὰ δυσμὰς μὲν ὁ Πηνειὸς ποτα-
μός, κατὰ δὲ ἄρκτον τὸ λεγόμενον Βέρνον ὄρος, προστεθέντων
καί τινων τόπων τῆς Παιονίας, ἐν οἷς καὶ πόλεις ἀξιόλογοι Ἔδεσ-
σα καὶ Βέροια· τέταρτον καὶ τελευταῖον, ὅπερ ὑπὲρ τὸ Βέρνον
ὄρος συνάπτει τῇ Ἠπείρῳ καὶ τοῖς κατὰ τὴν Ἰλλυρίδα τόποις·
C ἡγοῦντο δὲ καὶ πόλεις τέσσαρες τῶν αὐτῶν τεσσάρων μερῶν· τοῦ
μὲν πρώτου Ἀμφίπολις, τοῦ δευτέρου Θεσσαλονίκη, τοῦ τρίτου
Πέλλα καὶ τοῦ τετάρτου Πελαγωνία. ἐν ταύταις ἀρχηγοὶ τέσσα-
ρες κατεστάθησαν καὶ οἱ φόροι ἠθροίζοντο, ἐν δὲ τοῖς ἐσχάτοις
τῆς Μακεδονίας τόποις διὰ τὰς τῶν παρακειμένων ἐθνῶν ἐπι-
βουλὰς κατέστησαν στρατιώτας. ἐπὶ τούτοις ὁ Αἰμίλιος ἀγῶνας
καὶ πότους μεγαλοπρεπεῖς τῷ πλήθει συντάξας τὰ εὑρεθέντα
χρήματα εἰς τὴν Ῥώμην ἀπέστειλε. καταλαβὼν δὲ καὶ αὐτὸς
θρίαμβον καταγαγεῖν ἅμα τοῖς σὺν αὐτῷ στρατηγοῖς κελεύεται
D παρὰ τῆς συγκλήτου· καὶ πρῶτος μὲν Ἀνίκιος καὶ Ὀκταούιος
ὁ τῆς ναυτικῆς δυνάμεως ἡγησάμενος, ἀνὰ μίαν ἡμέραν ἑκάτε-
ρος ἐθριάμβευσεν, ὁ δὲ σοφώτατος Αἰμίλιος ἐπὶ τρεῖς. καὶ τῇ μὲν
πρώτῃ ἅμαξαι χίλιαι διακόσιαι προῆλθον φέρουσαι λευκὰς καὶ

1. Αἶνον] ἶνον B. 5. πήνιος B. 6. δὲ] τὸν G. 7. ἔδεσσα B. Ἔδεσα G. 8. Βέῤῥοια m. ὑπὲρ om. G. 12. πελλᾶ AB. πελαγονία A. 16. πότους] Vulgo ποτούς. 19. Οκτάβιος G.

gam orientalem, ad Abderam, Maroneam et Aenum civitates, ad Strymonis autem regionem occiduam, Bisaltiam omnem et Sicticam, Heracleam interiacent, complectebatur; secundam partem ab oriente Strymon fluvius, ab occidente dictus Axius et his affinia loca terminabant; partem tertiam ad occidentem Peneus fluvius et ad boream Bernus mons circumscribebant, quibus Pannoniae loca quaedam adiungebantur, Edesa nimirum et Berrhoea civitates praeclarae; quarta trans Bernum montem Epiri et Illyrici loca cuncta superioribus annectebat. Urbes totidem quatuor istis partibus praeerant; ac primae quidem Amphipolis; secundae Thessalonica; tertiae Pella; quartae Pelagonia dominabatur. In his magistratus quatuor constituti, ad quos collecta vectigalia deferebantur. Ad Macedoniae limites vicinorum populorum refraenandis incursibus praesidia posita. Ludos insuper et munera edidit Aemilius; congiarium in populum sanxit; opes autem repertas Romam mittendas curavit; vici quoque retribuendae Aemilio et sub eo meritis ducibus Romam reversis triumphum decrevit senatus. Anicius quidem et Octavius classis praefectus suo die duxit uterque sibi proprium; prudentissimi Aemilii triumpho tres assignati; primo quidem currus mille ducenti

τραχείας ἀσπίδας, καὶ ἄλλαι χίλιαι διακόσιαι ἅμαξαι πλήρεις ἀσπίδων χαλκῶν, καὶ ἕτεραι τριακόσιαι λόγχας καὶ σαρίσσας καὶ τόξα καὶ ἀκόντια γέμουσαι. προηγοῦντο δὲ αὐτῶν ὡς ἐν πολέμῳ σαλπιγκταί. ἦσαν δὲ καὶ ἄλλαι πολλαὶ ποικίλα εἴδη φέρουσαι ὅπλων, κάμακες ὀκτακόσιαι καθωπλισμέναι. τῇ δὲ δευτέρᾳ προεκομίσθη νομισμάτων τάλαντα χίλια, ἀργύρου τάλαντα δισχίλια διακόσια, ἐκπωμάτων πλῆθος, ἀγαλμάτων καὶ ἀνδριάντων ποικίλων ἅμαξαι πεντακόσιαι, ἀσπίδες τε χρυσαῖ καὶ πίνακες ἀναθεματικοὶ πάμπολλοι. τῇ τρίτῃ προηγοῦντο λευκαὶ βόες εὐπρεπεῖς ρκ', χρυσοῦ τάλαντα ἐν φορήμασι διακοσίοις εἴκοσι, φιά- P. 269
λη δέκα ταλάντων χρυσοῦ διάλιθος, χρυσωμάτων παντοῖαι κατασκευαὶ ταλάντων δέκα, ἐλεφάντων ὀδόντες δισχίλιαι τριπήχεις, ἅρμα ἐλεφάντινον ἐκ χρυσοῦ καὶ λίθων, ἵππος φαλάροις διάλιθος καὶ τῇ λοιπῇ κατασκευῇ διαχρύσῳ πολεμικῶς κεκοσμημένος, κλίνη χρυσῇ στρωμναῖς πολυανθέσι κατεστρωμένη, φορεῖον χρυσοῦν περιπεπετασμένον πορφύραν, ἐφ' οἷς Περσεὺς ὁ δυστυχὴς βασιλεὺς Μακεδόνων ἅμα δυσὶν υἱοῖς καὶ θυγατρὶ μιᾷ καὶ τοῖς ἡγεμόσι διακοσίοις πεντήκοντα· στέφανοι τετρακόσιοι δοθέντες ἐκ τῶν πόλεων καὶ τῶν βασιλέων, καὶ ἐπὶ πᾶσιν Αἰμίλιος ἐφ' ἅρματος ἐλεφαντίνου καταπλήκτου. B

1. τραχίας B. Post ἅμαξαι in B folium unum excidit, quod pertinuit usque ad ζήσας ἔτη πγ' p. 270 d. 5. ὅπλων addidi ex A. κάμακες] καὶ μάκες A. 13. φαλάροις Scaliger. φιλάροις A. φαλάραις G.

candidos brevesque clypeos praeferebant; tum alii mille ducenti clypeis aereis onusti; postremo trecenti lanceis, sarissis, telis et iaculis pleni vehebantur. Praeibant, qui acies praecedunt, tubicines. Sequebantur alii currus varia bellicorum tormentorum supellectile referti; tum vero hastae 800 ferramentis instructae. Delata die secundo nummorum signatorum talenta 1000, argenti talenta 2000, pocula 500, statuarum et variarum imaginum vehentes immensum numerum currus 200 clypei aurei, pateraeque deorum sacris dicatae quam plurimae. Diei tertii pompae praeibant boves formosi centum et viginti; auri talenta oneribus ducentis et viginti compacta; phiala talentorum auri decem gemmis undequaque radians, aurea variaque supellex talentorum decem, dentes elephantum bis mille singuli cubitorum trium longitudinis, currus eburneus auro lapillisque onustus, equus gemmatis phaleris reliquoque apparatu aureo et bellis solito ornatus, lectus aureus floridis ac mollibus stragulis instructus et aurea sella purpura circumtecta. Perseus infelix Macedonum rex cum filiis duobus et filia et ducibus ducentis et quinquaginta pone sequebatur; coronae quadringentae a civitatibus et regibus oblatae; agmen extremum clausit eburneo curru arte mira composito vectus Aemilius.

## ΚΟΣΜΟΥ ΕΤΗ.

Ἰουδαίων ἀρχιεράτευσεν ἕβδομος Ὀνείας υἱὸς Ἰαδδοῦς ἔτη κα'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ερο'.

Ἰουδαίων Ὀνείας ἀρχιερεὺς ἐγνωρίζετο υἱὸς Ἰαδδοῦς ἀρχιερέως.

Ἀρχιεράτευσεν η' Σίμων υἱὸς Ὀνείου ἔτη ιθ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ερϟα'.

Σίμων Ἰουδαίων ἀρχιερεὺς υἱὸς Ὀνείου ἐγνωρίζετο, ὃς δι'
C εὐσέβειαν πρὸς θεὸν δίκαιος ἐκλήθη καὶ τὴν πρὸς τοὺς ὁμοφύλους εὔνοιαν.

V. 215 Ἰουδαίων ἀρχιεράτευσεν θ' Ἐλεάζαρ Σίμωνος ἀδελφὸς ἀντ' Ὀνείου παιδὸς Σίμωνος νηπίου καταλειφθέντος, ἐφ' οὗ αἱ γραφαὶ ἑρμηνεύονται, ἔτη λβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,εσι'.

Ἰουδαίων ἀρχιεράτευσε ι' μετὰ Ἐλεαζάρου Μανασσῆς ὁ θεῖος τοῦ Ὀνείου ἔτη κϛ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,εσμβ'.

Ἰουδαίων ἀρχιεράτευσεν ια' Ὀνείας ὁ προρρηθεὶς νήπιος υἱὸς
D Σίμωνος τοῦ δικαίου κληθέντος ἔτη ιδ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,εσξη'.

Οὗτος Πτολεμαίου παρελογίσατο τὸν συνήθη φόρον μὴ τελῶν. Ἰώσηππος δέ τις ἀφανὴς Ἰουδαῖος πρὸς Πτολεμαῖον στειλάμενος καὶ δῆθεν τὴν ὀργὴν θεραπεύσας στρατηγὸς ὑπ' αὐτοῦ τῆς ὅλης Ἰουδαίας καθίσταται.

2 et 4. ὀνείας A. Ονίας G. 2. ἰασδδοὺς (sic) A. 4. ἰασδδοῦ A. 6. ἔτη ιθ' addidit m. 8. ἰουδαίων add. A. ὀνίου A. 11. ἀντ' Ὀνείου] ἀντωνίου A. 12. ἐφ' — ἑρμηνεύονται hoc loco A: G post ,εσι'. 14. Ἐλεάζαρον m. 15. ὀνίου A. 16. ὀνίας A.

## ANNI MUNDI.

Iudaeorum pontifex 7 fuit Onias filius Iaddus annis 21, mundi vero 5170.

Onias Iudaeorum pontifex Iaddus pontificis filius celebrabatur.

Iudaeorum pontifex 8 Simon Oniae filius annis 19, mundi vero 5191.

Simon pontifex Oniae filius clarebat, ob pietatem in deum et contribules urbanitatem Iustus nuncupatus.

Iudaeorum pontifex 9 Eleazar Simonis frater, Antonio Simonis filio propter infantiam a sacerdotii munere remoto, annis 32, mundi vero 5210.

Eius tempore scripturae Graecum in sermonem translatae sunt.

Iudaeorum pontifex 10 mortuo Eleazaro Manasses Oniae filius annis 26, mundi vero 5242.

Iudaeorum pontifex 11 Onias puer memoratus, Simonis cognomento Iusti filius, annis 14, mundi vero 5268.

Iste solitis vectigalibus non pensis Ptolemaeum regem decepit; quare Iosephus vir quidam ignobilis ad Ptolemaeum, ut eius iram placaret missus, Iudaeae totius dux ab eo constituitur.

## *Μακεδόνων βασιλεῖς.*

*Μακεδόνων πρῶτος ἐβασίλευσε μετὰ Ἀλέξανδρον Φιλίππου ὁ Ἀριδαῖος ἔτη ζ΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵ερυα΄.*

*Πολυπέρχης υἱὸς Ἀντιπάτρου ἀνεῖλε τὸν Ἀριδαῖον.* P. 270

*Μακεδόνων β΄ ἐβασίλευσε Κάσανδρος ἔτη ιθ΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵ερυη΄.*

*Μακεδόνων γ΄ ἐβασίλευσαν παῖδες Κασάνδρου Φίλιππος καὶ Ἀλέξανδρος καὶ Ἀντίπατρος ἔτη γ΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵ερϟζ΄.*

*Μακεδόνων δ΄ ἐβασίλευσε Δημήτριος ὁ Ἀντιγόνου Πολιορκητὴς ὁ καὶ τῆς Ἀσίας ἔτη ϛ΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εσ΄.*

*Μακεδόνων ε΄ ἐβασίλευσε Πύρρος μῆνας ζ΄.*

*Μακεδόνων ϛ΄ ἐβασίλευσε Λυσίμαχος ἔτη γ΄. τοῦ δὲ κόσμου ἦν* B *ἔτος ͵εσϛ΄.*

*Μακεδόνων ζ΄ ἐβασίλευσε Πτολεμαῖος ὁ Λάγου ἔτος ἕν. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εσι΄.*

*Μακεδόνων η΄ ἐβασίλευσε Πτολεμαῖος Μελέαγρος ἀδελφὸς Πτολεμαίου τοῦ Λάγου μῆνας δύο.*

*Τὴν Μακεδονίας ἀρχὴν Μελέαγρος παραλαμβάνει μετὰ τὴν ἀναίρεσιν Πτολεμαίου τοῦ Λάγου ἀδελφοῦ αὐτοῦ, ὃν εὐθὺς ἐκβάλλουσι Μακεδόνες μετὰ μῆνας δύο, ὡς ἀνάξιον φανέντα, καὶ ἀντ᾽ αὐτοῦ βασιλεύουσιν Ἀντίπατρον, ἀδελφιδοῦν μὲν Κασάν-*

1 om. A. 4. *Πολυπέρχης*] *Πολυσπέρχης* m. *Πολυπέρχης* etiam infra dicitur p. 274 d. Vera nominis scriptura *Πολυσπέρχων* est. 12. *τοῦ δὲ κόσμου ͵εσϛ΄* add. m. 14. *͵εσζ΄* m. 19. *μακεδονίας* A. *Μακεδόνων* G.

## Macedonum reges.

Macedonum rex primus post Alexandrum Philippi fuit Aridaeus annis 7, mundi vero 5171.

Polysperches Antipatri filius Aridaeum interfecit.

Macedonum rex 2 Cassander annis 19, mundi vero 5178.

Macedonibus loco tertio reges fuerunt Cassandri filii tres Philippus, Alexander et Antipater, annis 3, mundi vero 5197.

Macedonum rex 4 Demetrius, Antigoni filius, Poliorcetes dictus, qui et Asiam tenuit, annis 6, mundi vero 5200.

Macedonum rex 5 Pyrrhus mensibus 7, mundi vero annus 5206.

Macedonum rex 6 Lysimachus annis 3, mundi vero 5207.

Macedonum rex 7 Ptolemaeus Lagi filius anno uno, mundi vero 5210.

Macedonum rex 8 Ptolemaeus Meleager, Ptolemaei Lagi frater, mensibus 2.

Ptolemaeo Lagi filio vivis sublato, Macedonicum imperium frater eius Meleager occupat, quem, ceu regno indignum, post menses duos, Macedones solio confestim deiiciunt, Antipatro Philippi filio et Cassandri pa-

C δρου, υἱὸν δὲ Φιλίππου, δι' ἀπορίαν γένους βασιλικοῦ. ὃν μετὰ πέντε ἡμέρας Σωσθένης δημοτικὸς ἐξήλασεν ὡς ἀδυνατοῦντα στρατηγεῖν, Βέρνου τοῦ Γαλάτου ἐπιόντος αὐτοῖς, ὃν Σωσθένης ἐκδιώξας κρατεῖ καὶ αὐτὸς ἔτη δύο τῶν Μακεδόνων. τούτου θανόντος ἀναρχία γέγονε. τῶν δὲ πραγμάτων προΐσταντο οἱ ἐξ Ἀντιπάτρου καὶ Πτολεμαίου καὶ Ἀριδαίου. τοῦ δὲ Ἀντιπάτρου ζῶντος καὶ τοῖς πράγμασιν ἐπιβουλεύοντος Ἀντίγονος υἱὸς Δημητρίου τοῦ Πολιορκητοῦ καὶ Κεφίλλας τῆς θυγατρὸς Ἀντιπάτρου μεταποιεῖται τῆς Μακεδόνων ἀρχῆς ἔτη μδ', ὃς ἐν Γόνασι τρα-
D φεὶς τῆς Θετταλίας Γονατᾶς ἐπεκλήθη. ἦν δὲ καὶ πρὸ τοῦ βασιλεῦσαι Μακεδόνων ἔτη ιβ' βασιλεύσας. οὗτος τῆς πάσης Ἑλλάδος ἐγκρατῶς ἐκυρίευσε ζήσας ἔτη πγ'.

V: 216 Μακεδόνων θ' ἐβασίλευσεν Ἀντίπατρος ἡμέρας με'.

Μακεδόνων ι' ἐβασίλευσε Σωσθένης ἔτη β'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εσια'.

Μακεδόνων ια' ἀναρχίας ἔτη β'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εσιγ'.

Μακεδόνων ιβ' ἐβασίλευσεν Ἀντίγονος ὁ Γονατᾶς ἔτη μδ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εσιε'.

P. 271 Μίλων παρέδωκε Ῥωμαίοις Τάραντον.

Κατὰ τούτους τοὺς χρόνους Πύρρος ὁ Ἠπειρώτης, ὁ καὶ Μακεδόνων βασιλεύσας, πολεμεῖ Ῥωμαίοις προτραπεὶς ὑπὸ

9. Γόνασι] Γόνοις supra p. 267 a. 16. ια' B. ια' ἐβασίλευσεν G. 17. Post μδ' AB inferunt Μήλων — Τάραντον. 19. Σκοράδην praefixit G. μήλων AB. Vide Eusebium p. 351. Τάραντα Scaliger p. 65.

truele ob regii generis defectum in eius locum subrogato; eum ceu militiae ignarum et muneri imparem, solo dierum quinque spatio elapso, Sosthenes vir privatus regno pellit, Berno Galata utrique iam cum copiis imminente et Macedonum imperium tenet annis duobus. Eo defuncto actum interregnum. Rem autem publicam administrabant qui Antipatri, Ptolemaei et Aridaei factiones sequebantur. Porro superstite adhuc Antipatro et insidiis regnum appetente Antigonus Demetrio Poliorceta et Cephilla Antipatri filia natus Macedonum sceptrum assequitur annis 44, qui Gonis in Thessalia educatus, Gonatae nomen tulit. Caeterum ante obtentum in Macedones imperium iam annis duodecim regnarat, ac demum Graeciam universam sibi subiectam fecit, vixitque annis 83.

Macedonum rex 9 Antipater diebus 45.

Macedonum rex 10 Sosthenes annis 2, mundi vero 5211.

Macedonum principis 11 loco, interregni anni 2, mundi vero 5213.

Macedonum rex 12 Antigonus Gonatas annis 44, mundi vero 5215.

Miscellanea.

Milo Romanis Tarentum tradit.

Sub hoc tempus Pyrrhus, Epirotarum princeps, qui Macedonum imperium etiam tenuit, Tarentinorum consiliis bellum Romanis infert, primo-

*Ταραντίνων, καὶ κρατεῖ κατ' ἀρχὰς μὲν τοῦ πολέμου, πρὸς αὐτῇ σχεδὸν γεγονὼς τῇ Ῥώμῃ. τραπεὶς δὲ ὕστερον φεύγει στρατηγοῦντος Κορνηλίου Τεντάλου, τοῦ καὶ τὴν ὑπάτων ἔχοντος ἀρχήν. τὸ δὲ πλεῖστον ἀποβαλὼν τῆς δυνάμεως, οὓς τε εἶχεν ἐλέφαντας, οὐκ ἄλλοτε Ῥωμαίοις ὀφθέντας πρὸ τούτου, διαδιδράσκει διὰ τῆς θαλάσσης εἰς Ἤπειρον ἐλθών.* B

*Πύρρος ὁ Ἠπειρώτης μετὰ τὴν πρὸς Ῥωμαίους μάχην καὶ τὴν ἐκεῖθεν φυγὴν κατὰ Πελοποννησίων ἐπιστρατεύσας ἀναιρεῖται κεράμῳ πληγεὶς τὴν κεφαλὴν ὑπὸ γυναικὸς Ἀργολίδος ἀπὸ στέγους διὰ πυλίδος, εἰσβαλὼν τῇ πόλει καὶ βίᾳ τὸ Ἄργος ἑλεῖν.*

*Μακεδόνων ιγ' ἐβασίλευσε Δημήτριος υἱὸς Ἀντιγόνου ἔτη ι'. οὗτος Λιβύης πάσης καὶ Κυρήνης ἐκράτησε, τὴν πατρῴαν τε ἀρχὴν ἀνεκτήσατο. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εσνθ'.*

## *Ἀλεξανδρέων βασιλεῖς.*

*Ἀλεξανδρείας καὶ Αἰγύπτου πρῶτος μετὰ τὸν Ἀλέξανδρον ἐβασίλευσε Πτολεμαῖος ὁ Λάγου ἔτη μ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵ερυα'.* C

*Πτολεμαῖος ὁ Λάγου δόλῳ παραλαβὼν τὴν Ἱερουσαλὴμ καὶ ἀπάτῃ πολλοὺς ἐκ τῆς Ἰουδαίας μετῴκισεν εἰς Αἴγυπτον, οὓς μετ' αὐτὸν ὁ Φιλάδελφος Πτολεμαῖος ἠλευθέρωσεν.*

1. *ταραντινῶν* AB. 2. *γεγονὼς σχεδὸν* G. 3. *τεντάλου* B. *τερτέλλου* A. *Τερτούλλου* G. Est P. Cornelius Dolabella. 12. *οὗτος — ἀνεκτήσατο* post *͵εσνθ'* collocavit G. 15. *τὸν* om. B. 19. Vulgo *μετῴκησεν*. 20. *ὁ Πτολεμαῖος Φιλάδελφος* G.

que conflictu superior visus, ad ipsam ferme Romam castra posuit; a Cornelio tamen Tertullo consule et exercitus duce fugatus est; et amissa copiarum parte plurima, elephantibusque nondum antehac Romae visis relictis mari fugiens repetit Epirum.

Pyrrhus Epirotarum rex post cladem a Romanis acceptam et eius e Romana terra fugae recessum, armis in Peloponnesios versis, mulieris Argivae manu tegula e tecti fenestella deiecta percussus caput, cum iam in mediam urbem Argos irrupisset et armorum vi teneret, vitam perdidit.

Macedonum rex 13 Demetrius, Antigoni filius, annis 10, mundi vero 5291. Hic Libyae universae et Cyrene ipsi dominatus est et patrium imperium recuperavit.

## Alexandrinorum reges.

Alexandriae et Aegypti rex primus, ab Alexandri morte institutus est Ptolemaeus, Lagi filius, annis 40, mundi vero 5171.

Ptolemaeus Lagi captis dolo Hierosolymis Iudaeorum plurimos in Aegyptum transtulit, quos demum Ptolemaeus Philadelphus libertati restituit.

Ἀλεξανδρείας καὶ Αἰγύπτου β' ἐβασίλευσε Πτολεμαῖος ὁ Φιλάδελφος ἔτη λη'. τοῦ δὲ κόσμου ἦν ἔτος ,εσια'.

D Πτολεμαίου τοῦ Λάγου κεραυνῷ τεθνεῶτος, ὡς προλέλεκται, ἐν τῇ κατὰ τῶν Γαλατῶν μάχῃ, τὴν μὲν Αἰγύπτου ἀρχὴν κληροῦται μετ' αὐτὸν Πτολεμαῖος ὁ Φιλάδελφος παῖς αὐτοῦ, ἀνὴρ τὰ πάντα σοφὸς καὶ φιλοπονώτατος, ὃς πάντων Ἑλλήνων τε καὶ Χαλδαίων, Αἰγυπτίων τε καὶ Ῥωμαίων τὰς βίβλους συλλεξάμενος καὶ μεταφράσας τὰς ἀλλογλώσσους εἰς τὴν Ἑλλάδα γλῶσσαν, μυριάδας βίβλων ι' ἀπέθετο κατὰ τὴν Ἀλεξάνδρειαν ἐν ταῖς ὑπ' αὐτοῦ συστάσαις βιβλιοθήκαις.

Οὗτος τὴν Φάρον Ἀλεξανδρείας μεγαλοπρεπῶς ἀνέστησε διὰ Σωστράτου Δεξιφάνους Κνιδίου, οὗ καὶ τὸ ὄνομα ἐπιγέγραπται ἐν τῷ ὑψηλοτάτῳ πύργῳ τῆς Φάρου οὕτως· Σωστράτος Δεξιφά-
P. 272 νους Κνίδιος σωτῆρσι θεοῖς ὑπὲρ τῶν πλωϊζομένων.

Ὁ αὐτὸς τοὺς κατ' Αἴγυπτον αἰχμαλώτους Ἰουδαίους μυριάδας δώδεκα ἐξωνησάμενος ταλάντοις υξ' ἐκ τοῦ στρατεύματος
V. 217 ἐλευθέρους ἀνῆκε πόθῳ τῆς μεταφράσεως τῶν παρ' αὐτοῖς θείων εἰς τὴν Ἑλλάδα γλῶσσαν, ὑπὲρ ὧν ἀναθήματα πολυτελῆ χρυσῷ πολλῷ καὶ λίθοις τιμίοις ἐμμελῶς κατεσκευασμένα τῷ θεῷ ἐν Ἱεροσολύμοις ἐξέπεμψεν, Ἐλεαζάρῳ τε τῷ τηνικαῦτα ἀρχιερεῖ δῶρα πλεῖστα, καθὼς ἐν τοῖς Πτολεμαϊκοῖς γέγραπται, πρεσβευσάμενος σταλῆναι τὰς ἱερὰς δέλτους εἰς Ἀλεξάνδρειαν καὶ ἄνδρας

3. κεραυνῷ] τοῦ καὶ Κεραυνοῦ Scaliger p. 66. 8. ἀλλογλώττας G. 12. Vulgo Δεξιφανοῦς. 13. οὕτως B. οὗτος G. σωστρατοῦς δεξιφανοῦς B. Σωστράτους Δεξιφανοῦς G. Correxit Scaliger. 14. πλοϊζομένων B. 17. θείων γραφῶν m.

Alexandriae et Aegypti rex 2 Ptolemaeus Philadelphus annis 38, mundi vero 5211.

Ptolemaeo Lagi filio fulminis ictu mortem obeunte, ea quam cum Galatis habuit pugna, prout narratum est, Aegypti imperium Ptolemaeus eius filius, vir omni scientiarum cultu ornatus et laboris patientissimus adiit, qui Graecorum omnium, Chaldaeorum, Aegyptiorum et Romanorum collectis libris et ex aliena dialecto in Graecam versis, myriades decem bibliothecis Alexandriae a se constructis custodiendas reposuit.

Idem Sostrati Cnidii Dexiphanis filii ope in Alexandriae portu sumptibus immensis Pharum erexit, excelsissima Phari turrium artificis nomen praeferente in hunc modum. Sostratus Cnidius Dexiphanis filius diis servatoribus navigantium gratia consecravit.

Iudaeorum duodecim myriadibus ab exercitu captis talentorum 460 pretio redemptis, scripturarum, quas servabant, versionis Graecae cupidus libertatem restituit. Earum comparandarum gratia donorum auro lapillisque ornatorum variam ac pretiosam supellectilem deo Hierosolymis vovit et appendit. Eleazarum eo tempore pontificem, Ptolemaei ipsius historia teste, sibi conciliavit; legatisque missis, codices sacros, sacerdotesque litteratos et tum scripturarum tum Graecanicae eruditionis gnaros Alexan-

ἱεροὺς ἀκριβῶς ἐπιστήμονάς τε αὐτῶν καὶ τῆς Ἑλλήνων ἐμπεί- B ρους παιδεύσεως, ὡς ἂν ἀσφαλῶς ἐκ τῆς Ἑβραίων φωνῆς ἑρμηνευθεῖεν αὐτῷ. τοῦτο δ᾽ ἦν, οἶμαι, θείας ἔργον ῥοπῆς πόρρωθεν φιλούσης τῶν μεγάλων πραγμάτων τὰς ὑποθέσεις προκαταλαβέσθαι καὶ τοῖς ἔθνεσι πρὸ τῆς θείας σαρκώσεως ὁδοποιούσης τὴν θεόφραστον παίδευσιν. ἑβδομήκοντα γὰρ ἄνδρας ἱεροὺς καὶ σοφοὺς κατ᾽ ἄμφω τὰς γλώσσας ὁ αὐτὸς σοφώτατος βασιλεὺς ἐξ Ἱερουσαλὴμ σὺν ταῖς ἱεραῖς βίβλοις ἐχρυσογραφημέναις ἀποδεξάμενος καὶ τὴν αὐτῶν ἑτοιμότητα πρὸς πᾶσαν φυσικὴν καὶ μαθηματικὴν πεῦσιν ἐκπλαγείς, δώροις πρέπουσι φιλοθέῳ βασι- C λεῖ καὶ λόγοις ἠπίοις ἐξελιπάρησε πάσῃ σπουδῇ ταύτης ἀφθόνως ἑρμηνευθῆναι, χωρίον εὐκραέστατον αὐτοῖς ἀφορίσας τὴν Φάρον. οἱ δὲ θεοφιλεῖς ὄντες καὶ ταῖς ψυχαῖς ἡνωμένοι κατὰ συζυγίας διαιρεθέντες ἐν ἑβδομήκοντα δύο ταῖς ὅλαις ἡμέραις ὁμοφώνως ἐπιπνοίᾳ θεοῦ τὴν ὅλην Ἑβραίων φωνὴν μετέφρασαν. ἧς ἐπαναγνωσθείσης Πτολεμαίῳ τῷ Φιλαδέλφῳ καὶ τοῖς περὶ αὐτὸν σοφοῖς Δημητρίῳ τῷ Φαληρεῖ παρ᾽ Ἕλλησιν ἀνδρὶ σπουδαίῳ καὶ πολυμαθεῖ, Μενεδήμῳ τε φιλοσόφῳ καὶ ἑτέροις ἀνθοῦσι τῷ τηνικαῦτα, ὡμολογήθη μόνη θεόπνευστος εἶναι παρὰ πᾶσαν D γραφὴν ἐγνωσμένην αὐτοῖς. ἐπὶ τούτοις ἑορτάσας ὁ βασιλεὺς πλείστοις τε δώροις ἄλλοις φιλοτιμησάμενος αὐτοὺς καὶ τῷ ἀρ-

1. ἀκριβῶς B. ἀκριβεῖς G. τῆς] τῶν G. 2. ἑρμηνευθῇ ἐν αὐτῷ B. 8. κεχρυσογραφημέναις G. 11. ἠπείοις B. ταύτης] ταύτην G. 12. ἀφορήσας B. 14. αἱρεθέντες G. 21. αὐτοὺς B. αὐτοῖς G.

driam mitti et eorum opera ex Hebraea dictione in Graecam scripturas reddi precatus est. Divini reor impulsus et caelestis providentiae rerum magnarum argumenta materiemque disponentis, et ante divinae incarnationis momentum gentilium animos ad uberiorem et amplam dei notitiam manuducentis fuit hoc opus. Sacros enim viros Septuaginta, utriusque linguae apprime peritos ex Hierusalem sacra volumina characteribus aureis exarata ferentes rex ipse eruditissimus excepit, et, qua de physicis et mathematicis quaestionibus prompte tractabant doctrinam miratus, blando colloquio, donisque religioso principe dignis delinitos, loco et aëre temperato ad Pharum locari iussos scripturis interpretandis animum sincere admovere sollicitus rogabat. Illi ceu pietate in deum eximii, et ad invicem animis devincti, bini ac bini separatim diebus duobus et septuaginta deo voces singulas inspirante, textum Hebraicum totum interpretati sunt; quo deinde a Ptolemaeo Philadelpho et eruditis penes eum viris et a Demetrio Phalereo viro apud Graecos litteris dedito et iisdem copiose ornato et a Menedemo philosopho aliisque scientiarum cultu florentibus perlecto, solus ipse deo dictante exaratus et cuilibet alteri illuc usque habitae rerum notitiae praeferendus a cunctis iudicatus est. Festivis ideo sacris institutis, interpretes muneribus plurimis donatos Ptolemaeus remisit; aliisque simul

χιερεῖ καὶ τῷ ἱερῷ ἐξέπεμψεν, εὐχαριστῶν τῷ τῶν ὅλων θεῷ. τὰ
κατὰ τὴν διάλιθον τράπεζαν τὴν σταλεῖσαν εἰς Ἱερουσαλὴμ καὶ
τὸ φιλότιμον ἅμα καὶ φιλόσοφον Πτολεμαίου Ἰώσηππος ἱστορεῖ
καταπλήκτῳ ἤχῳ, ὅπως τε Θεόπομπος φιλόσοφος παρεφρόνησε
τολμήσας ἱστορῆσαι περὶ αὐτῶν καὶ Θεόδεκτος στρατηγικὸς ἐτυ-
φλώθη δρᾶμα ποιήσας, ἄμφω τε μεταγνόντες ἰάθησαν, Ἀρι-
P. 273 σταίου ἑνὸς τῶν φίλων αἰτήσαντος Πτολεμαίου ιβ΄ μυριάδες Ἰου-
δαίων ἐξωνήσεσι βασιλικοῖς χρήμασι παρὰ τοῦ στρατεύματος εἰς
τὴν Ἰουδαίαν ἐξαπεστάλησαν, ρκ΄ δραχμῶν ὑπὲρ ἑκάστου δοθει-
σῶν, ὡς εἶναι τὰ ὑπὲρ αὐτῶν λύτρα τάλαντα υξ΄. Ἀρισταῖον καὶ
Ἀνδρέαν δύο πρωτίστους ἀρχόντων ὁ Φιλάδελφος ἐξέπεμψε Πτολε-
μαῖος εἰς Ἱερουσαλὴμ πρὸς Ἐλεάζαρον μετὰ σκευῶν χρυσῶν καὶ
διαλίθων πολλῶν καὶ ἀργυρῶν ταλάντων ρ΄ καὶ ἄλλων δώρων,
αἰτῶν σταλῆναι αὐτῷ τὰς θείας γραφὰς καὶ ἄνδρας σοφοὺς ἑρμη-
νεύσοντας αὐτήν, ὡς Ἰώσηππος. Πτολεμαῖος οὗτος ὁ Φιλάδελ-
φος πᾶσαν πανταχόθεν, ὡς εἰπεῖν, συμφορήσας βίβλον τῆς
B οἰκουμένης, σπουδῇ τοῦ Φαληρέως Δημητρίου τρίτου νομοθέτου
Ἀθηναίων, ἀνδρὸς παρ' Ἕλλησι σπουδαίου, ἐν οἷς καὶ τὴν
Ἑβραίων γραφήν, ὡς προτέτακται, τὴν ἐν Ἀλεξανδρείᾳ βιβλιοθή-
κην καθίστησιν ρλβ΄ ὀλυμπιάδι, ἧς πληρουμένης τελευτᾷ. δέκα
μυριάδες βίβλων ἦσαν, ὥς τινές φασιν.

5. αὐτῶν] αὐτὸν B. στρατηγικὸς B. στρατηγὸς G. 7. τῶν φίλων om. G. 9. ἰουδαίαν B. Ἰουδαίων G. 10. Ἀρισταῖον] ἀριστέον AB. Ἀριστέαν G. 13. καὶ ἄλλων δώρων om. G. 15. ὡς B. ὡσὰν G. 16. βίβλον] βίβλους G. 18. ἀθηναίων B. Ἀθηναίου G. καὶ om. G. 19. τὴν B. καὶ G. 20. ρλβ΄] ρλα΄ m. μυριάδες βίβλων m. μυριάδας βίβλους G. βίβλων etiam ex AB enotatum. 21. ἦσαν] εἶσαν B.

pontificem et templum universorum deo gratias acturus prosequutus est. Mensam certe lapillis pretiosis conspicuam ab eo in Hierusalem missam et liberale vereque philosophicum eius studium claro dicendi genere Iosephus celebravit; utque insuper Theopompus philosophus huiusmodi rebus historiae suae insertis dementia laboraverit et Theodectus dux dramate de illis vesane edito caecitate perculsus est, et ambo pariter audaciae poenitentes curati sunt, auctor idem enarrat. Uno Aristea rogante Iudaeorum myriades 12 ab exercitu eos sibi mancipante, drachmis in capita singula 120 pensis pretiis summa ad talenta 460 adscendente redemptae et in Iudaeam postliminio amandatae. Sane Aristeam et Andream procerum praecipuos a Ptolemaeo Philadelpho cum vasis aureis et gemmarum ornatu pretiosis, nec non argenti talentis centum sacras scripturas sibi donari et viros sapientes earum interpretes una exhiberi rogatum missos Iosephus memorat. Ptolemaeus iste Philadelphus variis undequaque terrarum, ita dicam, comportatis libris, ad quos divinam, ut praemisimus, scripturam adiunxit, Demetrii Phalerei legislatoris apud Athenienses tertii viri Graecarum litterarum studiosissimi cura bibliothecam Alexandriae instaurat Olympiade 131, qua exeunte decessit pariter e vita. Librorum, ut aiunt, myriades decem in eam congestae.

Ἀλεξανδρείας καὶ Αἰγύπτου τρίτος ἐβασίλευσε Πτολεμαῖος ὁ V. 218
Εὐεργέτης ἔτη κδ΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εσμθ΄. C

### Ἀσίας βασιλεῖς.

Ἀσίας πρῶτος μετὰ Ἀλέξανδρον Ἀντίγονος ἐβασίλευσεν ἔτη ιη΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εροα΄.

Ἡ τῶν Μακκαβαίων ἱστορικὴ γραφὴ τοὺς Ἑλλήνων βασιλεῖς ἀπὸ Ἀντιγόνου ἀριθμεῖ, ἣν Ἰώσηππος ἔγραψεν, ἥτις τῶν μὲν θεοπνεύστων οὐκ ἔστι, χρησίμη δὲ πάνυ πέφυκεν.

Ἀντίγονος Ἀντιγονίαν τὴν πρὸς τῷ Ὀρόντῃ ποταμῷ ἔκτισεν, ἣν Σέλευκος ἐπικτίσας Ἀντιόχειαν ὠνόμασεν.

Ἀσίας μόνης β΄ Δημήτριος ὁ Πολιορκητής, Ἀντιγόνου παῖς, ἔτη ι΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵ερπθ΄.

Δημήτριον τὸν Πολιορκητὴν ὁ Σέλευκος λαβὼν ἐν Κιλικίᾳ D βασιλικῶς τηρεῖσθαι προσέταξεν ἕως θανάτου ὑπὸ χεῖρα τὴν τῆς Ἀσίας ἀρχὴν κτησάμενος. ἐκβαλὼν δὲ καὶ Λυσίμαχον τῆς Μακεδόνων ἀρχῆς, ἀναιρεῖται τάχιστα ὑπὸ τοῦ Λάγου Πτολεμαίου τοῦ καὶ Κεραυνοῦ. καὶ κρατεῖ Μακεδόνων ὁ αὐτὸς Πτολεμαῖος ἔτος ἓν μῆνας πέντε, καὶ ἀναιρεῖται κατὰ τὸν Γαλατικὸν πόλεμον.

Δημήτριος ὁ Πολιορκητὴς τὴν πόλιν Σαμαρέων ἐπόρθησεν.

Ἡ τῆς Ἀσίας βασιλεία κη΄ ἔτη διαρκέσασα ὑπὸ Σέλευκον γέγονε.

9. ὀρέντῃ AB. *Orontem* Eusebius p. 348. 11. μόνης om. G. 15. τὸν Λυσίμαχον G. 17. ὁ] καὶ G. 19. Σαμαρέων] Σαμάρειαν G. Conf. p. 275 b. *Samariam urbem* Eusebius p. 348. 20. κη΄] λε΄ m.

Alexandriae et Aegypti rex 3 Ptolemaeus Euergetes annis 24, mundi vero 5249.

### Asiae reges.

Asiae rex primus post Alexandrum Antigonus annis 18, mundi vero 5171.

Historicus de Maccabaeis liber ab Iosepho conscriptus Graecorum reges ab Antiocho numerare exorditur; idem divinarum scripturarum catalogo licet non accenseatur, admodum tamen utilis iudicatur.

Antigonus ad Orontem fluvium Antigoniam urbem condidit, quam aedibus absolutam Antiochiam appellavit Seleucus.

Asiae rex 2 Demetrius Poliorcetes, Antigoni filius, annis 10, mundi vero 5189.

Demetrio Poliorceti in Cilicia capto et exinde ad mortem detento regios honores Seleucus deferri iussit; quare totum Asiae imperium suae subiicit potestati. Erepto quoque regi Lysimacho Macedonum regno, haud diu post a Ptolemaeo, Lagi filio, cui cognomen Ceraunus, misere interficitur. Ptolemaeus iste inito cum Galatis certamine anni unius et mensium quinque mora interposita, occiditur.

Demetrius Poliorcetes urbem Samariam devastavit.

Asiae regnum annis 35 stans in Seleuci potestatem venit.

P. 274 **Συρίας καὶ Βαβυλωνίας βασιλεῖς.**

Συρίας καὶ Βαβυλωνίας καὶ τῶν ἄνω τόπων πρῶτος Σέλευκος Νικάνωρ ἐβασίλευσεν ἔτη λγ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εροα'.

Ἐδεσσηνοὶ τοὺς χρόνους ἔνθεν ἀριθμοῦσι.

Σέλευκος Ἀντιόχειαν τὴν πρὶν Ἀντιγονίαν ἐπέκτισεν ιβ' ἔτει τῆς βασιλείας αὐτοῦ.

Ὁ αὐτὸς Λαοδίκειαν, Σελεύκειαν, Ἀπάμειαν, Ἔδεσσαν, Βέροιαν, Πέλλαν.

Σέλευκος Βαβυλῶνα παρεστήσατο.

Σέλευκος ἐν ταῖς νέαις πόλεσιν Ἰουδαίους συνῴκισεν Ἕλλησι.

B Ῥωξάνην σὺν Ἀλεξάνδρῳ παιδὶ πεμφθεῖσαν εἰς Ἀμφίπολιν Σέλευκος Νικάνωρ ἀφανίζει, Κασάνδρου κελεύσαντος, ὥς φασι.

Τότε Κάλλιππος Κυζικηνὸς ἀστρολόγος ἐγνωρίζετο καὶ Διονύσιος ὁ τὰς πόλεις γράψας.

Ἐρασίστρατος διαφανὴς ἰατρὸς ἐπὶ Σελεύκου ἐγνωρίζετο, ὃς διαγνοὺς Ἀντίοχον τὸν Σελεύκου παῖδα δεινῶς νοσοῦντα δι' ἔρωτα τὸν πρὸς τὴν Σελεύκου τοῦ πατρὸς γαμετὴν θυγατέρα Δημητρίου ἐθαυμαστώθη. ὅθεν καὶ Σέλευκος τῷ πάθει περιαλγήσας παραχωρεῖ τῷ παιδὶ Ἀντιόχῳ τῆς γαμετῆς.

2. πρῶτος post Βαβυλωνίας transfert B. 4—5. Ἐδεσσηνοὶ — τὴν πρὶν om. G. 4. Ἐδεσσηνοὶ] αἰδεσινοὶ A. αἰδεσινοὶ B. 7. ἔδεσαν AB. 8. Βέῤῥοιαν G. 10. Vulgo συνῴκησεν. Hoc vitium hic et alibi correxit Scaliger. 13. νικάνορα A. νικάνωρα B. 14. κάλλιπος A. κάλιππος B. ἀστρολόγως B. 16. Σελεύκου] σέλευκον A.

**Syriae et Babyloniae reges.**

Asiae, Babyloniae et locorum ea superiorum rex primus Seleucus Nicanor annis 33, mundi vero 5171.

Anno regni 12 Antiochiam urbem absolvit.

Idem Laodiceam, Apameam, Edessam, Berrhoeam et Pellam perfecit.

Seleucus deditione Babylonem accepit.

In novis urbibus Iudaeos cum Graecis cohabitare permisit.

Roxanem cum Alexandro puero Amphipolin missam Seleucus Nicanor, Cassandri iussu, ex historicorum vulgo, e medio sustulit.

Eius tempore Calippus Cyzicenus astrologus et Dionysius, qui de urbibus tractatum suscepit, florebat.

Erasistratus quoque medicus eximius Seleuci tempore celebrabatur; qui cognito Antiochi Seleuci filii erga patris coniugem Demetrii filiam ex amore morbo, laudem eximiam consequutus est. Seleucus filii langori compatiens coniugis ei cessit amplexibus.

Ἀσίας, Συρίας, Βαβυλωνίας β' ἐβασίλευσεν Ἀντίοχος ὁ Σωτὴρ ἔτη ιθ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,εσδ'.

Οὗτος ὁ Ἀντίοχος Σωτὴρ λεγόμενος ἔσχεν ἐκ τῆς θυγατρὸς V. 219 Δημητρίου, γαμετῆς δὲ Σελεύκου τοῦ πατρὸς αὐτοῦ Στρατονίκης C ἄρρενα υἱὸν Ἀντίοχον, τὸν ἐπικληθέντα Θεὸν, ὃς καὶ ἐβασίλευσε μετ' αὐτὸν Συρίας καὶ Ἀσίας ἔτη ιε'. καὶ ἐτελεύτησεν ἐν Ἐφέσῳ.

Συρίας καὶ Ἀσίας γ' ἐβασίλευσεν Ἀντίοχος ὁ ἐπικληθεὶς Θεὸς ἔτη ιε'. τοῦ δὲ κόσμου ἦν ἔτος ,εσκγ'.

## Σποράδην.

Ἀστυάναξ Μιλήσιος παγκράτιον νικᾷ τὸ τρίτον. οὗτος δὲ καὶ D ἓξ ἀνδρῶν σιτία κατήσθιε.

Δημήτριος ὁ Φαληρεὺς ἐγνωρίζετο τρίτος νομοθέτης Ἀθήνησιν. οὗτος Ἀθηναίοις ἀποδοὺς τὴν δημοκρατίαν ἦλθεν εἰς Αἴγυπτον.

Μενέδημος καὶ Σπεύσιππος φιλόσοφοι ἐγνωρίζοντο.

Ῥωμαῖοι Κελτοὺς καὶ Τυρρηνοὺς ἐνίκησαν καὶ τὴν Σαβίνων γῆν ἐκληρώσαντο.

Οἱ Μακεδόνων ἡγεμόνες ἐστασίασαν.

Περδίκκας εἰς Αἴγυπτον ἐστράτευσε.

Πολυπέρχης υἱὸς Ἀντιπάτρου ἀνεῖλε τὸν Ἀριδαῖον.

3. ὁ ἀντίοχος B. Ἀντίοχος ὁ G. 5. ἄρρενα B. ἄρσενα G. 11. ἓξ om. B. σιτία] σιτεία B. 13. δημοκρατείαν B. 15. Μενέδημος] *Menander* vitiose Eusebius p. 348. 16. Τυρρηνοὺς Scaliger p. 66. Vulgo τυράννους. *Sabinos* Eusebius p. 349. σαβινῶν B. 20. πολυπέρχης AB. Πολυσπέρχης G. Conf. ad p. 270 a. ἀρίδαιον B.

**Asiae, Syriae et Babyloniae rex 2 Antiochus Soter annis 19, mundi vero 5204.**

**Antiochus iste Servator dictus, Stratonice Demetrii filia, Seleuci vero patris proprii coniuge filium Antiochum Deum agnominatum suscepit, qui regnum Syriae et Asiae, patre mortuo, tenuit annis 15 et Ephesi diem extremum obiit.**

**Syriae et Asiae rex 3 Antiochus, cognomento Deus, annis 15, mundi vero 5223.**

## Miscellanea.

**Astyanax Milesius tertium Pancratio victor. Cibos qui viris sex sufficerent solus devorabat.**

**Demetrius Phalereus Atheniensium legislator tertius agnoscebatur. Populi restaurata potestate secessit in Aegyptum.**

**Menedemus et Speusippus philosophi celebres.**

**Romani Celtas et tyrannos profligant et Sabinorum agros possident.**

**Macedonum duces tumultuantur.**

**Perdiccas in Aegyptios bellum movet.**

**Polysperches Antipatri filius Aridaeum occidit.**

*Λυσιμαχία ἐν Θρᾴκῃ ἐκτίσθη.*

P. 275 *Ἀγαθοκλῆς ἐν Συρακούσαις ἐτυράννησε.*

*Ῥωμαῖοι Μάρσους καὶ Ἴμβρους καὶ Παλλινοὺς παρεστήσαντο.*

*Ῥωμαῖοι ἀποικίας ἔπεμψαν.*

*Κύπρου Πτολεμαῖος ἐκράτησεν.*

*Ὁ Λαμιακὸς πόλεμος ἐκινήθη.*

*Ἀναξιμένης καὶ Ἐπίκουρος ἐγνωρίζετο.*

*Ἐν Ῥώμῃ παρθένος τις φθαρεῖσα ἀνῃρέθη.*

*Θεόδωρος ἄθεος ἐγνωρίζετο.*

*Ῥωμαῖοι Σαυνιτῶν Ἀράβων τελείως ἐκράτησαν.*

*Μένανδρος ὁ κωμικὸς ποιητὴς πρῶτον δρᾶμα διδάξας Ὀργὴν ἐνίκα.*

B *Θεόφραστος φιλόσοφος ἐγνωρίζετο.*

*Δημήτριος ὁ Πολιορκητὴς τὴν πόλιν Σαμαρέων ἐπόρθησε.*

*Μένανδρος ὁ κωμικὸς ἐτελεύτησεν.*

*Ὁ Σάραπις ἢ ὁ Σόραπις ἢ ὁ Σείραπις κατά τινας ἐν Ἀλεξανδρείᾳ ἱδρύνθη.*

*Μία τῶν ἐν Ῥώμῃ παρθένων ἀνῃρέθη φθαρεῖσα.*

2. *συρρακούσαις* A. 3. *Ἴμβρους*] *Οὔμβρους* m. *Imbros* Eusebius p. 348. *παλλινοὺς* AB. *Παλληνοὺς* G. *Πελίγνους* m. *Palinos* Eusebius. 9. *τις* om. G. 11. *Σαυριτῶν* G. 12. *Μένανδρος*] Mirabiliter haec pervertit Armenius Eusebii interpres p. 347. 15. *τὴν πόλιν Σαμαρέων*] *Σαμαρέων πόλιν* G. Conf. p. 273 d. 17. *Σάραπις*] *σάραπης* B. *ὁ Σόραπις* Scaliger. p. 67. *ὡσσάραπης* B. *Ὡσσάραπις* G. *ὁ σειραπὶς* A. *ὡσειραπὴς* B. *ὁ Σίραπις* G. *Sarapis — qui et Sorapis itemque Sirapis* Eusebius p. 351.

**Lysimachia condita in Thracia.**
**Agathocles tyrannidem exercet Syracusis.**
**Marsos, Umbros et Pelignos deditione ceperunt Romani.**
**Romani colonias deducunt.**
**Ptolemaeus Cypro potitur.**
**Bellum Lamiacum motum.**
**Anaximenes et Epicurus vigebant.**
**Vestalis corrupta Romae morte plectitur.**
**Theodorus Atheus vivebat.**
**Samnitum praedonum Romani ex integro superiores effecti.**
**Menander comicus primo dramate Ira publicato palmam refert.**
**Theophrastus philosophus celebrabatur.**
**Demetrius Poliorcetes Samariam urbem depopulatur.**
**Menander comicus moritur.**
**Sarapis, qui Sorapis et Serapis, ex nonnullorum sensu Alexandriae collocatur.**
**Vestalium una Romae corrupta capitis damnatur.**

Ῥωμαῖοι Κρότον ἔλαβον.

Ἐν Ῥώμῃ πρῶτον ἀργυροῦν ἐκόπη νόμισμα.

Ῥωμαῖοι Καλαβρίαν ἔλαβον καὶ ὑπέταξαν καὶ Μεσσήνην. C

Ἄρατος ποιητὴς ἐγνωρίζετο, ὃς ἔγραψε τὰ Φαινόμενα.

Οἱ βασιλεῖς Ποντίων δέκα κατὰ τούτους ἦρξαν τοὺς χρόνους διαρκέσαντες ἔτη σιη΄. περὶ ὧν Ἀπολλόδωρος καὶ Διονύσιος ἱστοροῦσι.

Καππαδοκῶν βασιλεῖς ζ΄ χρόνους ρξ΄ διαρκέσαντες κατὰ τούτους ἤρξαντο τοὺς χρόνους, ὡς Διόδωρος γράφει.

Καρχηδόνιοι Ῥωμαίων ϟ΄ ναῦς ἔλαβον ἐν Σικελίᾳ, τρέψαντες καὶ τὸν ὕπατον Μέτελλον.

Ῥωμαῖοι ἀποικίας ἐστείλαντο.

Ἐν Ῥώμῃ παρθένος καταγνωσθεῖσα τοῦ ἱεροῦ τῆς Ἑστίας ἑαυτὴν ἀνεῖλε.

Νικομήδειαν ἐπ' ὀνόματι αὐτοῦ ἔκτισε Νικομήδης βασιλεὺς D Βιθυνῶν.

Ῥωμαῖοι Καρχηδονίους ναυμαχίᾳ νικήσαντες ἑκατὸν πόλεις τῆς Λιβύης ἔλαβον.

Κατὰ τούτους τοὺς χρόνους Ἱέρων τύραννος Σικελίας κρατεῖ Συρακουσῶν καὶ κατὰ Ῥωμαίων Καρχηδονίοις συμμαχεῖ, ἡνίκα πρῶτος πόλεμος Ῥωμαίοις πρὸς Καρχηδονίους κινηθεὶς ἔτη κρα-

1. Κρότον] Κρότωνα Scaliger. *Crotum* Eusebius p. 350. 2. ἄργυρον A. ἀργυρὸν B. 3. ἔλαβον καὶ om. B. *Romani Calabria potiti sunt Messanamque ceperunt* Eusebius p. 351. μεσσίνην B. Vulgo Μεσήνην. 6. ἀπόλλωρος B. 8. καππαδοκῶν B. Καππαδόκων G. 11. μέτελον B. 20. συρρακουσῶν A. Ῥωμαίων] Ῥωμαίους G. 21. κινηθεὶς B. θεὶς G.

Romani Crotonem capiunt.
Nummus argenteus Romae primum cusus.
Romani Calabriam invadunt et Messanam.
Aratus poeta Phaenomenorum scriptor laudabatur.

Ponti reges decem annis 218 regnantes imperii principium hoc tempore posuerunt; de quibus Apollodorus et Dionysius scribunt.

Cappadocum reges septem annis 160 durantes, hac aetate prima regni fundamenta, teste Diodoro, dederunt.

Carthaginenses navibus Romanorum nonaginta captis, Metellum consulem in fugam vertunt.

Romani colonias mittunt.
Virgo Vestalis Romae damnata vitam sibi praeripit.
Nicomedes Bithyniae rex Nicomediam suo nomine condit.

Carthaginensibus mari superatis Libyae civitates centum Romani capiunt.

Temporibus istis Hiero Siciliae tyrannus Syracusas invadit et primo bello, quod Romanos inter et Carthaginenses per annos viginti tres continuatum est, armis Carthaginenses iuvit;, bello secundo Valerius cum Apio

V. 220 τεῖ κγ'. δεύτερος μετὰ Ἀπίωνα Οὐαλέριος ὑπατεύων πάσης ἐξελάσας Σικελίας Καρχηδονίους, τάς τε ἐν αὐτῇ πόλεις ὑπὸ Ῥωμαίους ποιεῖται, πλὴν Συρακουσῶν πόλεως, ἣν εἶχεν Ἱέρων σὺν τοῖς Ἄφροις δεύτερον ἡττηθείς. τότε καὶ Λιβύης ρ' πόλεις εἷλον Ῥωμαῖοι· Ῥωμαῖοι Καρχηδονίους ἐνίκησαν, ἡνίκα καὶ Τοῦλλος
P. 276 ὕπατος μετὰ πόλεμον κγ' ἐνιαυτῶν κρατεῖ Καρχηδονίων καὶ ὑπὸ Ῥωμαίους αὐτοὺς καὶ τὴν χώραν ποιεῖ, λαβὼν καὶ Συρακούσας καὶ Ἱέρωνα τύραννον ἐκδόντα ἑαυτόν, κατὰ τὴν ρκη' ὀλυμπιάδα ἐπὶ Φιλαδέλφου τοῦ Πτολεμαίου, ἐφ' ὃν στρατηγὸς Ἄππιος Κλαύδιος ὑπατεύων πεμφθεὶς πολλὴν Σικελοῖς καὶ Καρχηδονίοις εἰργάσατο φθοράν.

Ἀθηναίοις Ἀντίγονος τὴν ἐλευθερίαν ἀπέδωκεν.

Ἐν Ῥώμῃ ἱερὸν ἐνεπρήσθη τῆς Ἑστίας.

Ἐν Ῥώμῃ ὑπὸ δούλου διακορευθεῖσα παρθένος ἑαυτὴν διεχειρίσατο.

B Ῥωμαῖοι Γάλλων μυριάδας δ' πρὸς τοῖς τριακοσίοις ἀνεῖλον, τοὺς δὲ αἰχμαλώτους αὐτῶν κατεδουλώσαντο, Γαλιαρίους καλοῦντες αὐτούς.

Ἐν Ῥώμῃ παρθένοι ἁλοῦσαι φθορᾷ ζῶσαι κατωρύγησαν.

Σκιπίων Ἀφρικανὸς Κελτιβηρίας πολέμῳ πόλεις πολλὰς Ῥωμαίοις ὑπηγάγετο.

Τούτου υἱοὶ δύο ὁ Φιλοπάτωρ καὶ ὁ Εὐεργέτης.

1. οὐαλέριος B. Οὐαλλέριος G. 3. συρρακουσῶν πόλεων A. 6. ἐνιαυτῶν] ἐνιαυτὸν AB. κρατεῖ om. B. καρχηδονίων B. Καρχηδονίους G. 7. Ῥωμαίους] Ρωμαίων G. συρρακούσας A. 9. τοῦ om. G. Vulgo Ἄπιος. 10. ἠργάσατο B. 13. Ἑστίας] α' ἱστίας A. ἀειστίας B. 14. διεχειρήσατο B. 20. Vulgo Σκηπίων. 22. Τούτου] Antiochum dicit, de quo supra p. 274 c.

collega Carthaginenses Sicilia pellit; urbesque cunctas demptis Syracusis ab Hierone secundum victo et Africanis adhuc occupatas populo Romano subiicit. Eo tempore urbes Libyae 100 capiunt Romani, Carthaginensium copias fundunt; tum Metellus post annum 23 consul declaratus Carthaginenses superat, regionem universam, Syracusas et Hieronem ipsum ad deditionem compellit circa Olympiadem 128, Philadelpho regnante; sub quo Appius Claudius consul renunciatus Carthaginensibus et Siculis cladem magnam intulit.

Antigonus libertatem Atheniensibus restituit.

Romae templum Vestae incendio absumptum.

Romae virgo a servo violata sibi ipsi necem infert.

Gallorum myriadas quatuor et trecentos Romani caedunt et bello captos sibi servos efficiunt et Galliarios vocant.

Romanae Vestales in stupro deprehensae in terram vivae defodiuntur.

Scipio Africanus urbes Celtiberiae plurimas Romanis reddidit subiectas.

Antiochi filii duo Philopator et Euergetes.

Ζήνωνα Στωϊκὸν θανόντα Κλεάνθης μαθητὴς διεδέξατο.

Ἐπίκουρος αὐτοματίτης θνήσκει.

Πολέμων θνήσκει ὁ φιλόσοφος, μεθ' ὃν Ἀλκέτας καὶ Κράτης γνωρίζονται.

Τιμήσεως ἐν Ῥώμῃ γενομένης εὑρέθησαν μυριάδες κϛʹ. C

Καρία καὶ Ῥόδος ἐσείσθησαν, ὡς καὶ τὸν μέγαν κολοσσὸν καταπεσεῖν.

Ῥωμαῖοι διαφόρους παροικίας ἐξέπεμψαν.

Οἱ Βιθυνῶν βασιλεῖς ηʹ κατὰ Διονύσιον ἔνθεν ἤρξαντο, διαρκέσαντες ἔτη σιγʹ.

## ΚΟΣΜΟΥ ΕΤΗ.

Ἰουδαίων ιβʹ ἀρχιεράτευσε Σίμων υἱὸς Ὀνείου ἔτη κʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εσπβʹ.

Ἰουδαίων ιγʹ ἀρχιεράτευσεν Ἰησοῦς ὁ τοῦ Σιράχ, ὁ τὴν σοφίαν γράψας τὴν καλουμένην Πανάρετον, ἐν ᾗ μέμνηται καὶ D Ὀνείου τοῦ πρὸ αὐτοῦ, ἔτη ϛʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵ετηʹ.

### Κατὰ Ἀφρικανόν.

Ἀπὸ τῶν Ἀλεξάνδρου τοῦ κτίστου χρόνων ὑποδύντες Ἰου-

1. *θανόντα* Scaliger p. 67. Vulgo *θανέντα*. 2. *αὐτοματίτης* Scaliger. *αὐτομάτης τίς* B. *αὐτοματί τίς* G. *αὐτοματιστής* m. 3. *Ἀλκέτας* Scaliger. *ἀλκετὰς* B. *ἀλκετᾶς* A. *Ἀλκετοῖς* G. *Ἀρκεσιλᾶς* m. *Arcelaus* Eusebius p. 351. *Ἀρκεσίλας* in Notis Scaliger p. 421. *Κράτης*] *Coton* Eusebius. 8. *παροικίας ἐξέπεμψαν* (*ἐξέπεμψεν* A.) in AB post *βασιλεῖς ηʹ* traiecta in locum suum reposuit Scaliger. Conf. Eusebium p. 354. 9. *Διονύσιον*] Vulgo *Διόνυσον*. Correxit Goarus. 12 et 16. *ὀνείου* B constanter. *Ονίου* G ubique. 15. *Πανάρετον*] Eusebii interpretem Armenium *πάντεχνον* legisse videri ab Maio annotatum est p. 353. 18. *τῶν*] *τοῦ* G.

**Zenonem Stoicum vita functum Cleanthes discipulus excipit.**
**Epicurus mortem spontaneam obit.**
**Polemo philosophus moritur, post quem Arcesilaus et Crates celebrantur.**
**Censu populi Rom. habito civium myriades 26 repertae sunt.**
**Caria et Rhodus terrae motu concussae, quo immanis Colossus in terram actus.**
**Romani varias colonias deducunt.**
**Bithyniae reges octo regni exordium, teste Dionysio, circa haec tempora sortiuntur, annisque 213 perseverant.**

## ANNI MUNDI.

**Iudaeorum pontifex 12 Simon, filius Oniae, annis 20, mundi vero 5282.**
**Iudaeorum pontifex 13 Iesus filius Sirach, libri Sapientiae Panareti virtutum praeceptis locupletis auctor, quo et Oniae decessoris memoriam habet, annis 6, mundi vero 5308.**
**Ab Alexandri conditoris aetate Iudaei Macedonum imperio subiecti,**

δαῖοι τῇ Μακεδόνων ἀρχῇ ποτὲ μὲν Πτολεμαίοις, ποτὲ δὲ τοῖς Ἀντιόχοις ἐτέλουν ὑπόφοροι, ἕως Ὀνείου τοῦ ἀρχιερέως ἀντὶ βασιλέων ὑπὸ τῶν ἀρχιερέων διεπόμενοι τὰ πολλὰ μετ' εἰρήνης. ἐπὶ δὲ τοῦ ιδ' Ὀνείου τοῦδε Σίμων τις προστάτης τοῦ ἐν Ἱεροσολύμοις ναοῦ προσφεύγει Ἀπολλωνίῳ στρατηγῷ Φοινίκης τὴν ἀρχιερωσύνην ἑαυτῷ περιποιούμενος καὶ τὰ τοῦ ἱεροῦ χρήματα προδίδειν ὑπισχνούμενος, ἅτινα μαθὼν ὁ Σέλευκος διὰ τοῦ Ἀπολλωνίου πέμπει Ἡλιόδωρον τὸν ἐπὶ τῶν πραγμάτων, ὃς θείαις
P. 277 μάστιξι παιδευθεὶς κενὸς ἐπανῆλθεν· Ὀνείας δὲ ὁ ἀρχιερεὺς διαπράττεται φυγαδευθῆναι τὸν Σίμωνα. καὶ ἐν τούτοις θνήσκει Σέλευκος ὁ καὶ Φιλοπάτωρ βασιλεύσας ἔτη ιβ', μεθ' ὃν Ἀντίοχος ὁ Ἐπιφανὴς ἀδελφὸς τοῦ αὐτοῦ Σελεύκου, υἱὸς δὲ Ἀντιόχου τοῦ μεγάλου, ὃς καὶ ἦν ὁμηρεύων ἐν Ῥώμῃ. βασιλεύει δὲ Συ-
V. 221 ρίας ἔτη ια'. τούτῳ Ἰάσων ἀδελφὸς Ὀνείου τξ' τάλαντα ὑπέσχετο εἰ τὴν ἀρχιερωσύνην λάβοι, καὶ ξ' ἄλλα προσόδου, καὶ ἕτερα ρ', εἰ τοὺς Ἰουδαίους πρὸς ἑλληνισμὸν μεταγάγοι. ἐφ' οἷς τὸν μὲν Ὀνείαν ἐξέωσε τῆς ἱερωσύνης ὁ Ἀντίοχος, Ἰάσωνι δὲ ταύτην παρέσχεν, ὡς γυμνάσιον ἐφήβων καταστήσας, ἀγῶνος
B ἐν Τύρῳ πενταετηρικοῦ ἀχθέντος θεωροὺς ἔπεμψεν Ἰάσων, καὶ δραχμὰς τρισχιλίας εἰς θυσίαν τοῦ Ἡρακλέους. καὶ τὸν βασιλέα Ἀντίοχον εἰς Ἱερουσαλὴμ ἐλθόντα μεγαλοπρεπῶς ὑπεδέξατο, χρήματά τε ἄλλα διὰ Μενελάου τοῦ ἀδελφοῦ Σίμωνος ἔπεμψεν. ὁ

2. τοῦ ἀρχιερέως — τοῦ ιδ' Ὀνείου om. B. 6. ἀρχιεροσύνην B, ut solet. παραποιούμενος G. 7. προδιδόναι Scaliger p. 67. Recte προδίδειν. Sic δίδειν supra p. 267 d. 11. Σέλευκος ὁ] ὁ Σέλευκος ὁ G. 14. τούτῳ ἰάσων B. τούτῳ τῷ Ἰάσωνι G. 16. ἕτερα] ἄλλα G. 18. ὡς] ὃς m.

qua Ptolemaei, qua Antiochi posteris tributa pendebant et regum vice, pontificum imperio pacis fovendae studioso morem gerebant. Sub Oniae porro istius annum 14 Simon quidam Hierosolymorum templi praefectus Apollonium Phoeniciae ducem pontificatus obtinendi templi divitias prodendi animo convenit. De his Seleucus Apollonii litteris factus certior, Heliodorum regiis rebus praepositum mittit, qui divinis verberibus eruditus, re infecta revertitur; eam ob rem Simonem pelli Onias pontifex studiorum diligentia consequitur. Dum haec aguntur Seleucus Philopator dictus anno regni duodecimo moritur; quem Antiochus Epiphanes, Seleuci frater, Antiochi magni filius, Romae quondam obses datus, excipit, et Syriae imperat annis 11. Huic Iason Oniae frater talenta 360, si modo pontificatum obtineret, pollicebatur; tum annui redditus 60 et Iudaeis ab eo ad Graecam superstitionem adactis alia 100, Antiochus pollicitis illectus Oniam dignitate eiicit et in Iasonem transfert. Hic iuvenum instituta palaestra, quinquennali certamine Tyri celebrato legatos et Herculis sacrificio drachmarum 3000 mittit; et Antiochum Hierosolymam profectum ingenti pecuniarum pondere Menelai fratris Simonis manibus oblato et magnis honoribus

δὲ Μενέλαος τριακοσίοις ταλάντοις ὑπερβαλλόμενος τὸν Ἰάσωνα τῆς ἱερωσύνης ἐπέβη. ἀλλ' Ἰάσων μὲν διὰ ταῦτα εἰς τὴν Ἀμανίτην ἔφυγε, Μενέλαος δὲ μὴ ὑπαντῶν διὰ πλῆθους τὰ ὑποσχεθέντα δοῦναι τῷ Ἀντιόχῳ ἐξώσθη τῆς ἀρχιερωσύνης, Λυσίμαχός τε καὶ ὁ ἀδελφὸς αὐτοῦ διαδέχεται αὐτόν· Ὀνείας δὲ ὁ πρὸ τούτων ἀρχιερεὺς ἔννομος καὶ ἄριστος ἐν ἀνθρώποις κατὰ τὴν Δάφνην ἀποχωρήσας κατηγορῶν Μενελάου ἀναιρεῖται ὑπὸ Ἀν- C δρονίκου δώροις πεισθέντος καὶ ἱεροσυλίαις τοῦ Μενελάου, ὃν Ἀντίοχος ἐπανελθὼν ἐκ Κιλικίας καὶ σφόδρα λυπηθεὶς ἐπὶ τῷ φόνῳ Ὀνείου καθεῖλε τῆς τιμῆς.

Ἑβραίων ἀρχιεράτευσε ιε' Ἰάσων ἀδελφὸς Ὀνείου ἀρχιερέως. ἀνιέρως διὰ χρημάτων ἐκράτησε τῆς ἀρχιερωσύνης, ἐκβαλὼν τὸν ἴδιον ἀδελφὸν Ὀνείαν· καὶ αὐτὸς ἐκβληθεὶς ὑπὸ Μενελάου μετὰ τρία ἔτη διὰ χρημάτων ὁμοίως. τοῦ δὲ κόσμου ἦν ἔτος ,ετιε'.

Μετὰ τὴν ὑπὸ Ἀλεξάνδρου καθαίρεσιν Περσῶν τοὺς ζ' τῆς αὐτοῦ βασιλείας ἤτοι πρὸ τοῦ τῆς Ἑλλήνων βασιλείας ἔτους, Ἕλληνας γὰρ καὶ Μακεδόνας κατὰ τὴν τῶν Μακκαβαίων γραφὴν τοὺς αὐτοὺς μεμαθήκαμεν, ἐξ ὧν ἥ τε κατὰ τὴν Μακεδονίαν μετὰ θάνατον Ἀλεξάνδρου διαιρεθεῖσα ἀρχὴ εἰς ἀρχάς, τήν τε κατ' D Αἴγυπτον τῶν Πτολεμαίων καὶ Ἀντιόχειαν τῶν Ἀντιόχων καὶ τὰς λοιπάς, ὡς ἐκεῖ δεδήλωται, καὶ αὐτὴν τὴν Μακεδονίαν, ὑποχείριον ἔσχε τὸ τῶν Ἰουδαίων ἔθνος, ποτὲ μὲν ὑπὸ τοὺς Πτολε-

7. ἀποχωρήσας B. ὑποχωρήσας G. 8. ἱεροσυλίτης G. 9. λυπηθεὶς] ποθεὶς G. 10. καθεῖλε — ἀδελφὸς Ὀνείου om. G. 15. τοὺς ζ'] τῷ ζ' ἔτει m. 16. πρὸ τοῦ — ἔτους] πρώτῳ ἔτει m. 17. γραφὴν om. G.

excipit. Menelaus talentorum 300 promisso Iasonem superans ad pontificatum evehitur; Iason in Ammanitem se recipit. Menelaus exsolvendi promissi impotens dignitate movetur, subrogato in eius locum fratre Lysimacho. Onias autem legitimus dudum et optimus pontifex Menelaum accusandi causa Daphnem se confert, ubi ab Andronico sacrilegi Menelai donis corrupto interficitur. Antiochus e Cilicia reversus et Oniae sacrilege pecuniarum largitione sublati caede tristatus [lacrymas fundere visus est. Iason itaque Oniam, ut praemisimus,] fratrem pontificatu expulit, quo potitus, a Menelao donis sibi dignitatem comparante post annos tres eiectus est, anno mundi 5315.

Everso Alexandri armis Persarum imperio anno regni septimo, qui Graecorum primus numeratur, (Graecos enim et Macedonas ex Maccabaeorum historia eosdem esse novimus), unica, quae penes Macedoniam stabat regnandi potestas in plura regna divisa est; Aegypti nimirum, cuius principes Ptolemaei; Antiochiae, cuius sceptrum ab Antiochi posteris arreptum, nec non locorum aliorum (prout memorata historia describit) et ipsius tandem Macedoniae proprium. Quocirca Iudaeorum gens modo Pto-

*μαίους, ποτὲ δὲ ὑπὸ τοὺς Ἀντιόχους, μέσον ἐχόντων τῶν δύο τούτων ἀρχῶν τὴν κατοίκησιν τῆς ὑπὸ θεοῦ κεκληροδοτημένης χώρας, εἰρήνης τε ἀπέλαυον ὡς τὰ πολλὰ ἐπὶ ἔτη ρλζʹ ἕως Ἀντιόχου τοῦ Ἐπιφανοῦς, καὶ διεπομένων ὑπὸ τῶν ἀρχιερέων ἀντὶ βασιλέων. πρὸ βραχέως γοῦν τῆς τοῦ Ἐπιφανοῦς Ἀντιόχου βασιλείας, Σελεύκου τοῦ ἀδελφοῦ αὐτοῦ βασιλεύοντος, Ὀνείου δὲ*
P. 278 *ἀρχιερατεύοντος τῶν Ἰουδαίων ἀνδρὸς ἀρίστου καὶ θεοφιλοῦς, Σίμων τις Ἰουδαῖος προστάτης τοῦ ἐν Ἱεροσολύμοις ναοῦ παρανομώτατος, τὸν Ὀνείαν ἐκβάλλειν σπουδάσας πολλαχοῦ καὶ μὴ δυνηθείς, φυγὰς ἧκε πρὸς Ἀπολλώνιον Συρίας καὶ Φοινίκης καὶ Κιλικίας στρατηγόν, μηνύων θησαυροὺς πλείστων χρημάτων ἰδιωτικῶν εἶναι παρὰ τῷ ἀρχιερεῖ Ὀνείᾳ ἐν τῷ ἱερῷ τεθησαυρισμένους, προσήκοντας τῷ βασιλεῖ Σελεύκῳ. ὁ δ' Ἀπολλώνιος μηνύσας τῷ Σελεύκῳ ταῦτα καὶ τὸν τῆς πατρίδος προδότην ἀποδεξάμενος ἔρχεται σὺν αὐτῷ κελευσθεὶς ὑπὸ τοῦ Σελεύκου εἰς*
B *Ἱερουσαλὴμ μετὰ στρατευμάτων, τὰ αὐτὰ ληψόμενος χρήματα. τῶν δὲ Ἰουδαίων ἀδύνατον εἶναι λεγόντων τὰς τῷ ἱερῷ θησαυρῷ πιστευθείσας παρακαταθήκας προδίδοσθαι καὶ τὸν θεὸν λιπαρούντων σὺν δάκρυσι προστῆναι τοῦ ἱεροῦ, τοῦ τε Ἀπολλωνίου μετὰ τῆς ἐνόπλου στρατείας ἐλθόντος εἰς τὸν ναὸν ἁρπάσαι τὰ*
V. 222 *χρήματα, ἄγγελοι φοβεροὶ φανέντες ἔφιπποι πάντας ἐντρόμους κατέστησαν, ὅ τε Ἀπολλώνιος ἡμιθανὴς καταπεσὼν ἐπὶ τὸν*

2. ἀρχῶν] ἐθνῶν G. 3. Vulgo ἀπήλαυον. 9. ἐκβάλλειν σπουδάσας B. σπουδάσας ἐκβάλλειν G. 12. ἰδιωτικὸν A. εἶναι B. μὲν εἶναι G. ἱερῷ] ναῷ G. 13. προσηκοῦντας B. 16. λειψόμενος B. 20. ἁρπάσαι] Vulgo ἁρπάξαι.

lemaeis, modo Antiochis, nationibus istis duabus provinciam a deo quondam Hebraeorum habitationi sorte distributam inter se mediam habentibus, subiecta, pace ut plurimum gaudebat annis 137, pontificibus regum vice publicam rem administrantibus ad Antiochi Illustris aetatem. Exiguo igitur ante Illustrem Antiochum temporis intervallo, Seleuco eius fratre regnum moderante, et Onia viro integro et religioso Iudaeorum pontificatum tenente, Simon quidam Iudaeus Hierosolymitani templi praefectus, homo nequissimus, frequenter Oniam pontificii culmine deiicere, incassum licet molitus, tandem ad Apollonium Syriae, Phoenices et Ciliciae praepositum fugiens, congestos privatarum pecuniarum thesauros Seleuci regis aerario reponendos apud Oniam in templo servari denunciat. Haec ad regem vicissim refert Apollonius et patriae proditorem humaniter excipit; Seleucique iussu ductis secum militibus et Iasone Hierusalem advolat, memoratas divitias aerario publico addicturus. Iudaeis thesauro deposita commissa prodere nefas esse conclamantibus et cum lacrymis templi clientelam deum sumere contestantibus, Apollonio vero armatorum militum vi cuncta dirimere contendente, angeli terribiles equis insidentes manifesto visi circumspectantibus cunctis stuporem haud exiguum ingesserunt. Quare Apollo-

πάμφιλον περίβολον τοῦ ἱεροῦ παρεκάλει δεηθῆναι τοὺς Ἑβραίους ὑπὲρ αὐτοῦ. θεραπευθεὶς δὲ ταῖς Ὀνείου λιταῖς ἧκε πρὸς Σέλευκον κενός, ἀγγέλλων τὰ συμβάντα αὐτῷ· καὶ ἐν τούτοις ὁ Σέ- C λευκος τελευτᾷ, ὡς ἐν τῇ δ' τῶν Μακκαβαϊκῶν βίβλῳ φέρεται. ἐν δὲ τῇ β' τῶν αὐτῶν Μακκαβαϊκῶν βίβλῳ ἄλλως πως ἱστορεῖται τὰ κατὰ τὸν παρὰ Σελεύκου σταλέντα πρὸς ἁρπαγὴν τῶν χρημάτων Ἡλιόδωρον τὸν ἐπὶ τῶν χρημάτων, ὡς καὶ αὐτὸς μὲν βιαίως ἁρπάζων ἀνῆλθε τὰς χηρῶν τε καὶ ὀρφανῶν παρακαταθήκας ἐν τῷ ἱερῷ γαζοφυλακίῳ, ταλάντων οὔσας χρυσίου σ' καὶ ἀργυρίου υ' μόνων, ἐν οἷς καί τινα ἦν τῶν αὐτῶν χρημάτων Ὑρκανοῦ τοῦ Τωβίου ἀνδρὸς ἐπισήμου, ὡς Ὀνείας ὁ ἱερὸς ἀρχιερεὺς ἀπέδειξε, καὶ οὐχ ὡς Σίμων ὁ κατάρατος διεψεύσατο. τοῦτον οὖν Ἡλιόδωρον, φησί, καὶ τοὺς σὺν αὐτῷ δορυφόρους ἵππος τις φοβερὸς καλλίστῃ σάγῃ διακεκοσμημένος, φοβερώτερον D ἔχων τὸν ἐπιβάτην, καὶ ῥύδην φερόμενος ἐξεδειμάτωσε τὰς ἐμπροσθίους ἐνσείσας ὁπλὰς αὐτῷ καὶ τῇ ἐνόπλῳ χρυσαυγείᾳ τοῦ ἐπιβάτου. οἵ τε ἄλλοι φανέντες ἐκπρεπεῖς καὶ καταπληκτικοὶ δύο νεανίαι μαστίζοντες αὐτὸν κατὰ νώτου καὶ στέρνων ἀφῆκαν ἡμιθανῆ· ὑπὲρ οὗ τὸν θεὸν ἐξιλεουμένου τοῦ Ὀνείου οἱ αὐτοὶ νεανίαι φανέντες τῷ Ἡλιοδόρῳ εἶπον ἔχειν Ὀνείᾳ τῷ ἀρχιερεῖ τὴν χάριν, δι' οὗ τὸ ζῆν ἔχει, καὶ πᾶσι διαγγέλλειν τὸ θεῖον κρά-

2. ταῖς] ταῖς τοῦ G. 3. ἀγγέλλων B. ἀναγγέλλων G. 4. τελευτᾷ. ὡς ἐν τῇ β' τῶν Μακκαβαϊκῶν ἄλλως πως G. 5. β'] Cap. 3. 7. τὸν] τῶν B. 10. τῶν αὐτῶν B. αὐτῶν τῶν A. solum αὐτῶν G. αὐτῶν delendum. 11. τοβίου B. 12. οὐχ ὡς] οὐχ ὁ A. 15. ἐμπροσθίους] ἐμπροσθείους B. ἐμπροσθήρους G. 17. εὐπρεπεῖς G. 18. νώτου B. νώτων G. ἀφῆκον G.

nius semianimis in carum templi septum decidens, Iudaeos ad preces pro se offerendas sollicitabat. Hinc Oniae votis servatus, quae sibi contigerant palam factis ad Seleucum reversus est; et inter haec Seleucus vivis eripitur. Porro res ab Heliodoro regii aerarii praeposito gestae, cum a Seleuco thesauros rapturus fuit missus, ratione nonnihil diversa libro Maccabaeorum secundo narrantur. Ut nimirum viduarum et orphanorum deposita e sacro gazophylacio asportaturus adscenderit in templum; quorum tamen pretium auri talenta 200 et argenti 400 non excederet, in quibus insuper erant nonnulla, quae ad Hyrcanum Tobiae filium virum inprimis nobilem pertinerent, prout Onias sacer pontifex sincere demonstrabat, non ut mendaciter exsecrandus Simon enunciaverat. Hunc igitur Heliodorum, ait, et adiunctos satellites equus quidam terribilis ornatissimis phaleris instructus, sessoremque longe magis tremendum ferens, impetu in eum facto, anterioribus vibratis calcibus, aureorumque sessoris armorum radiante fulgore exterruit. Una iuvenes duo aeque specie ac vultu tremendi visi sunt, qui Heliodorum tergo et pectore toto caesum semivivum reliquerunt; pro cuius salute Onia divinum numen interpellante, iidem iuvenes facti Heliodoro conspicui dixerunt; haberet Oniae pontifici gratiam, cuius meritis vitam

τος· ὃς θύσας τῷ θεῷ καὶ ἀναζεύξας πρὸς Σέλευκον ἅπαντα τῷ βασιλεῖ τὰ παράδοξα διηγεῖτο. ταῦτα δὴ κατὰ τὴν δευτέραν τῶν Μακκαβαϊκῶν ὁ συγγραφεὺς, ἀφεὶς τὰ κατὰ τὸν Σέλευκον, P. 279 ἀπὸ τῶν κατὰ τὸν Ἀλέξανδρον τὸν Μακεδόνα καὶ τοὺς μετ' αὐτὸν ἐπιτεταμένως ἀπὸ Ἀντιόχου τοῦ Ἐπιφανοῦς ἤρξατο, λέγων ὅτι τῷ ρλζ' ἔτει βασιλείας Ἑλλήνων ἐβασίλευσε, καὶ ὅτι παρανόμως οἱ υἱοὶ ἐξ Ἰσραὴλ πορευθέντες πρὸς αὐτὸν ἑλληνίζειν ᾐτήσαντο, αὐτός τε Ἀντίοχος τούτοις προσετέθη καὶ τὸν κατὰ Πτολεμαίου καὶ τῆς Αἰγύπτου πόλεμον ἐκίνησεν ἐν ἅρμασι καὶ ἐλέφασι καὶ ἱππεῦσι καὶ στόλῳ μεγάλῳ, σκευάσας τε τὴν Αἴγυπτον ἐπανῆλθεν εἰς Ἱερουσαλὴμ ἐν ὄχλῳ βαρεῖ τῷ ρμγ' ἔτει βασιλείας Ἑλλήνων· ὅπως τε εἰς τὸ ἁγίασμα μεθ' ὑπερηφανίας εἰσελθὼν ἔλαβε τὸ θυσιαστήριον καὶ τὴν λυχνίαν τοῦ φωτὸς καὶ πάντα τὰ σκεύη B οἴκου κυρίου καὶ τὸν κόσμον καὶ τοὺς θησαυροὺς, ποιήσας φονοκτονίαν πολλήν· ἡνίκα καὶ τὰ κατὰ Ἐλεάζαρον καὶ τοὺς ἑπτὰ παῖδας καὶ τὴν μητέρα αὐτῶν μαρτυρικῶς πέπρακται, ὡς ἐν τετάρτῃ βίβλῳ τῶν Μακκαβαϊκῶν. καὶ μετὰ δύο ἔτη ἀπέστειλεν ἄρχοντα φορολογῆσαι τὴν Ἰουδαίαν· οὗτος δὲ ἦν Ἀπολλώνιος μυσάρχης ὑπὸ Μενελάου τοῦ καταράτου αἰτηθεὶς σταλῆναι παρ' Ἀντιόχου πρὸς τελείαν καταφθορὰν τῆς Ἱερουσαλὴμ καὶ τῶν ἐν αὐτῇ. ἐλθὼν οὖν εἰρηνικῶς ἐφ' ἡμέρας τρεῖς διῆγεν ὡς φίλος. C τῇ δὲ ἡμέρᾳ τοῦ σαββάτου πάντων ἀργούντων κατέσφαξε τοὺς

5. λέγων B. λέγειν G. 10. κατασκευάσας m. 11. εἰς] ἐν G. 15. τὰ om. B. 21. εἰρηνικὸς A.

receperat, ut dei potentiam cunctis redderet manifestam. Ille victimis deo immolatis, ad Seleucum remeans, cuncta haec stupenda regi enarravit. At vero tum quae Seleucum, tum quae alios Alexandri Macedonis successores spectant fusius et explicatius tractandis Maccabaeorum libro secundo relictis, ab Antiocho Illustri narrationis principium auctor exorsus est; ut videlicet regni Graecorum anno 137 solium conscenderit, et ut filiis Israël impie ad eum confluentibus et Graecorum superstitioni addici postulantibus assensum et animum adiecerit; ut ingenti armorum, elephantum, equitum, classis quoque apparatu bello in Ptolemaeum et Aegyptum moto, regione vastata, victor Hierosolymam numeroso exercitu secum ducto fuerit ingressus anno Graecorum imperii 143, et ut in sancta arroganter intrusus altare, luminis candelabrum et vasa domus domini cuncta, ornatum omnem, thesauros universos plurima strage praemissa secum asportaverit; quo tempore Eleazari, septem puerorum et eorum matris martyrio probata constantia refulsit; quae libro Maccabaeorum quarto discribuntur. Elapso biennio ex optimatibus quendam Iudaeae vectigalia collecturum rex misit. Erat hic impius Apollonius integrae Hierusalem et civium eius ruinae consummandae ab exsecrando Menelao, ut ab Antiocho mitteretur, expetitus. Pacem in adventu praeferens dies solos tres amicorum more agendos statuit. Sabbati demum die cessantibus operis militaris aetatis

*ἐν ἡλικίᾳ καὶ τὴν πόλιν ἐνέπρησε, τὸ δεύτερον τὰ τείχη καθελὼν καὶ τοὺς οἴκους αἰχμαλωτίσας τε γυναῖκας καὶ τὰ τέκνα σὺν τοῖς ὑπάρχουσι· τὰ δὲ σκῦλα ἀπέθετο ἐν τῇ ἄκρᾳ τῇ λεγομένῃ πόλει Δαβὶδ, ἥτις ἦν ὀχύρωμα τῇ Ἱερουσαλὴμ, ἐποικοδομήσας αὐτὴν τείχει μεγάλῳ καὶ πύργοις ὀχυροῖς καὶ ἐγκατοικίσας στράτευμα καὶ ὅπλα καὶ τροφὰς ἀποθέμενος. καὶ μετὰ ταῦτα ἀπέστειλεν Ἀντίοχος γέροντα Ἀθηναῖον, καταναγκάζων τὸ ἔθνος ἑλληνίζειν* V. 223 *καὶ πᾶσαν τὴν κατὰ νόμον ἀποπαῦσαι λατρείαν· καὶ ἐν τῷ ναῷ Διὸς Ὀλυμπίου στησάμενος ἄγαλμα τῇ ιε' ἡμέρᾳ τοῦ μηνὸς Χασελεῦ, ἔτει κατὰ Ἰώσηππον ρμε', ἐν δὲ Σαμαρείᾳ Διὸς ξενίου. τά τε βιβλία τοῦ νόμου κατασχίζειν προσέταξε καὶ ἐμπιπρᾶν, τοὺς* D *δὲ περιτεμνομένους θανατοῦν, καὶ τὰ νεκρὰ τῶν βρεφῶν κρεμᾶν ἐκ τῶν τραχήλων τῶν μητέρων, καὶ πολλοὶ ἐξ Ἱερουσαλὴμ ἀπέθανον ὑπὲρ τῶν πατρίων νομίμων.*

*Τότε Ματθίας τις ἱερεὺς τῶν υἱῶν Ἰωαρεὶμ, υἱὸς Ἰωάννου τοῦ Συμεὼν, ἐξελθὼν ἀπὸ Ἱερουσαλὴμ ἐκάθισεν ἐν Μωδεεὶν, καὶ αὐτῷ υἱοὶ πέντε, Ἰωάννης ὁ ἐπιλεγόμενος Γάδδης, Σίμων ὁ καλούμενος Θάσος, Ἰούδας ὁ καλούμενος Μακκαβαῖος, Ἐλεάζαρος ὁ καλούμενος Ἀβαρὰν, Ἰωνάθας ὁ καὶ Σαπφοῦς. οὗτος ἐθρήνει* P. 280 *τὴν πόλιν καὶ τὸ σύντριμμα τοῦ γένους σὺν τοῖς υἱοῖς, περιθέ-*

1. τὸ δὲ δεύτερον G. 3. σκύλλα A. τῇ] τε A. 5. Vulgo ἐγκατοικήσας. 6. ἀποθέμενος] καὶ ἀποθέμενος A. 7. καταναγκάζων B. καταναγκάζοντα G. Conf. Maccab. II, 6. 9. Χασλεῦ G. 10. ἰώσηππον B. τὸν Ἰώσηππον G. 13. ἐκ τὸν τράχηλον B. 16. ἐκάθησεν B. μωδεεῖν B. μωδεεὶμ A. Μοδεεὶμ G. Vide Ioseph. Antiq. XII, 6. 17. αὐτῷ] αὐτοὶ A. 19. ἀβαρᾶν A. καὶ om. G. σαπφοῦς AB. Σάπφους G. Corrige Ἀπφοῦς ex Iosepho. ἐθρήνη B.

**viros trucidari et civitatem succendi imperat; muris deinde disiectis et eversis aedibus, facultatibus quoque direptis mulieres et pueros captivos egit; spoliis mox in arce, civitate David nuncupata, Hierosolymorum videlicet loco munito, depositis; altis muris et firmis turribus, militum praesidio, armis cibisque illatis locum communivit. His actis misit Antiochus senem quendam Atheniensem, qui divino ac secundum Mosi legem cultu exstincto, ad profanum Graecorum ritum Iudaeos transire cogeret. Quocirca in dei templo Iovis Olympii statuam Chasleu mensis die decimo quinto anno iuxta Iosephi computum 145, et in Samaria Iovis Hospitalis simulacrum posuit; legis libros discerpi et flammis comburi, pueros circumcisos necari et e matrum collis suspensa mortuorum publice deferri praecepit; eam ob rem cadavera patrii instituti legibus observandis leto plurimi sese exposuerunt.**

**Eo tempore Matthias quidam sacerdos ex filiis Ioarim, Ioannis filius, Symeonis nepos, Hierosolymis egressus recessit in montem Modim. Erant porro illi filii quinque, Ioannes, cognomento Gaddes, Simon, nuncupatus Thasus, Iudas, dictus Maccabaeus, Eleazarus, qui et Abaran, ac Ionathas, qui Apphus. Hic sanctam urbem et saccis indutus eius calamitatem**

μενος σάκκους. ἐλθόντα δὲ τὸν παρὰ τοῦ βασιλέως καταναγκάζοντα θύειν τοῖς εἰδώλοις ὡς εἶδε, τινὰ προσελθόντα Ἰουδαῖον ἐπὶ τὸν βωμὸν ἐν Μωδεεὶμ τῇ πόλει δραμὼν ἔσφαξεν αὐτὸν, καὶ τὸν ἄνδρα τὸν παρὰ τοῦ Ἀντιόχου ἀναγκάζοντα θύειν, ὡς Φινεὲς τὸν Ζαμβρὶ υἱὸν Σαλὼμ καὶ τὴν Μαδιανῖτιν. καὶ ἐξῆλθε φεύγων σὺν τοῖς υἱοῖς καὶ ἄλλοις ὁμογνώμοσι πλείστοις εἰς τὴν
B ἔρημον. οἷς ἐπιπέμψας ὁ βασιλεὺς στράτευμα ἐν ἡμέρᾳ σαββάτου ἀνεῖλεν αὐτῶν ἀμφὶ τοὺς χιλίους. Ματθίας δὲ βουλευσάμενος σὺν τοῖς φίλοις ἔγνω καλὸν εἶναι πολεμεῖν ὑπὲρ τῶν νομίμων ἐν σάββασι. καὶ ἐκράτησε πολλῶν καὶ πόλεις ἠλευθέρωσε καὶ βωμοὺς κατεστρέψατο. οὗτος ἀποθνήσκων περὶ εὐσεβείας τοῖς σὺν αὐτῷ διελέχθη, καὶ τοὺς υἱοὺς ἀντ' αὐτοῦ κατέστησεν ἄρχοντας τοῦ λαοῦ, ὧν Ἰούδας ἡγεῖτο ὁ Μακκαβαῖος. πρὸς τοῦτον Ἀπολλώνιος Ἀντιόχου στρατηγὸς παραταξάμενος μετὰ δυνάμεων Σύρων καὶ Σαμαρέων ἀναιρεῖται σὺν πολλοῖς. ἔπειτα Σήρων ἄρχων δυνάμεως Συρίας ἐπελθὼν Ἰουδαίοις μετὰ δυνάμεως μεγάλης ἀναιρεῖται σὺν πολλοῖς. πρὸς ταῦτα ἀγανακτήσας Ἀντίοχος, μέλλων ἐπὶ τὴν Περσίδα πορεύεσθαι διὰ φόρων συναγωγὴν, ἐκέλευσε Λυ-
C σίαν τὸν ἐπὶ τῶν πραγμάτων Ἰουδαίοις πολεμεῖν· ὃς Πτολεμαῖον καὶ Γοργίαν καὶ Νικάνορα στρατηγοὺς ἐκπέμπει, οἰόμενος τὸν Ῥωμαϊκὸν φόρον τὰ ͵α τάλαντα ἐκ τῶν Ἰουδαϊκῶν λαφύρων

3. ἐν μωδεεὶμ B. ἐμμωδεεὶμ A. ἐν Μοδεὶμ G. 5. ζαμβρὶ B. Ζαμρὶ G. μαδιανήτην B. 12. Vulgo διηλέχθη. 14. δυνάμεων AB. δυνάμεως G. Iosephi (XII, 7.) comparatio docet Georgium dicere debuisse μετὰ δυνάμεως Σαμαρέων, omissis Σύρων καὶ. 15. ἔπειτα — σὺν πολλοῖς addidi ex AB. Σήρων] Codices σύρων. 18. ἐπὶ] εἰς G. 19. τὸν] τῶν B. 21. τὰ ͵α B. χίλια G.

cum filiis lugebat. Eum vero qui ex regis mandato idolis sacra facere cogeret et una Iudaeum quendam in civitate Modim immolare paratum cum cerneret, exsiliens sacrificaturum occidit, unaque senem ab Antiocho missum et ad impios ritum compellentem, ad Phinees instar Zamri filium Salom et Madianitidem confodientis, e medio propria manu sustulit; mox cum filiis et aliis eiusdem consilii consciis fuga se proripuit in desertum, in quos exercitu die Sabbati misso ex eis circa mille viros rex gladiis confecit. Matthias communicato cum amicis proposito etiam Sabbatis arma tractare, bello vitam legemque tueri aequi bonique consuluit; ex quo frequentes victoriae, urbes in libertatem vindicatae, eversae gentilium arae. Moriturus demum cum suis de religione habito tractatu, filios populi principes instituit, et Iudam Maccabaeum summum inter eos ducem. Antiochi dux Apollonius Syrorum et Samariensium copiis eductis commissoque praelio, e suis plures amisit et ipse vitam in conflictu reliquit. His exacerbatus Antiochus indicta in Persidem corrogandarum ergo pecuniarum profectione, Lysiam negotiis Iudaeae praefectum Iudaeos bello lacessere iubet, ac Ptolemaeo, Gorgia et Nicanore ducibus institutis, pendendum Romanis talentorum mille tributum ex Iudaeorum spoliis collecturum se sperabat. Illi ad Emmauntem

παριστᾶν. συμβαλόντες δὲ περὶ Ἐμμαοῦντα τοῖς Ἰουδαίοις ἡττῶνται δεινῶς, καὶ τῷ ἐφεξῆς ἔτει ὁμοίως πάσχουσιν Ἕλληνες. τότε Ἰούδας ἐλθὼν εἰς Ἱερουσαλὴμ, τὸν ναὸν ἐκάθηρε τῶν βδελυγμάτων, πολιορκῶν τοὺς ἐν τῇ ἄκρᾳ φρουροῦντας καὶ τειχίζων τὴν πόλιν, τοῖς τε ἐν τῇ Ἀκραβεντήνῃ Ἰουδαίοις ἐπολέμει καὶ Ἀμμανίταις καὶ Τιμοθέῳ ἐπικειμένῳ τῇ Γαλααδίτιδι. Τυρίοις δὲ καὶ Σιδωνίοις καὶ Πτολεμαίοις πορθοῦσι τὴν Γαλιλαίαν τὸν ἀδελφὸν ἔπεμψε Σίμωνα καὶ πάντας ἀπέστησεν. ἐν οἷς κατὰ Ἰώ- D σηππον ἐπίτροπον τῆς πόλεως ὑπὸ Ἰούδα κατασταθέντα καὶ ἡ κατὰ Ἰαβανίαν πόλιν ἀποτυχία αὐτοῦ· εἶτα Ἰούδα τιμωρία εἰς Ἰόππην καὶ τοὺς ἐν αὐτῇ διὰ τοὺς ὑπ' αὐτῶν καταποντωθέντας Ἰουδαίους, καὶ ἡ κατὰ Ἰαβινίας καὶ Τιμοθέου εὐδοκίμησις Ἰούδα.

Ἀντίοχος δὲ ὁ βασιλεὺς Ἐλυμαΐδι πόλει Περσικῇ διὰ πλοῦτον V. 224 πολὺν ἀποκείμενον ἐν αὐτῇ προσβαλὼν εἰς πόλεμον ἀποτυγχάνει. ἀπαγγελθέντων δὲ αὐτῷ καὶ τῶν Ἰούδα ἀριστευμάτων νόσῳ περιελθὼν ἀθυμίας καὶ ἀϋπνίας δεινῶς θνήσκει. Λυσίας δὲ τὸν P. 281 αὐτοῦ παῖδα Ἀντίοχον ἀνατρέφων Εὐπάτορα προσαγορεύσας ἐπὶ τῆς ἀρχῆς καθιστᾷ, μετὰ δυνάμεώς τε πολλῆς καὶ ἐλεφάντων κατὰ Ἰουδαίων ἐπιστρατεύει. κρατερᾶς δὲ μάχης συστάσης καὶ τοῦ βασιλικοῦ θηρίου ὑπὸ Ἐλεαζάρου τοῦ Σαναρὰν ἀναιρεθέντος ὁ

1. παριστᾶν B. περιστᾷν G. 3. τῶν βδελυγμάτων] ἀγαλμάτων G. 5. ἀκραβεντήνῃ B. ἄκρᾳ Βεττίνῃ G. Vide Iosephum XII, 8. 11. Ἰόππην] ἰώππην B. Ἰώσηππον G. 12. ἰαβινίας B. Ἰαβιννίας G. 18. ἀναγορεύσας G. 21. σαναρὰν B. σαναρᾶν A. Σαβαρὰν G.

cum Iudaeis congressi contrarium Martem experiuntur, quo pariter anno succedente afflictantur Graeci. Iudas victoriis elatus et in Hierusalem profectus, templo idolis expurgato, praesidium in arce positum obsidet, urbis moenia restaurat, et cum Acrabettinensibus Idumaeis, cum Ammanitis et Timotheo per Galaaditidem regionem grassantibus frequentioribus praeliis dimicat. Tyrios etiam, Sidonios et Ptolemaicas copias Galilaeam depraedantes misso fratre Simone reprimit. Temperavit nihilo secius victoriarum successum clades ad Iamniam civitatem accepta, et Iosephi, quem Iudas urbi procuratorem dederat, proditio, quam Iosephus ipse sanguine expiavit; poena quoque a sceleratis civibus expetita propter Iudaeos oppressos, res quoque adversus Iamniam et Timotheum gestae Iudae nomen clarius reddidere.

Antiochus autem rex Elymaidem civitatem Persicam immensis opibus in ea repositis locupletem bello capere molitus, spe frustratur; praeclaris quoque Iudae facinoribus auditis, morbo corripitur et moerore somnique inedia iactatus interiit. Lysias filium eius Antiochum, eius enim erat nutritius, Eupatorem appellatum in solio collocat et cum copioso militum et elephantum numero in Iudaeos movet; crudeli hinc inde certamine inito, Eleazarus Auranes regium elephantem confodit; rexque demum cum Iu-

βασιλεὺς Ἰουδαίοις ἐσπείσατο. καὶ εἰσελθὼν εἰς τὴν πόλιν καθεῖλε τὸ τεῖχος μετὰ τοὺς ὅρκους Ἰούδαν καταλιπὼν ἄρχειν μέχρι Πτολεμαΐδος. καὶ ἀναζεύξας εἰς Ἀντιόχειαν ὀξέως κατὰ Φιλίππου ἐκ Περσίδος ἐπανελθόντος σὺν ταῖς δυνάμεσι καὶ τὴν βασιλείαν εἰς ἑαυτὸν περιστήσαντος, ὃν πολιορκήσας κατέλαβε τὴν Ἀντιόχειαν. B αὐτός τε παραυτὰ ἐκβληθεὶς ὑπὸ Δημητρίου υἱοῦ Σελεύκου ὁμηρεύοντος ἐν Ῥώμῃ καὶ κατελθόντος εἰς Τρίπολιν τῆς Φοινίκης πλῷ, ἐν ἡμέραις ἀναιρεῖται συλληφθεὶς ἅμα τῷ Λυσίᾳ παρὰ τοῦ πλήθους, προστάξει Δημητρίου ἀδελφιδοῦ μὴ ἀνασχομένου θεάσασθαι αὐτὸν, βασιλεύσας ἔτος ἓν ἥμισυ· μεθ᾽ ὃν ὁ αὐτὸς Δημήτριος βασιλεύει ἔτη ιβ΄. τούτῳ προσφεύγουσιν ἀσεβεῖς τινες Ἰουδαῖοι, ὧν ἡγεῖτο Ἄλκιμός τις ἐκ τοῦ ἱερατικοῦ γένους. οὗτος τοῦ Ἰούδα κατηγορεῖ τὴν ἱερωσύνην τε πρὸς τοῦ Δημητρίου ἐγχειρίζεται. διὰ τοῦτο καὶ εἰς τὴν πατρίδα Βακχίδην στρατηγὸν ἔχων μετὰ δυνάμεως ἔρχεται κατὰ τοῦ Ἰούδα καὶ τῶν ὁμο- C φύλων. λόγοις δὲ πείθειν τὸν Ἰούδαν οὐ δυνηθεὶς ὁ Βακχίδης δολεροῖς σὺν τῷ ἀνιέρῳ Ἀλκίμῳ τῶν Ἰουδαίων ἐπισήμους ἄνδρας ξ΄ λόγοις εἰρήνης ἀπατήσαντες ἀνεῖλον ἐν ἡμέρᾳ μιᾷ· τήν τε ἱερωσύνην κατορθώσας τῷ Ἀλκίμῳ Βακχίδης ἀνέζευξε πρὸς Δημήτριον. μετὰ δὲ ταῦτα πολλοὺς τῶν ἀσεβῶν τιμωρουμένου τοῦ Ἰούδα Δημήτριος Νικάνορα μετὰ δυνάμεως πέμπει καταλῦσαι τὸν πόλεμον τῷ Ἰούδα, γῆμαί τε καὶ παιδοποιήσασθαι. τούτοις

2. καταλειπὼν B. 4. ἐπανελθόντος m. ἐπανελθόντι G. καὶ om. G. 5. κατελάβετο B. 7. πλῷ B. πλοῖ G. 8. παρὰ add. B. 12. ἐκ τοῦ om. G. 16. βακχήδης B. 17. Ἰουδαίων] ἀσιδαίων B.

daeis pacem componit. Et ingressus civitatem foederibus violatis civitatis moenia diruit; Iudam vero ad Ptolemaidem usqué dominari permittit. Mox Antiochiam celeriter regressus Philippo ex Perside cum exercitu revertenti et regnum sibi vindicanti vires adversas opponit et Antiochiam obsidione captam ingreditur. Demum a Demetrio Seleuci, qui Romae fuerat obses, et navi Tripolin Phoenices appulerat paucis diebus interpositis cum Lysiae copiis comprehensus Demetrii consobrini iussu, cuius colloquium nulla ratione potuit obtinere, interficitur, regnum moderatus anno solo et dimidio, cui Demetrius annis 12 successit. Ad eum Iudaei quidam sceleribus insignes, quorum princeps fuit Alcimus sacerdotali stirpe natus, confugiunt. Hic Iuda plurimorum accusato, pontificis dignitatem a Demetrio consequitur. Quocirca Bacchidis ducis et armatorum comitatu fretus Iudam et contribules ulturus revertitur. Cum vero Bacchides et sacrilegus Alcimus dolis Iudam circumvenire non possent, viros Iudaeos sexaginta, fraudulentae pacis obtentu deceptos uno die confecerunt; et pontificiis infulis Alcimo a Bacchide delatis, Bacchides ipse ad Demetrium rediit. Imperiorum deinde Iudaeorum crimina poenis ultricibus Iuda persequente, Nicanorem cum apparatu bello in Iudam mittit Demetrius .......

δ' οὐκ ἀρεσθεὶς Ἄλκιμος διέβαλε τὸν Νικάνορα αἰτῶν ζῶντα συλλαβεῖν τὸν Ἰούδαν. πολέμου δὲ συστάντος νικῶσιν οἱ περὶ τὸν Ἰούδαν, πίπτει δὲ Νικάνωρ, ἀποτμηθείς τε τὴν κεφαλὴν σὺν τῇ δεξιᾷ εἰς Ἱερουσαλὴμ ἀνεσταυρώθη. Ἰούδας Ῥωμαίοις καὶ D Λακεδαιμονίοις φιλοῦται. Δημήτριος μανεὶς πέμπει Βακχίδην σὺν Ἀλκίμῳ κατὰ τοῦ Ἰούδα. οἱ δὲ ἐπελθόντες τῷ Ἰούδα περὶ τὴν Βασὰν οὐκ ἔχοντι πλὴν ω' ἀνδρῶν συμβάλλουσι. καὶ πεσόντων ἐξ ἀμφοτέρων πολλῶν Ἰούδας ἀριστεύων θνήσκει. τούτοις ἀκόλουθα περιέχει ἡ αὐτὴ πρώτη τῶν Μακκαβαϊκῶν βίβλος τὰ κατὰ Ἰωνάθην καὶ τοὺς ἀδελφοὺς αὐτοῦ. ἡ δὲ τρίτη τὰ πρὸ τούτων πραχθέντα δεινὰ ὑπὸ Πτολεμαίου τοῦ Εὐπάτορος εἰς Ἰουδαίους. εἰσὶ δὲ τὰ τῶν ἀνιέρως διὰ χρημάτων κρατησάντων Σίμωνος, Ἰάσωνος, Μενελάου καὶ Λυσιμάχου ἐπὶ τῆς ἀπιστίας Σελεύκου καὶ Ἀντιόχου ἔτη ιθ', καθὼς τοὺς ὄπισθεν καὶ τοὺς με- P. 282 τέπειτα ἀρχιερεῖς ὁ τὴν βίβλον συνταξάμενος ἐστοιχείωσε.

## Μακεδόνων βασιλεῖς.

Μακεδόνων ιδ' ἐβασίλευσεν Ἀντίγονος ὁ Φοῦσκος ἔτη ιβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,εσξθ'.

Μακεδόνων ιε' ἐβασίλευσε Φίλιππος υἱὸς Δημητρίου ἔτη καθ' V. 225 ἑαυτὸν μβ', ἐκ Χρυσηΐδος τῆς αἰχμαλώτου. τοῦ δὲ κόσμου ἦν ἔτος ,εσπα'.

1. διέβαλε B. διέβαλλε G. αἰτῶν] ζητῶν G. 3. τε] δὲ B. 12. ἀνιέρως] ἀνιέρων G. 13. ἀπιστείας B. 16 om. B. 21. ,εσπα' B. ,εσξπα' (sic) A. ,εσξα' G.

connubia nectere et filiis procreandis vacare. His parum contentus Alcimus Nicanorem incusat et Iudam vivum comprehendere contendit. Certamine vero commisso cadit ipse Nicanor, et capite dextraque praecisis, Hierosolymis cruci suffixus est. Iudas Romanis et Lacedaemoniis amicitia iungitur. Demetrius ira percitus Bacchidem et Alcimum mittit in Iudam. Illi ad Basan fines cum Iuda viris duntaxat 800 stipato congressi, caesis ex utraque parte plurimis, Iudam vires ostentantem bellicas opprimunt. His adiuncta continet Maccabaeorum liber iste primus, res nimirum ab Ionatha et eius fratribus gestas; tertius praevias calamitates ab Eupatore Ptolemaeo in Iudaeos inductas narrat; quae videlicet a sacrilegis Simone, Iasone, Menelao et Lysimacho sub Seleuci et Antiochi infidelium regno pecuniarum largitione potestatem assequutis per annos novemdecim sunt attentata; prout retropositos et succedentes pontifices memoratorum auctor librorum recensuit.

## Macedonum reges.

Macedonum rex 14 Antiochus Phuscus annis 12, mundi vero 5269.

Macedonum rex 15 Philippus Demetrii filius e Chryseide captiva natus annis 42 regnavit solus; mundi vero 5281.

Ἐπὶ τούτου τοῦ Φιλίππου Τίτος Ῥωμαίων στρατηγὸς εἰς
Μακεδονίαν ἐλθὼν κρατεῖ μὲν χειρὶ Μακεδόνων καὶ ὑπὸ Ῥω-
B μαίους τίθησι, συμμαχῶν Ἀννίβᾳ καὶ Καρχηδονίοις κατὰ Ῥω-
μαίων συνθεμένοις, ὅμηρόν τε λαμβάνει Δημήτριον τὸν αὐτοῦ
παῖδα, ὑπαγόμενος καὶ Λακεδαιμονίους καὶ τοὺς λοιποὺς Ἕλλη-
νας φιλανθρωπίᾳ καὶ πραότητι καὶ συνέσει τὴν ἐλευθερίαν
παρέσχε.

Τότε Ἐρατοσθένης ἐγνωρίζετο.

Μακεδόνων ιϛ' ἐβασίλευσε Περσεὺς ἔτη η' καὶ μῆνας θ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ετκγ'.

Ἐπὶ τούτου τοῦ Περσέως τὰ Μακεδόνων καταλέλυται περὶ
C τὴν Πύδναν κατὰ κράτος ὑπὸ Ῥωμαίων ἡττηθέντων. ἡγεῖτο δὲ
τῶν στρατευμάτων Αἰμίλιος Μάρκος τῆς Ῥωμαίων βουλῆς εἷς
ὤν, ἄριστος ὑπατικός. οὗτος Περσέα λαβὼν ζῶντα ἅμα δυσὶν
υἱοῖς καὶ μιᾷ θυγατρὶ πᾶσάν τε τὴν Μακεδόνων βασιλείαν εἰς
Ῥώμην ἀπήγαγε.

Μακεδόνων ιζ' ἐβασίλευσε Ψευδοφίλιππος ἔτος ἕν, τοῦ δὲ κόσμου ἦν ἔτος ,ετκδ'.

## Αἰγύπτου καὶ Ἀλεξανδρείας βασιλεῖς.

D Αἰγύπτου καὶ Ἀλεξανδρείας τέταρτος ἐβασίλευσε Πτολεμαῖος ὁ
Φιλοπάτωρ ἔτη ιζ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,εσογ'.

3. συμμαχῶν Scaliger. Vulgo συμμαχεῖν. ἀννίβα καὶ A. ἀννιβὰ καὶ B. Ἀννίβα δὲ G. Καρχηδονίοις — συνθεμένοις — λαμβάνει Scaliger. Libri καρχηδονίους — συνθεμένους — λαμβάνειν. 13. εἷς ὢν] εἰς ὢν B. εἰς ὂν G. 18. ,ετλβ' m. 19. αἰγυπτίων B.

Eo regnante Titus (Quintius) Romani dux exercitus expeditione in Macedoniam suscepta bellico robore Macedones profligat, belli societatem adversus Annibalem et Carthaginenses Romani nominis hostes cum Romanis inire cogit et foederis obsidem Demetrii filium abducit. Lacedaemoniis autem et reliquis Graecorum humanitate, mansuetudine et solertia sibi usitata sub manum missis libertatem reliquit.

Eo tempore Eratosthenes celebrabatur.

Macedonum rex 16 Perseus annis 8 et mensibus 9; erat porro mundi annus 5323.

Perseo regnante a validissimo Romanorum exercitu Macedonum imperium ad Pydnam deletum est. Romanas acies Marcus Aemilius senatorii ordinis ac consul optimus ducebat. Hic Perseum vivum cum filiis duobus masculis et filia unica captum Romam abduxit unaque Macedonum regnum universum Romae subdidit potestati.

Macedonum rex 17 Pseudophilippus anno uno, mundi vero 5332.

## Aegypti et Alexandriae reges.

Aegypti et Alexandriae rex 4 Ptolemaeus Philopator annis 17, mundi vero 5273.

*Ἀντίοχος ὁ μέγας Πτολεμαίου τὴν Ἰουδαίαν κρατοῦντος τοῦ Φιλοπάτορος πολέμῳ νικήσας αὐτὸν τὴν χώραν ἀφείλατο. ἡ τρίτη τῶν Μακκαβαίων βίβλος περὶ τοῦ Φιλοπάτορος τούτου Πτολεμαίου ἱστορεῖ, οὐκ οἶδ' ὅπως ἀντιστρόφῳ τάξει.*

*Αἰγύπτου καὶ Ἀλεξανδρείας ε' ἐβασίλευσε Πτολεμαῖος ὁ Ἐπιφανὴς ἔτη κδ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εσϟ'.*

*Ἀντίοχος μέγας Πτολεμαίῳ τῷ Ἐπιφανεῖ φιλωθεὶς Κλεοπάτραν* P. 283 *ἔγημε θυγατέρα αὐτοῦ καὶ λόγῳ φερνῆς αὐτῆς Συρίαν, Φοινίκην Σαμάρειάν τε καὶ Ἰουδαίαν ἔλαβε παρ' αὐτοῦ, ἣν πρὸ μικροῦ λαβὼν ἦν διὰ Σκόπα στρατηγοῦ ὁ Πτολεμαῖος.*

*Πτολεμαῖος ὁ Ἐπιφανὴς τὴν Ἰουδαίαν καὶ ἄλλας πόλεις τῆς Συρίας πέμψας ἐχειρώσατο διὰ Σκόπα στρατηγοῦ. πρὸς ὃν Ἀντίοχος ὁ μέγας αὖθις πολεμήσας ταύτας ἐχειρώσατο, συμμαχούντων αὐτῷ καὶ Ἰουδαίων, οἷς δι' ἐπιστολῶν πολλὰ μαρτυρήσας δωρεαῖς μεγάλαις ἐτίμησεν.*

*Ὑρκανὸς Ἰωσήππου παῖς στρατηγοῦ τῶν Ἰουδαίων πρὸς Πτολεμαῖον ἐλθὼν καλῶς ὑπεδέχθη. οἱ δὲ ἀδελφοὶ αὐτοῦ πρὸς αὐτὸν* B *στασιάσαντες μεγάλης ταραχῆς αἴτιοι γεγόνασιν Ἰουδαίοις.*

*Πτολεμαίου τοῦ Ἐπιφανοῦς ἀποθανόντος κδ' ἔτει τῆς βασιλείας αὐτοῦ δύο παῖδες αὐτοῦ Πτολεμαῖοι τὴν ἀρχὴν μετ' αὐτὸν διεδέξαντο, ὧν ὁ πρεσβύτερος Φιλομήτωρ ἐπεκέκλητο, ὁ δὲ νεώτερος Εὐεργέτης. πρὸς ἀλλήλους δὲ στασιάζοντες ἐναλλὰξ ἐβασί-*

2. *τρίτη*] Vide Eusebium p. 353. 10 et 12. *σκοπᾶ* B. *Σκοποῦ* G. 19. *τοῦ*] *τούτου* G. *τῷ κδ'* G. *ἔτει* add. B. 20. *οἱ δύο* G.

Antiochus magnus Ptolemaeo Philopatori Iudaeam sibi vindicanti et armis victo memoratam abstulit regionem. De hoc Philopatore Maccabaeorum liber tertius narrationem instituit; verum cur ordine praepostero eam pertexat, hucusque me latet.

Aegypti et Alexandriae rex 5 Ptolemaeus Epiphanes annis 24, mundi vero 5290.

Antiochus Magnus pace cum Ptolemaeo Epiphane firmata Cleopatram eius filiam duxit uxorem; dotis vero nomine Syriam, Phoenicem, Samariam et Iudaeam Scopae ducis virtute nuper recuperatam ab eo accepit.

Ptolemaeus Epiphanes Scopa duce Iudaeam et alias Syriae civitates subiectas reddidit; in quem Antiochus Magnus educto exercitu, et Iudaeis quos litterarum promissis et magnis muneribus sibi conciliavit opem ferentibus, suo restituit imperio.

Hyrcanus Iosephi Iudaeorum ducis filius ad Ptolemaeum profectus humaniter receptus est; eius vero fratres in eum tumultuati ingentium malorum Iudaeis auctores praebuerunt.

Ptolemaeo isto Epiphane vita functo anno regni 24 filii duo Ptolemaei regnum post eum exceperunt; seniori cognomentum Philometor, iuniori Euergetes. Dissidio inter eos exorto, alternis vicibus potestatem exercere

λεύσαν. διὸ καὶ σύγχυσις γέγονε περὶ τοὺς χρόνους αὐτῶν. πρῶ-
V. 226 τος γὰρ ὁ Φιλομήτωρ μόνος ια' ἔτη ἐβασίλευσεν, εἶτα ὑπὸ Ἀν-
τιόχου ἐξεβλήθη ἐπιστρατεύσαντος κατ' αὐτοῦ εἰς Αἴγυπτον,
καὶ ἀφελόντος αὐτοῦ τὸ διάδημα, κρατεῖ τῶν πραγμάτων Πτολε-
C μαῖος ὁ Εὐεργέτης ὁ νεώτερος ἀδελφὸς τοῦ Φιλομήτορος γνώμῃ
τῶν Ἀλεξανδρέων. διώκεται δὲ καὶ Ἀντίοχος, λυτρωθέντος καὶ
τοῦ Φιλομήτορος, καὶ βασιλεύουσιν οἱ δύο ἀπὸ τοῦ ιβ' ἔτους
ἕως τοῦ ιζ'. ἐχρημάτισεν οὖν παρὰ Ἀλεξανδρεῦσι τῷ ιβ' τοῦ Φι-
λομήτορος ἔτει πρῶτον ἔτος τοῦ Εὐεργέτου, καὶ ἐβασίλευσαν
οἱ δύο ἐν ὁμονοίᾳ ἀπὸ τούτου τοῦ ιβ' ἔτους τοῦ Φιλομήτορος ἕως
τοῦ ιζ' ἔτους αὐτοῦ, ς' δὲ τοῦ Εὐεργέτου. καὶ πάλιν στασιάζουσι
κατ' ἀλλήλων, καὶ χρηματίζει ἀπὸ τοῦ ιη' ἔτους μόνου τοῦ
Φιλομήτορος ἡ κατ' Αἴγυπτον ἀρχή, παραχωρήσαντος τῷ ἀδελ-
φῷ τὴν Λιβύης καὶ Κυρήνης ἀρχὴν μετὰ τὴν ἐν Κύπρῳ μάχην,
D καθ' ἣν ἐλαττωθεὶς ὁ νεώτερος Πτολεμαῖος ἀβλαβὴς ἔμεινε, φι-
λανθρώπως αὐτῷ χρησαμένου τοῦ πρεσβυτέρου καὶ μὴ μόνον
τὴν εἰρημένην ἐγχωρήσαντος αὐτῷ χώραν, ἀλλὰ καὶ σίτου πλῆ-
θος λαμβάνειν κατ' ἐνιαυτόν, τοῦτο μὲν διὰ χρηστότητα καὶ
συγγένειαν φυσικήν, τοῦτο δέ, ὥς φασι, καὶ διὰ τὸν ἀπὸ τῶν
Ῥωμαίων φόβον ὑπερασπιζομένων αὐτοῦ. κρατεῖ γοῦν ὁ αὐτὸς
Φιλομήτωρ μετὰ τὸ ιζ' ἔτος ἄλλα ἔτη ιη'. οὗ κατὰ τὴν Συρίαν
ἀποθανόντος, ἐγκρατὴς γὰρ καὶ τῶν ἐκεῖσε γέγονε τόπων, με-

1. πρῶτος] πρῶτον G. 12. μόνου] μόνον G. 15. Πτολεμαῖος om. G. 17. ἐγχωρήσαντος αὐτῷ B. αὐτῷ ἐγχωρήσαντος A. αὐτῷ συγχωρήσαντος G.

convenerunt; quae inter scriptores de annis eorum discriminis origo fuit. Primum enim Philometor solus annis undecim regnavit; deinde ab Antiocho bello Aegyptum impetente ac regni diadema auferente eiectus est; Ptolemaeus autem Euergetes Philometoris frater iunior de Alexandrinorum consilio regnum occupat. Philometore liberato, cedere cogitur Antiochus, ac pari consensu regnum uterque moderatur a duodecimo ad annum decimum septimum. In annum igitur Philometoris 12 Euergetis primus apud Alexandrinos incurrisse censendus est; quare concordibus animis alter alteri regni collegam se praebuit a Philometoris 12 ad eiusdem 17, qui sextus fuit Euergetis annus. Discissis iterum animis et fratribus bello civili sese lacessentibus a Philometoris duntaxat 18 annos imperii numerandos decreverunt Aegyptii, cum pugna in Cypro commissa, iunior inferior quidem, illaesus tamen omnino remansit, senior vero Libyae et Cyrenes ditione ei concessa humanitatem in eum exercuit supremam. Regionem enim cui dominaretur non permisit modo, verum etiam annuam frumenti annonam assignavit; quae partim ex innata sibi mansuetudine et necessitudine sanguinis, partim, aiunt nonnulli, ex Romanorum fratris iura tuentium metu praestitit. Philometoris itaque regni mensura, post memoratos 17 annorum est aliorum 18, quibus imperavit. Eo vero in Syria obeunte (Syriae quippe

ταχληθεὶς ἐκ Κυρήνης ὁ Εὐεργέτης λεγόμενος β' κρατεῖ τῆς Αἰγύπτου λοιπὰ ἔτη κθ' μόνος μετὰ θάνατον τοῦ πρεσβυτέρου ἀδελφοῦ, ὡς γίνεσθαι τὸν ἅπαντα χρόνον τῶν ἑκατέρων ἀδελφῶν P. 284
λε' καὶ κθ', ἤτοι ἔτη ξδ'. Διόδωρος δέ φησιν ὅτι ιε' ὁ νεώτερος Πτολεμαῖος ἐβασίλευσε μετὰ τὸν πρεσβύτερον ἀδελφὸν, πολλάς τε παρανομίας διεπράξατο, τήν τε ἰδίαν ἀδελφὴν Κλεοπάτραν γήμας καὶ πολλοὺς περιβαλὼν ψευδῶς, ὡς ἐπιβουλεύοντας αὐτῷ, καὶ τοὺς μὲν ἀναιρῶν, τοὺς δὲ συκοφαντίαις φυγαδεύων καὶ τὰς οὐσίας αὐτῶν ἀφαιρούμενος.

## Συρίας καὶ Ἀσίας βασιλεῖς.

Συρίας καὶ Ἀσίας δ' ἐβασίλευσεν Ἀντίοχος ὁ υἱὸς αὐτοῦ, ὁ B
ἐπικληθεὶς Καλλίνικος, ὁ αὐτὸς καὶ Σέλευκος, ἔτη κα'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εσλη'.

Ἐν τούτου τοῦ Ἀντιόχου Πέρσαι τῆς Μακεδόνων καὶ Ἀντιόχων ἀρχῆς ἀπέστησαν, ὑπ' αὐτοὺς τελοῦντες ἀπὸ Ἀλεξάνδρου τοῦ κτίστου διὰ τοιαύτην αἰτίαν. Ἀρσάκης τις καὶ Τηριδάτης ἀδελφοὶ τὸ γένος ἕλκοντες ἀπὸ τοῦ Περσῶν Ἀρταξέρξου ἐσατράπευον Βακτρίων ἐπὶ Ἀγαθοκλέους Μακεδόνος ἐπάρχου τῆς Περσικῆς. C
ὃς Ἀγαθοκλῆς ἐρασθεὶς Τηριδάτου, ὡς Ἀρριανός φησιν, ἑνὸς τῶν ἀδελφῶν, καὶ τὸν νεανίσκον σπουδάζων ἐπιβουλεῦσαι διαμαρτήσας ἀνῃρέθη παρ' αὐτοῦ καὶ Ἀρσάκου τοῦ ἀδελφοῦ αὐτοῦ,

7. περιβαλὼν B. περιβάλλων G. 8. ἀναιροῦν A. 11. Ἀντίοχος] ὁ Ἀντίοχος G. 19. ὃς Scaliger p. 68. ὡς AB. omisit G. τηριδάτου B. Τηριδάτῃ G. ἀρριανὸς B. Ἀριανὸς G.

loca plurima tenebat subiecta), Euergetes nominis secundus Cyrene advocatus, Aegypti regno solus potitur a fratris morte annis 19, adeo ut temporis ab utroque fratris in regno exacti summa sit 35 et 29, hoc est annorum omnino 64. Post senioris mortem Ptolemaei fratris iunioris regnum annorum fuisse 15 Diodorus narrat; vitam etiam sceleribus conspurcasse, adeo ut sororem propriam delegerit uxorem et insidiarum sibi structarum nomine plurimos implicuerit, et hos quidem caedibus, alios exsilio, alios facultatum publicatione falso et ex mera calumnia multaverit.

## Syriae et Asiae reges.

Syriae et Asiae rex 4 Antiochus, Antiochi Dei filius, cognomento Callinicus, idemque Seleucus, annis 21, mundi vero 5238.

Huius Antiochi tempore Persae ab Alexandri conditoris imperio Macedonibus et Antiochis subiecti, ab eis ex causa huiusmodi defecerunt. Arsaces et Teridates fratres generis originem in Artaxerxem Persarum quondam principem referentes satraparum munus in Bactros exercebant, circa Macedonis Agathoclis Persiae praefecturam administrantis tempestatem. Agathocles, scribit Arianus, fratrum alteri, Teridate nimirum carus, iuveni struebat insidias, a quibus aberrans ab eo et pariter a fratre Arsace morti tradi-

*καὶ βασιλεύει Περσῶν Ἀρσάκης, ἀφ' οὗ οἱ Περσῶν βασιλεῖς Ἀρσακίδαι ἐχρημάτισαν, ἔτη β', καὶ ἀναιρεῖται, καὶ μετ' αὐτὸν Τηριδάτης ἀδελφὸς ἔτη λζ'.*

*Συρίας ε' ἐβασίλευσε Σέλευκος ὁ καὶ Ἀλέξανδρος, υἱὸς Σελεύκου τοῦ Καλλινίκου, ὁ Κεραυνὸς ἐπικληθεὶς, ἔτη γ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εσνθ'.*

D V. 227 *Συρίας ς' ἐβασίλευσεν Ἀντίοχος ὁ ἀδελφὸς αὐτοῦ, ὁ ἐπικληθεὶς μέγας, ἔτη λς'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εσξβ'.*

*Οὗτος ὁ κληθεὶς μέγας Ἀντίοχος κατὰ μέν τινας ἀδελφός ἐστι Σελεύκου τοῦ πρὸ αὐτοῦ βασιλεύσαντος Κεραυνοῦ, κατὰ δὲ ἑτέρους υἱὸς αὐτοῦ. ἀρχὴν δὲ ἔλαβεν ἡ αὐτοῦ βασιλεία κατὰ τὴν ρλζ' ὀλυμπιάδα, καὶ οὐχ ὡς Εὐσεβίῳ δοκεῖ κατὰ τὴν ρλθ'.*

*Κατὰ τοὺς αὐτοὺς χρόνους Ἀντίοχος Ῥωμαίοις πολεμεῖν ὁ μέγας ἤρξατο Ἀννίβα κατὰ τὰς Σπανίας καὶ τὴν Καρχηδόνα στρατηγοῦντος καὶ ὑπὸ Ῥωμαίων καταπολεμουμένου καὶ πολεμοῦντος πρὸ τῆς εἰς Βιθυνίαν φυγῆς πρὸς Προυσίαν. καὶ πρῶτον*
Suscepta insuper in Tyrios expeditione insulam obsidione vexabat. Insilientibus autem Nabataeis et Ituraeis Digaeum ducem Galilaeum in Nabataeos instruxit, ipse Ituraeos excepturus proficiscitur. Anno regni trigesimo leto fungitur, Salinaeque uxori, e qua filios duos Hyrcanum et Aristobulum susceperat, regnum moderandum commisit; ex quo Iudaeorum res sus deque perturbatae.

Salina, quae Alexandra Iudaeis ordine primo supra vicesimum imperavit annis 9, mundi vero 5427.

Alexandra, alio nomine Salina, viri Iannaei sive Alexandri, a crudelitate penitus aliena collatis in Iudaeorum gentem ingentibus beneficiis cunctorum animos sibi promeruit; tum vero pietatis eius opinio, erga numen fides et patrios mores observantia imperium stabile et ad annos novem te-

βειαν εὐσταθῶς βασιλεύσασα ἔτη θʹ. ταύτην τὸ Φαρισαϊκὸν D ἠγάπα σύστημα, ὡς τῶν ἄλλων δύο, Σαδδουκαίων καὶ Ἐσσηνῶν, εὐσεβέστερον εἶναι δοκοῦν, καὶ τούτοις τὴν τῶν πραγμάτων ἐγχειρεῖ διοίκησιν ὡς θεοφιλής. καὶ ἦν ἡ μὲν ἀπόλαυσις τῆς ἀρχῆς τῶν Φαρισαίων δεσμούντων καὶ λυόντων ὡς ἤθελον, αἱ δὲ δυσχέρειαι τῆς γυναικὸς, καίπερ οὔσης δεινοτέρας καὶ φοβερᾶς τοῖς ἔξω. πλὴν ἦρχε τῶν πολλῶν καὶ ἤρχετο ὑπ' αὐτῶν. δύο δὲ παίδων Ἀριστοβούλου καὶ Ὑρκανοῦ ταύτῃ προσόντων αὐτὴ τὴν βασιλείαν Ὑρκανῷ τῷ πρεσβυτέρῳ ἐπέτρεπε περὶ τὸν θάνα-
P. 296 τον, Ἀριστοβούλῳ δὲ τῷ νεωτέρῳ τὴν ἀρχιερωσύνην. ἀλλ' οὗτος ἀσθενούσης τῆς μητρὸς ἁρπάσας τὸν καιρὸν μετὰ πολλῶν οἰκετῶν κρατεῖ τῶν ἐρυμάτων καὶ μισθοφόρους ἐκ τούτων ἀθροίσας
V. 236 τοῖς χρήμασιν ἀνεῖπεν ἑαυτὸν βασιλέα. τὸν δὲ Ὑρκανὸν οἰκτείρουσα Σαλίνα πονούμενον τὴν Ἀριστοβούλου γαμετὴν σὺν τέκνοις καθεῖρξε πρὸς τῷ βορείῳ κλίματι τοῦ ναοῦ εἰς Βαρεῖς τὸ φρούριον· καὶ ἐν τούτοις τελευτᾷ πρὶν Ἀριστόβουλον τιμωρήσασθαι περὶ τῆς καθ' Ὑρκανοῦ ἐπαναστάσεως διοικήσασα, ὡς προείρηται, τὴν ἀρχὴν ἔτεσιν θʹ καὶ τὸν Ὑρκανὸν ταύτης κληρονόμον καταλιποῦσα.
B πρὸς ὃν Ἀριστόβουλος παραταξάμενος πολέμῳ νικᾷ πρὸς Ἱεριχοῦντα συμβαλὼν, καὶ μεταβαίνουσι πρὸς αὐτὸν οἱ πλείους τῆς Ὑρκανοῦ μοίρας. ὁ δὲ μετ' ὀλίγων φίλων τὸ λεχθὲν ἐν Ἱερου-

2. ἐσσηνῶν B. Εσινῶν G. 3. δοκοῦν Scaliger. Vulgo ἐδόκουν. 6. δυσχέρεια B. οὔσης B. οὔσαις G. 12. ἐκ τούτων om. G. 14. σαλήνα B. 15. καθεῖρξεν AB. καθείρξας G. εἰς βαρεῖς AB. εἰσβανεὶς G. εἰς Βάριν Scaliger. 18. καταλειποῦσα B.

nendum paraverunt. Illam Pharisaeorum sodalitium Sadducaeorum et Essenorum visum potius maiori sedulitate colebat; illaque vicissim, religionis studiosa Pharisaeis melioribus aestimatis, publicae rei curam committebat; quocirca penes Pharisaeos pro libero animos ligantes vel relaxantes supremae stabat potestatis usus; mulieris vero austeram semper et extraneis gravem et timendam se exhibentis molestiae fuerunt propriae. Pluribus hoc pacto sibi plane subiectis ipsa ex Pharisaeorum nutu tota pendebat. Duorum autem ex se filiorum uni quidem Hyrcano nimirum seniori leto proxima regnum reliquit, iuniori Aristobulo pontificatu assignato. Hic matre morbo gravata tempus commodum nactus, munitis quibuslibet locis occupatis, conductisque pecunia militibus regem se proclamat. Salina ex adverso Hyrcani afflicti miserata Aristobuli uxorem cum liberis boreali templi statione et praesidio munito, cui Baris nomen, tenet inclusam. Interim Aristobuli in fratrem Hyrcanum iniuriam nondum ulta morte praeripitur, regnum, ut praemisimus, annos novem moderata et Hyrcano haerede relicto. In eum comparato exercitu Aristobulus de rerum summa ad Hierichuntis campos decertat et superior evadit; quare ex Hyrcani parte ad eum plurimi deficiunt. Hyrcanus, quod iam narratum est, arcem Barim ad tem-

σαλὴμ πρὸς τῷ ναῷ τῆς Βάρεως φρούριον φυγὰς προκαταλαβὼν, κρατεῖ τὰ προσόντα τῷ Ἀριστοβούλῳ σὺν τέκνοις καὶ γυναικί· Ἀριστόβουλός τε σπεύσας φθάνει καὶ διαλύεται πρὸς Ὑρκανὸν ἐν τῷ ἱερῷ πρὸς τὸ βασιλεύειν μὲν αὐτὸν, ἐπεὶ καὶ κρείττων ἐδόκει τῇ ἐντρεχείᾳ, τὸν δ' Ὑρκανὸν, ὡς βασιλέως πρῶτον ἀδελφὸν, τἄλλα νωθέστερον ὄντα, τῆς βασιλείας ἐκστῆναι, πάσης τιμῆς ἀπολαύοντα. κἀπὶ τούτοις περιεστῶτος τοῦ πλήθους ἀλλήλους περιπτυξάμενοι διήμειψαν τὰς οἰκίας, ὡς ὁ παρ' Ὁμή- C ρῳ ποτὲ Γλαῦκος καὶ Διομήδης, καὶ Ἀριστόβουλος μὲν εἰς τὰ βασίλεια, Ὑρκανὸς δὲ εἰς τὴν Ἀριστοβούλου ἀνεχώρησεν οἴκησιν. ἐντεῦθεν δέος καὶ λύπη τοῖς Ὑρκανοῦ φίλοις ἐπιπίπτει παρ' ἐλπίδα κρατήσαντος Ἀριστοβούλου, καὶ μάλιστα Ἀντιπάτρῳ τινὶ, Ἡρώδου πατρὶ, τοῦ βασιλεύσαντος ἔπειτα Ἰουδαίων, ὃς ἦν ἀλλόφυλος Ἰδουμαῖος κατὰ Ἰώσηππον, κατὰ δὲ Ἀφρικανὸν Ἀσκαλωνίτης, υἱός τινος ἱεροδούλου καλουμένου Ἡρώδου τῶν περὶ τὸν νεὼν τοῦ Ἀπόλλωνος τεταγμένων ἐν Ἀσκαλῶνι. τοῦτον Ἰδουμαῖοι λῃσταὶ τὸν Ἀντίπατρον εἶχον αἰχμαλωτίσαντες ἐν αὐτοῖς λῃστεύοντα, λαβεῖν ἐλπίζοντες ἐκ τοῦ πατρὸς αὐτοῦ Ἡρώδου λύτρα. διὰ δὲ τὸ πτωχὸν εἶναι τὸν αὐτοῦ πατέρα καὶ λύτρα δοῦ- D ναι ἀπορεῖν ἐχρόνισε συλλῃστεύων καὶ τοῖς αὐτῶν ἐντρεφόμενος

1. φρούριον] τὸ φρούριον G. 4. κρείττων] κρεῖττον B. 8. οἰκίας B. οἰκείας G. 11. ἐπιπίπτει] παρεμπίπτει G. 14. Ἰώσηππον] Antiq. XIV, 1. p. 683. 15. τῶν — τεταγμένων m. Vulgo τῷ — τεταγμένῳ. 16. νεὼν] νεὼ B. 17. λῃσταὶ] λῃστὴν G. αἰχμαλωτήσαντες B. 18. Ἡρώδου om. G. 20. ἐχρόνησε B. συλλῃστεύων B. συλῃστεύων G.

pli latus in Hierusalem sitam cum paucis amicis fuga praeoccupat et Aristobuli facultates etiam uxorem et liberos sub potestatem mittit. Advolat quantocius Aristobulus et cum fratre de pace in templo colloquium habet; ac ut regnum teneat Aristobulus, rebus enim agendis melior et velocior videbatur, Hyrcanus autem quod minus aptus et natura tardior ceu regis tamen frater maior, ut cunctis honoribus alias excipiendus regno cedat, conveniunt. Amplexibus deinde spetante populo ad invicem colligati commutarunt aedes, ut quondam apud Homerum Glaucus et Diomedes; et Aristobulus quidem in regiam, Hyrcanus in Aristobuli domum secessit. Hinc moeror et una metus Hyrcani amicos occupat, Aristobulo praeter spem omnem regnum adepto. Prae caeteris Antipater Herodis deinde Iudaeorum regis pater torquebatur; qui cum ex aliena Idumaeorum stirpe traheret originem, ut auctor est Iosephus, ex Africani vero dictis, patriam habebat Ascalonem, patrem vero nomine Herodem, ex eorum grege qui Apollinis fano Ascalone serviebant, aedituum. Istum Antipatrum praedonum latrociniis assuetum, praedas ex suis agentem captivum tenuerant Idumaei magno pecuniarum pondere libertatis restituendae causa a patre exspectata; patre vero rei familiaris angustia presso, nec libertatis pretium pendente, interim Antipater latrocinia diutius exercuit et Idumaeorum sese ex toto

ἤθεσιν. οὗτος ὕστερον Ὑρκανῷ φιλωθεὶς πλούτῳ καὶ δόξῃ τῶν πολλῶν προεῖχεν ἐντρεχείας χάριν καὶ τῆς περὶ τὰ κοινὰ πράγματα δεινότητος, ὃς ἀναπείθει τὸν Ὑρκανὸν Ἀρέτᾳ τῷ τῶν Ἀράβων προσφυγόντα βασιλεῖ τὴν Ἰουδαίων ἀρχὴν ἀνακτήσασθαι. καὶ δὴ σὺν αὐτῷ νυκτὸς ἀναλαβὼν τῆς πόλεως τὸν Ὑρκανὸν ἀποδιδράσκει πρὸς Ἀρέταν ὄντα κατὰ τὴν Πέτραν πόλιν Ἀράβων βασίλεια, καὶ πολλοῖς πείθει δώροις συμμαχήσοντα καταγαγεῖν
P. 297 ἐπὶ τὴν ἀδίκως ἀφαιρεθεῖσαν ἀρχήν. τοῦ δὲ Ἀρέτα δύναμιν ἱππικὴν καὶ πεζικὴν πεντακισμυρίων ἀνδρῶν σὺν αὐτοῖς πέμψαντος, οὐκ ἐνεγκὼν Ἀριστόβουλος ἐκ πρώτης συμβολῆς εἰς Ἱεροσόλυμα φεύγει· καὶ ἦν πολιορκούμενος ὑπ' αὐτῶν. κατὰ κράτος τε ἂν ἐλήφθη λειφθείς, εἰ μὴ Σκαῦρος ἐνδημήσας τηνικαῦτα τῇ Δαμασκῷ προσφάτως ὑπὸ Γεμέλλου καὶ Δολλίου Ῥωμαίων καὶ αὐτῶν ληφθείσῃ στρατηγῶν ἐπεκηρυκεύσατο πρὸς Ὑρκανὸν καὶ τοὺς Ἄραβας, ὀργὴν ἀπειλῶν αὐτοῖς Πομπηίου καὶ τῆς ὅλης συγκλήτου μὴ λύουσι τὴν κατὰ Ἀριστοβούλου πολιορκίαν, τριακοσίοις τα-
B λάντοις ὁ Σκαῦρος τοῖς παρὰ Ἀριστοβούλου δοθεῖσι παραβλεψάμενος τὸ δίκαιον. Ἀρέτας καταπλαγεὶς ἐπὶ τὴν Ἀραβίαν ἀναχωρεῖ λύσας τὴν πολιορκίαν. Ἀριστόβουλος δὲ τοῖς περὶ τὸν Ὑρκανὸν καὶ Ἀντίπατρον συμβαλὼν περὶ τὸν Παπυρῶνα κτείνει
V. 237 Φαλλίωνα τὸν ἀδελφὸν Ἀντιπάτρου, καὶ πλείους ἢ ἑξακισχιλίους.

2. τῆς — δεινότητος B. τὴν — δεινότητα G. 3. ἀναπείθειν G. τὸν om. G. 4. προσφυγόντι B. 7. βασίλεια] βασιλείαν AB. βασιλείας G. Iosephus p. 684. Πέτραν, ὅπου τὰ βασίλεια ἦν τοῦ Ἀρέτα. 7. συμμαχήσωντα B. 10. συμβολῆς B. συμβουλῆς G. 11. ὑπ'] παρ'. G. 13. γεμέλου B. Lollii et Metelli nomina restituenda ex Iosepho p. 685. αὐτῶν B. αὐτὸν AG. ληφθείσῃ] Legebatur ληφθεῖσι, consentientibus AB. 14. στρατηγῶν B. στρατηγὸν AG. 20. κτείνει] κτείνει τὸν G.

assuefecit moribus. Hic de Hyrcano bene meritus, divitiis et honoribus, ob eam qua utebatur in rebus agendis vigilantiam et dexteritatem auctus est; eius vero fuit apud Hyrcanum auctoritatis, ut ad Aretam Arabum regem recipere se et regnum recuperare suaderet. Noctu itaque cum eo profugus ad Aretam Petrae praecipua regni Arabici civitate morantem profectus est, et munerum immenso pondere copias, quibus regnum iniuria praereptum sibi repararet, impetrat. Exoratus Aretas equitum peditumque exercitum ad myriadas hominum quinque cum eis mittit. Aristobulus conflictum sustinere non ausus et Hierosolymam se recipiens stricta cingitur obsidione; iamque a suis derelictus in hostium venisset potestatem, nisi Scaurus a Gemello et Pollione recenter dux institutus, iter Damascum agens, talentis ter centum ab Aristobulo acceptis ius omne praetergressus, legatis ad Hyrcanum et Arabas missis, Pompeii senatusque indignationem, ni Aristobulum obsidione liberarent, fuisset comminatus. Aretas exterritus, exercitu soluto, Arabiam repetit. Porro Aristobulus cum iis qui partes Hyrcani et Antipatri tuebantur ad Papyronem congressus Cephallionem Antipatri fratrem interficit, reliquorum supra sex millibus prostratis.

Ἐντεῦθεν λοιπὸν τῆς Ἰουδαίων συμμαχίας Ὑρκανὸς ἀφαιρεθεὶς ἅμα τῷ Ἀντιπάτρῳ τὴν Δαμασκὸν καταλαμβάνει, πρὸς Μάγνον Πομπήιον τὸν τηνικαῦτα καταλαβόντα ἐξ Ἀρμενίας τὴν Συρίαν μετὰ τῆς πολυθρυλήτου ἀριστείας κατὰ Μιθριδάτου καὶ Τιγράνου Ἀλβανίας τε καὶ Ἰβηρίας καὶ Κολχίδος καὶ αὐτῶν Ἀσσυρίων, καὶ δώρων χωρὶς μόναις εὐλόγοις δικαιολογίαις πείθουσι τὸν Μάγνον ἀληθῶς καὶ φιλαλήθη Πομπήιον ἐπινεῦσαι C τῇ Ὑρκανοῦ βοηθείᾳ. Ἀριστόβουλος δὲ καὶ αὐτὸς ἐλθὼν ταῖς εἰς Σκαῦρον ἐλπίσι διαμαρτάνει μὲν τῆς εὐμενείας Πομπηίου ἐρχομένου πρὸς τὰ Ἱεροσόλυμα καὶ τὴν Παλαιστίνην, ἐκ Διοσπόλεως δὲ λάθρα χωρισθεὶς ἐπαχθέστερον ἑαυτῷ καθίστησιν ἐξ ἀνοίας τὸν Πομπήιον. ἀγανακτήσας γὰρ τὴν Ῥωμαϊκὴν καὶ Συριακὴν ἐπαναλαμβάνει δύναμιν, ἀκούσας αὐτὸν καὶ τὴν Ἀλεξάνδρειαν προκατειληφότα τὸ ὀχύρωμα τὸ ὑπὲρ ὄρους ὑψηλοῦ κείμενον φρούριον, ἐλθεῖν τε κελεύει, καίπερ μὴ βουλόμενον. τὸ δ' ἀνύποιστον τοῦ κράτους φοβούμενον καὶ τὸ πλῆθος ὀρρωδοῦν ὁρῶντα τῇ συμβουλῇ τε τῶν φίλων εἴκοντα κατελθεῖν καὶ περὶ D τῆς ἀρχῆς δικαιολογηθέντα πάλιν ἐπανελθεῖν εἰς τὸ ἔρυμα κατηνάγκασε. καὶ δὴ τούτου πραχθέντος οὐχ ἅπαξ ἢ δὶς καὶ Ὑρκανοῦ διενεχθέντος πρὸς αὐτὸν ἐπὶ τοῦ Πομπηίου ὡς ἠδικηκότος αὐτὸν καὶ τὴν ἀρχὴν πλεονεκτήσαντος προστάττεται τῶν φρουρίων Ἀριστόβουλος ἐξίστασθαι. τῶν φρουράρχων δ' αὐτὸν μὴ

4. Vulgo *πολυθρυλλήτου*. Vulgo *Μηθριδάτου*. 5. *Κολχίδος*] *Χαλκίδος* G. 6. *μόναις δὲ* G. 9. *εἰς κοῦρον* A. *εἰς σκοῦρον* B. *διαμαρτάνει* B. *διαμαρτάνῃ* G. 11. *δὲ*] *καὶ* G. 12. *τὴν*] *τοῦ* G. 13. *Ἀλεξάνδρειον* G cum Iosepho p. 687. Conf. infra p. 300 a. 15. *φρούρειον* B et infra *φρουρείων*. 18. *κατηνάγκασαν* G. 20. *ὡς*] *μὴ* G. 22. *δ'*] *δι'* B.

Iudaeorum deinceps orbus auxiliis Hyrcanus Pompeium Magnum post victoriam de Mithridate et Tigrane, nec non Albania, Iberia, Chalcide et ipsis Assyriis omnium laudibus celebratam ex Armenia in Syriam eo tempore regressum solus cum Antipatro Damascum convenit. Nullis itaque munerum illecebris, sed solis aequi bonique argumentis Magnum vere et veritatis amantem Pompeium, ut Hyrcano succurrat, inclinant. Scauro fidens Aristobulus Pompeio se sistit pariter; eius tamen humanitate, (cum Diospoli digressus Hierosolymam versus et Palaestinam accederet), minus prudenter usus clam fuga se subripit et magis aversum ex amentia reddit Pompeium. Quare commotus Pompeius collectis Romanorum Syriaeque viribus, arcem in montis vertice sitam, cui nomen Alexandrium, occupasse audiens, etiam invitum ad se iubet venire. Ille adversariorum robur immensum veritus, et copias undequaque affluentes conspicatus paret amicorum consilio et disceptata de regno causa, in arcem se recipere compellitur. His non semel aut bis, sed actitatis frequentius et Hyrcano causam apud Pompeium in fratrem dicente et iniuriam non intulisse, sed regnum repetere se perorante, loca quaeque munita deserere Aristobulus iubetur.

καταδεχομένων καταλαμβάνει τε τὰ Ἱεροσόλυμα καὶ πόλεμον ἐξάγειν πειρᾶται κατὰ Ῥωμαίων στρατοπεδευόντων εἰς Ἱεριχοῦντα, τὸ πιότατον Ἰουδαίας φοινικοφόρον καὶ βαλσαμοφόρον χωρίον· ὧν Ἀριστόβουλος ἐκπλαγεὶς τὴν ἔφοδον χρήμασιν ἱκετεύει
P. 298 ἐξιλεώσασθαι τὸν Πομπήιον ἐπειγόμενον εἰς Ἱεροσόλυμα. Γαβινίου δὲ πρὸς τοῦ Ἀριστοβούλου πεμφθέντος εἰς κομιδὴν τῶν χρημάτων καὶ μηδὲ τῆς εἰσόδου τυχόντος τῆς πόλεως φρουρεῖ μὲν τὸν Ἀριστόβουλον, πολιορκεῖ δὲ τὴν Ἱερουσαλὴμ ταῖς Ὑρκανοῦ καὶ Ἀντιπάτρου καὶ τῶν περὶ αὐτοὺς ἔνδον καὶ ἔξω τῆς πόλεως ὑπηρεσίαις καὶ ἐπινοίαις οὐ μικρὰ πρὸς τὸ δυσάλωτον αὐτοῖς βοηθούμενος ὁ Πομπηίου στρατηγὸς Πείσων τὴν ἅλωσιν ἐγχειρισθείς. μηνὶ δὲ τρίτῳ μόλις ἕνα τῶν πύργων καθελόντες Ῥωμαῖοι
B διὰ τοῦ τείχους εἰς τὸ ἱερὸν εἰσεπήδησαν, Φαύστου Κορνηλίου παιδὸς Σύλλα πρώτου τολμήσαντος, ἐπακολουθησάντων δὲ Φρουρίου καὶ Φαβίου τῶν ἑκατοντάρχων σὺν τοῖς οἰκείοις στέφεσιν, οἳ τοὺς Ἰουδαίους περιεῖχον κτείνοντες καθ᾽ ὅλης τῆς πόλεως, τὸ πλεῖστον δὲ ἐν τῷ ἱερῷ φεύγοντας· ἀλλὰ καὶ ὑπὸ τῶν ὁμοφύλων ἀντιστασιαστῶν ἀπεσφάττοντο πολλοί. τότε μυρίους πρὸς δισχιλίους Ἰουδαίους λέγεται πεφονεῦσθαι Ῥωμαίοις, ὀλίγων πάνυ κτανθέντων αὐτοῖς ἐξ εὐτάκτου καὶ ἀλληλοσυμμάχου ἀνδρείας· τὸ γὰρ ἄτακτον ἐν μάχαις θράσους, οὐκ ἀνδρείας

1. καταλαμβάνει] καταλιμπάνει G. 3. πιότατον] πιώτατον AB. πρώτατον G. 4. χρήμασιν] σχήμασιν G. 7. μηδὲ] μὴ G. 9. περὶ] παρ᾽ G. 10. αὐτοῖς om. G. 14. συλλᾶ AB. ἐπακολουθήσαντος G.

Exinde castrorum custodibus eum admittere detrectantibus, ipsis Hierosolymis cedit, et in Romanos ad Hierichuntis palmarum balsamique ex omni Iudaea feracissimum agrum castra metatos bellum instruere meditatur; eorum tamen vires metuens experiri Pompeium Hierosolyma versus exercitum ducentem supplicis habitu placare festinat. Gabinius autem pecuniarum accipiendarum gratia ab Aristobulo missus et ab ingressu civitatis prohibitus, Aristobulum quidem sub custodia detinet; Piso vero dux exercitui a Pompeio datus urbem obsidione cingit et Hyrcani, nec non Antipatri, tum eorum, qui tam ipsius urbis in penetralibus, quam in castris penes se manu vel consilio belli successum promovebant, auxiliis, eam licet expugnatu difficillimam Romanis subiiciendam suscepit. Mense porro tertio vix una turri machinis deiecta, per murum Romani insilierunt in templum. Primus per ruinas Cornelius Faustus Syllae filius immisit se, quem Furius et Fabius centuriones cum suis manipulis sequuti sunt. Hi obvios quosque et interclusos per civitatem Iudaeos, ut plurimum autem in templum recipientes se conficiebant; non pauci licet a propriis contribulibus caede et tumultu gaudentibus fuerint necati. Millia duo supra myriadem integram die illo caesa dicuntur, e Romanis ex usitato sibi ordine et militis commilitonem servandi studio paucissimi. Confusa quippe in praelium irruptio temerita-

ἔργον, ὡς ἥττης πρόξενον τοῖς ἀσυμφράκτως προπετοῦσι. Πομπήιος C οὖν ἁλούσης τῆς πόλεως εἰς τὸ ἱερὸν ἅμα τοῖς φίλοις εἰσελθὼν μέχρι τοῦ ἁγιάσματος οὐδενὸς τῶν ἱερῶν ἥψατο σκευῶν ἢ χρημάτων ὄντων προδήλων ταλάντων δισχιλίων, ἐκτὸς ἀρωμάτων V. 238 λυχνίας τε καὶ λύχνου καὶ σπονδείων καὶ θυμιατηρίων ἁπάντων ὁλοχρύσων, ἀλλὰ καὶ καθαρθῆναι τῶν αἱμάτων τὸ ἱερὸν ἐπέταξε τοῖς νεωκόροις, τῇ ἐπαύριον ἀναδείξας Ὑρκανὸν ἀρχιερέα, τὸν δ' Ἀριστόβουλον δεσμήσας εἶχε σὺν τῷ πενθερῷ, πάντας ἀνελὼν σιδήρῳ τοὺς τῆς μάχης αἰτίους καὶ λαμπροῖς ἀμειψάμενος τοῖς συμμαχήσασι δώροις, Φαύστῳ μάλιστα Σύλλου D παιδὶ γενναίῳ καὶ τοῖς ἀμφ' αὐτόν. οὗτος Ἰουδαίους ὑποφόρους Ῥωμαίοις κατέστησεν, ἀφελόμενος αὐτῶν πάσας πόλεις Ἑλληνίδας Συρίας κοίλης, ἃς εἷλον ἐπὶ τῶν Μακκαβαίων, καὶ μόνοις περικλείσας τοῖς ἰδίοις ὅροις. πρὸς ταύταις καὶ τὰς ἐν τῷ μεσογείῳ πόλεις ἠλευθέρωσε τῆς Ἰουδαίων ἀρχῆς, ὧν ἦσαν ἐπισημότεραι αὗται, Σκυθόπολις ἤτοι Βασάν, Ἵππος, Πέλλα, Σαμάρεια, Μάρισσα, Ἄζωτος, Ἰάμνεια, Ἀρέθουσα, τάς τε παραλίους Γάζαν, Ἰόππην, Δῶρα, Στράτωνος πύργον ἤτοι Καισάρειαν, ταύτας ἀποδοὺς τοῖς γνησίοις πολίταις ὑπὸ τὴν Συριακὴν ἐπαρχίαν ἔταξε σὺν τῇ Ἰουδαίᾳ, ἀπὸ τῶν ὁρίων Αἰγύπτου μέχρις Εὐφράτου ποταμοῦ, ὁ Πομπήιος παραδοὺς P. 299

5. λύχνου] λύχνους B. σπονδίον AB. κονδίων G. Correctum ex Iosepho vol. I. p. 690. vol. II. p. 68. θυμιατήρων B. 10. συμμαχήσασα A. 11. οὗτος] οὕτως G. ἰουδαίους B. Ἰουδαίοις G. 12. ἀφελομένου AB. 16. αὗται] αὐταὶ G. ταύταις AB. 17. μάρισα AB. ἀρέθουσα B. Ἀρέθους G. 18. Vulgo Ἰώππην. 20. ἐπαρχεῖαν B.

tis non fortitudinis opus est et incautis inconsulteque progressis perniciem mercatur. Pompeius igitur urbe capta in templum cum amicis pede illato et in ipsa sancta penetrans, sacrorum vasorum nullum, vel rem sacris addictam nullam attigit, praeter aromata licet, lucernas, candelabrum, pateras et thuribula ex auro solido conflata, aliá copiosa talentorum duum millium varia supellex in propatulo et sub oculis obversaretur; quin immo templum effuso cruore foedatum ab Aedituis praecepit expiari. Postero die Hyrcanum renunciavit summum pontificem et Aristobulo cum socero vinculis custodito, cunctos, qui belli fuerant auctores, securi percuti iussit. Ampla deinde munerum largitione militum virtutem voluit compensatam, Syllae maxime filii Fausti generosi iuvenis et eius in pugna sociorum. Iudaeis in hunc modum Romani populi redditis vectigalibus et eorum ditione propriis finibus circumclusa, Graecanicas Coelesyriae urbes a Maccabaeis quondam captas eisdem abstulit. Ad haec urbes in continente sitas Iudaeorum dominio declaravit liberas; harum insigniores fuere Scythopolis, Basan intellige, Hippus, Pella, quae Samaria, Marisa, Azotus, Iamnia, Arethus; e maritimis Gazam, Ioppem, Dora, Stratonis turrim, id est Caesaream, propriis restitutas civibus Syriae provinciae subiectas esse sanxit, cum Iudaea universa ab Aegypti terminis ad fluvium Euphratem. Provincia Scauro

Σκαύρῳ διέπειν καὶ δύο Ῥωμαϊκὰ τάγματα πρὸς συμμαχίαν εἰς Ῥώμην ἠπείγετο διὰ Κιλικίας, αὐτὸς τὸν μέγιστον κατατάξων θρίαμβον ἐπαγόμενος τοὺς ἡττηθέντας αὐτῷ βασιλεῖς Φαρνάκην Μιθριδάτου υἱὸν (τὸν καὶ καρτερήσαντα τὸν ἴδιον ἀνελεῖν πατέρα Μιθριδάτην τῇ πρὸς Πομπήιον χάριτι καὶ αὖθις κατὰ Ῥωμαίων στασιάσαντα) Κολχῶν ἤτοι Λαζῶν βασιλέα, ἄρχοντας Ἰβήρων κ', Ἀριστόβουλον Ἰουδαίων βασιλέα σὺν θυγατράσι δυσὶ καὶ υἱοῖς, Ἀλεξάνδρῳ καὶ Ἀντιγόνῳ, ὧν ὁ νεώτερος ἐκ τῆς ὁδοῦ διαδρὰς Ἀλέξανδρος εἰς τὴν Ἰουδαίαν ἐπάνεισι στασιάσων, ὡς δηλωθήσεται.

B Πομπήιος οὖν πολιορκίᾳ λαβὼν τὰ Ἱεροσόλυμα Ἀριστόβουλον μὲν δέσμιον σὺν τοῖς παισὶν Ἀλεξάνδρῳ καὶ Ἀντιγόνῳ κατεῖχεν εἰς Ῥώμην ἀπιών, θριαμβεύσων καὶ ἄλλων ἐθνῶν βασιλεῖς καὶ ἡγεμόνας· Ὑρκανῷ δὲ τῷ τούτου ἀδελφῷ τὴν ἀρχιερωσύνην ἐγχειρίσας ὑποφόρους ἔταξε Ῥωμαίοις Ἰουδαίους.

Καὶ Κικέρων ὁ ῥήτωρ καὶ συγκλητικὸς παρὰ Ῥωμαίοις ἤκμαζεν. οὗτος καθεῖλε Κάτελλον καὶ Κέθηγον καὶ Λέντουλον συνομοσαμένους κατὰ τῆς συγκλήτου.

C Πομπήιος ἐλθὼν εἰς Ῥώμην καὶ θριαμβεύσας ἐπὶ νίκαις

1. σκαύρῳ B. Σκάρῳ G. συμμαχείαν B. 3. ἐπαγόμενος B. ἐπαγομένους G. 4. μηθριδάτου B. 5. μηθριδάτην AB. 6. βασιλέα] βασιλέας G. ἰβηρίων B. 8. Ἀλεξάνδρου καὶ Ἀντιγόνων G. 9. Ἰουδαίαν] ἰδαίαν B. στασιάσας G. 11. Hinc plerique Codices MSS. Georgii Syncelli nomine vulgati incipiunt. GOAR. Vide Goari annotationem p. 72 ed. Paris. 17. κάτελλον AB. κάστελλον AG. Corrige Κατιλίναν cum Scaligero p. 73. καθ' ἕλληνα (Κατιλίναν m.) Κέθιγον καὶ Λέντουλον P. κέθιγον B. Vulgo Λέντουλλον.

commendata, Romanisque legionibus loco tutando relictis duabus, Pompeius per Ciliciam iter agit, celebremque ducturus triumphum Romam contendit. Victos autem reges secum ducebat Pharnacem Mithridatis filium (qui Pompeii gratiam promeriturus, proprium patrem neci tradere sustinuit et rursum in Romanos bello tumultuatus est) Cholcorum, id est Lazorum reges, principes Iberorum viginti et Aristobulum denique Iudaeorum regem cum filiabus geminis et filiis duobus, Alexandro et Antigono, quorum iunior Alexander fuga per viam ereptus Iudaeam repetit, auctor futurus in ea seditionum, quas in sequentibus exponemus.

Pompeius igitur captis obsidione Hierosolymis iter Romam versus dirigens, Aristobulum una cum filiis Alexandro et Antigono vinctum, de illis et nationum aliarum regibus et ducibus subactis triumphum ducturus; Hyrcano quoque eius fratri pontificatu commendato, Iudaeos Romanis vectigales fecit.

Cicero rhetor senatoria dignitate conspicuus inter Romanos florebat; is Catilinam, Cethegum et Lentulum in senatum coniuratos delevit.

Pompeius victoriis pluribus insignis Romam veniens ac triumpho dona-

πολλαῖς αὐτοκράτωρ ἀνηγορεύθη καὶ ἑνοῦται φιλίᾳ Γαΐῳ Ἰουλίῳ Καίσαρι καὶ γαμβρὸς ἐπὶ θυγατρὶ Ἰουλίᾳ γίνεται. ὁ δὲ Γάϊος χειροτονηθεὶς κατὰ Γάλλων καὶ Βρεττανῶν στρατηγὸς ἐκπέμπεται, μεγάλαις μάχαις ἐν ἔτεσι δέκα Γάλλους καὶ Βρεττανοὺς Ῥωμαίοις ὑποτελεῖς καταστήσας, φʹ πόλεις κατέχοντας, ὡς ἱστορεῖ Πλούταρχος ὁ Χαιρωνεὺς φιλόσοφος.

Ἀλέξανδρος υἱὸς Ἀριστοβούλου πρεσβύτερος διαδρὰς τὸν Πομπήιον εἰς τὴν Ἰουδαίαν ἔρχεται καὶ πρὸς βραχὺ κρατήσας D πολλῶν Ἰουδαίων καὶ αὐτῆς τῆς ἀρχῆς ὑπὸ Γαβινίου καὶ Ἀντωνίου πολεμηθεὶς ἐκβάλλεται. παραλαμβάνει τε Ὑρκανὸς αὖθις τὴν κηδεμονίαν τοῦ ἱεροῦ, τὴν δὲ ἄλλην πολιτείαν ταῖς Ἀντιπάτρου συμβουλίαις διαιροῦσιν εἰς πέντε, τὸ πρῶτον μέρος Ἱεροσο- V. 239 λύμοις ἀπονείμαντες, τὸ δεύτερον Δώροις, τὸ τρίτον Ἀμαθοῦντι, τὸ τέταρτον Ἱεριχοῦντι, τὸ πέμπτον Σεπφωρίδι πόλει Γαλιλαίας. κἀκ τούτου τὸ λοιπὸν ἐδόκουν ἀριστοκρατικῶς ζῆν, εἰ μὴ φυγὼν ἐκ Ῥώμης ἦλθεν Ἀριστόβουλος σὺν Ἀντιγόνῳ νεωτέρῳ παιδί· καὶ πάλιν ἀρχὴ γέγονεν αὐτῷ θορύβων καὶ Ἰουδαίους πολλοὺς P. 300 προσλαβόμενος, καὶ τὸ φρούριον ἀνατειχίζειν τὴν Ἀλεξάνδρειαν ἐπειγόμενος. τάχιστα δὲ συλληφθεὶς ἐπὶ μάχῃ φεύγων σὺν τῷ υἱῷ Γαβινίου, στείλαντος ἐπ᾽ αὐτὸν Σίσενναν καὶ Ἀντώνιον καὶ Σερουιανὸν ἐν δυνάμει Ῥωμαϊκῇ, δεσμώτης αὖθις εἰς Ῥώμην

2. Γάϊος] „Γάλλος P. al. Γάϊλος." Goar. 6. Vulgo Χερονεὺς. χερρονεὺς B. 7. τὸν add. B. 14. Σεπφορίδι G. 17. αὐτῷ] αὐτὸς m. 18. φρούρειον B. Ἀλεξάνδρειαν] Conf. p. 297 c. 20. σίσενναν Bm. Σίσαιναν G. 20. Σερουιανὸν] Σερουίλλιον m.

tus Imperator renunciatus est et Caio Iulio Caesari gener fit, Iulia eius filia uxore ducta. Ipse Caius adversus Gallos et Britannos dux creatus, memorandis victoriis per annos decem edomitos vectigalibus populo Rom. pendendis obnoxios fecit, et Plutarcho Cherronaeo philosopho in historiis teste, urbes eorum quingentas in potestatem misit.

Alexander Aristobuli filius senior Pompeii manibus elapsus in Iudaeam revertitur et copiosa Iudaeorum manu adiutus brevi tyrannidem consequitur; mox a Gabinio et Antonio debellatus eiicitur; Hyrcanus rursum templi curam suscipit; omnemque aliam rei communis potestatem Antipatri consiliis in praefecturas quinque duces praefati dispertiuntur; et partem quidem primam Hierosolymis, alteram Doris, tertiam Amathunti, Hierichunti quartam, ultimam tandem Sepphoridi Galilaeae urbi assignant. Exinde itaque aequali plurium optimatum magistratu instituto quietem habituri videbantur, nisi Roma fugiens Aristobulus cum Antigono filio iuniore tumultibus principium dedisset, ac non exigua Iudaeorum turba septus arcem Alexandrium moenibus instaurare contendisset. Gabinio Sisennam, Antonium et Servilium cum Romanis copiis in eum mittente primo conflictu captus ac vinculis mancipatus Romam iterum ablegatur. Solus igitur Alexan-

ἀναπέμπεται. καὶ ἦν μόνος Ἀλέξανδρος ἐπὶ τῆς Ἰουδαίας, ποτὲ
μὲν φεύγων Ῥωμαίους, ποτὲ δὲ παρενοχλῶν Ὑρκανῷ καὶ Ἀντι-
πάτρῳ τὴν ἐπιμέλειαν τῆς χώρας ὑπὸ Πομπηίου καὶ τῶν μετὰ
ταῦτα πεπιστευμένῳ· ὃς ὑπὸ Γαβινίου πεμφθεὶς πολέμῳ τὸν Ἀλέ-
B ξανδρον τρέπεται, μυρίους ἀνελὼν τῶν σὺν αὐτῷ καὶ τοὺς ἄλ-
λους δισμυρίους φυγῇ σκεδάσας συμμαχούντων Ἰουδαίων περὶ τὸ
Ἰταβύριον ὄρος.

Τότε Κράσσος διαδεξάμενος Γαβίνιον καὶ τὴν Συριακὴν πα-
ραλαβὼν ἀρχὴν ἐπὶ Πάρθους ἤτοι Πέρσας στρατευσάμενος αὐ-
θαιρέτως τῶν ἄλλων τοῦ ναοῦ τῶν Ἰουδαίων ἅπαντα κόσμον ἐσύ-
λησε καὶ τὰ δισχίλια τάλαντα ὧν ὁ Πομπήιος ἐφείσατο. διαβὰς
δὲ τὸν ποταμὸν Εὐφράτην ὄλλυται σὺν τῷ πλήθει Κασσίου ταμία
τοῦ αὐτοῦ Κράσσου τοὺς περισωθέντας ἀνακτησαμένου καὶ τοὺς
αὐτοὺς Πέρσας φόνῳ πολλῷ τῆς ὅλης Συρίας ἐλάσαντος· ὃς Κάσ-
C σιος εἰς τὴν Ἰουδαίαν ἐπειγόμενος τρισμυρίους Ἰουδαίους αἰχμαλω-
τίζει, Ταριχέας ἑλὼν καὶ Πειθόλαον κτείνει, ὡς τοῖς Ἀριστοβού-
λου καὶ τῶν τέκνων στασιασταῖς κατὰ Ὑρκανοῦ καὶ Ἀντιπάτρου
σύνδρομον. τοῦ δὲ φόνου σύνδρομος ἦν ὁ αὐτὸς Ἀντίπατρος, ἐξοι-
κειούμενος τοὺς πανταχοῦ Ῥωμαίοις δυνάστας δώροις καὶ ταῖς
λοιπαῖς ἐπικουρίαις, ἐν οἷς καὶ τῷ τῶν Ἀράβων βασιλεῖ Ἀρέτᾳ
σφόδρα φιλωθεὶς δι' ἐπιγαμίαν ἐπισήμου γυναικὸς Ἀραβίσσης
Κύπριδος, ἐξ ἧς υἱοὺς ἔσχε τέσσαρας, Φασάηλον καὶ τὸν κατόπιν

3. τῶν P. τῷ G. 5. τῶν σὺν αὐτῷ ἀνελὼν G. 8. Κράσος legebatur hic et infra. 12. ταμεία B. 15. εἰς] ἐπὶ G. Ταριχαίας m ex Iosepho p. 695. 16. Πειθόλαον ex Iosepho dedi. Vulgo Πισίαλον. 22. Vulgo Φασάϊλον. Recte apud Iosephum.

der in Iudaea remansit a Romanis quandoque in fugam actus et Hyrcano nonnunquam et Antipatro, qui a Pompeio et successoribus provinciae curam fidei suae demandatam susceperat, damnum inferens. Antipater posthac a Gabinio delegatus Alexandrum caesis sociorum eius mille aliisque millibus duobus fuga dispersis circa Itaburium montem bello profligat.

Eo tempore Crassus Gabinii successor Syriae gerens praefecturam bellum in Parthos, hoc est Persas, moturus, prae reliquis Iudaici templi ornatum omnem et quibus Pompeius pepercerat, talenta bis mille diripuit. Inde trans Euphratem fluvium cum copiis debellatus perit, Cassio eiusdem Crassi quaestore reliquias exercitus certo excidio liberante, et Persas eosdem ampla strage edita tota Syria depellente. Cassius iste in Iudaeam festine motus captis Tarichaeis Iudaeorum 30,000 in captivitatem mittit, Pitholaumque, qui Aristobuli filiorumque tumultus fovebat, et in Hyrcanum et Antipatrum auxilia subministrabat, interficit. Caedis socius fuit Antipater, qui Romanis quos poterat dynastas donis et officiis amicos comparabat. Eam ob rem Aretae Arabum regi nobili muliere Cypride ex eius provincia in uxorem ducta, ex qua filios quatuor Phasaelum, Herodemque

Ἡρώδην βασιλεύσαντα Ἑβραίων μετὰ Ὑρκανὸν πρῶτον ἀλλογενῆ καὶ τρίτον Ἰώσηππον καὶ Φερώραν τέταρτον. ἐπειδὴ τὸν κατὰ Ἀριστοβούλου δῆθεν καὶ τῶν τέκνων ἀνείλετο πόλεμον τῷ Ἀρέτᾳ τοὺς υἱεῖς σὺν θυγατρὶ Σαλώμῃ παρατίθεται. ταῦτα δέ D μοι προπαρεσκεύασται οὐχ ἁπλῶς, ἀλλὰ δεῖξαι βουλομένῳ πῶς ἐγγιζούσης τῆς τοῦ μονογενοῦς υἱοῦ καὶ λόγου τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ θείας σαρκώσεως ἐξέλιπεν ἄρχων ἐξ Ἰούδα καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ κατὰ τὴν πρόρρησιν τοῦ πατριάρχου Ἰακώβ.

Ἀλέξανδρος Ἀριστοβούλου υἱὸς πρεσβύτερος Πομπήιον ἀποδρὰς κρατεῖ πρὸς βραχὺ τῶν Ἰουδαίων καὶ αὐτοῦ μικρὸν δὴ καὶ Ὑρκανοῦ, εἰ μὴ Γαβίνιος εἰς Συρίαν πεμφθεὶς Σκαύρου διάδοχος Μάρκον Ἀντώνιον μετὰ δυνάμεώς τινος προπέμψας ἐπῆλθεν αὐτοῖς μετὰ πλείονος προσβολῆς. ἔνθα μὴ ἐνέγκας Ἀλέξανδρος τὴν Ἀντωνίου προσβολὴν Ἀντιπάτρου παρεπομένου καὶ τῶν λοι- P. 301 πῶν ὑπερμάχων Ὑρκανοῦ Ἰουδαίων φεύγει πρὸς τὰ Ἱεροσόλυμα ἑξακισχιλίους ἀποβαλὼν τῇ Ἀντωνίου γενναιότητι. πανταχοῦ μέν, μάλιστα δὲ ἐνταῦθα Πομπήιος Ὑρκανῷ τὴν ἀρχιερωσύνην ἐκύρωσεν. ὁ αὐτὸς Ἰουδαίους Ῥωμαίοις ὑποφόρους ἔταξεν. ὁ αὐτὸς Ἀντίπατρον ἀλλόφυλον Ἡρώδου υἱὸν καὶ πατέρα τῆς Παλαιστίνης ἐπίτροπον κατέστησε.

2. τρίτον] πρῶτον G. φερῶραν A. φερορᾶν B. Φερωρᾶν G. Φερώρας apud Iosephum dicitur. καὶ ἐπειδὴ m. 3. τῷ m. τῶν G. 4. υἱεῖς B. υἱοὺς G. 7. ἐξέλειπεν B. 11. καὶ Ὑρκανοῦ] τοῦ Ὑρκανοῦ G. 13. αὐτὸν ἠβουλήθη μετὰ πλείονος ἐπελθεῖν προσβολῆς P. 18. ἐνταῦθα δὲ μάλιστα G.

illum, qui sublato Hyrcano primus extraneorum Hebraeorum obtinuit principatum, Iosephumque omnium maiorem et Pheroram quartum suscepit, summa necessitudine coniunctus est; et apud eum bello in Aristobulum, et filios moto liberos eosdem cum Salome filia deposuit. Haec non inconsulto vel temere, sed ex industria praemissa sint, quo unigeniti filii et verbi dei et salvatoris nostri Iesu Christri proxima iam divina carnis humanae susceptione rectorem ex Iuda, et ex eius femoribus ducem, ex patriarchae Iacob praenuncio sermone defecisse declarem.

Alexander Aristobuli filius maior Pompeii manibus elapsus Iudaeorum principatu ad breve tempus potitur; ipsumque Hyrcanum in potestatem egisset, nisi Gabinius Scauri successor in Syriam missus, Marco Antonio cum velitum copiis praecurrente, ipse robustiori exercitu hostem attrivisset. Antonii vero et Antipatri eum sequuti, Iudaeorumque Hyrcani partes tuentium non ferens incursus Alexander, ex suis Antonii virtute ad sex millia desideratis Hierusalem fuga se recipit. Iterum velut iam frequenter Hyrcanum in pontificatu confirmat Pompeius; idemque Iudaeos inter vectigales populos recenset; et Antipatrum Herodis filium et alterius Herodis patrem Palaestinae procuratorem constituit.

V. 240 Γάϊος Ἰούλιος Καῖσαρ Λυσιτανίαν, Γάλλους, Βρεττανοὺς καί τινας περὶ τὸν Ὠκεανὸν νήσους κατεστρέψατο.

Ὁ αὐτὸς τὸν Ῥῆνον ποταμὸν διαβὰς Γερμανοὺς καὶ Γάλλους B ἐχειρώσατο.

Τὸ ἐν Ὀλυμπίᾳ ἄγαλμα ἐκεραυνώθη.

Γάϊος Καῖσαρ πρὸς Πομπήιον ἐπολέμησε.

Γάϊος Ἰούλιος μεγίστοις ἀγῶσι Γάλλους καὶ Βρεττανοὺς καὶ Γερμανοὺς καταστρεψάμενος ὑποτελεῖς τε Ῥωμαίοις φʹ πόλεις οἰκοῦντας καταστησάμενος πολλοῖς ἱδρῶσιν, ἐπὶ ιʹ ἔτη τοῖς ἀπροσμαχήτοις βαρβάροις καταπολεμῶν πρὸς αὐτοῖς Ὠκεανοῦ ῥεύμασιν ἐπὶ θριάμβῳ μείζονι ἐπανῆλθεν ἐν Ῥώμῃ καὶ τούτου τυχὼν ὀργίζεται Ῥωμαίοις ἀνταίροντος Πομπηίου καὶ ταῖς νίκαις ζηλο- C τυποῦντος μετὰ πολλῶν τῆς συγκλήτου. ἔνθεν τὸ δεύτερον ἐμφύλιος Ῥωμαίοις συνίστη πόλεμος ἐν Φαρσάλῳ τῆς Θετταλίας μετὰ τὴν ἐν Ῥώμῃ Γαΐου ἐπάνοδον, ὡς εἴρηται, τῆς Πομπηίου γαμετῆς, θυγατρὸς δὲ τοῦ Καίσαρος Ἰουλίας μετηλλαχυίας περὶ τὸν τοκετόν.

Οὗτος καὶ τὸν Ἀριστόβουλον λύσας τῶν δεσμῶν μετὰ δύο ταγμάτων εἰς Συρίαν ἐκπέμπει, δι' αὐτοῦ ταύτην ἔχειν θαρρῶν μετὰ τῆς Ἰουδαίας, ὃς ἐλθὼν ἀναιρεῖται φαρμάκῳ παρὰ τῶν Πομπηίου φίλων, ταφῆς οὐκ ἀξιούμενος ἐν τῇ πατρῴᾳ γῇ, μέλιτι δὲ συντηρούμενος ἕως Ἀντώνιος αὐτὸν τοῖς βασιλικοῖς μνή- D μασι προσέταξε ταφῆναι. ἐν ταὐτῷ δὲ κατὰ τὴν Ἀντιόχειαν ὑπὸ

3. Vulgo Ῥῖνον. 10. βαρβαρίοις A. 12. ταῖς νίκαις B. τῆς νίκης G. 16. γαμετῆς, θυγατρὸς] Legebatur θυγατρὸς γαμετῆς. 18. καὶ] δὲ G. 21. οὐκ om. B.

Caius Iulius Caesar Lusitaniam, Gallos, Britannos et alias ad Oceanum positas insulas subegit.

Idem Rheno flumine traiecto Germanos et Gallos debellavit.

Simulacrum Olympiaci Iovis tactum fulmine.

Caius Caesar Pompeio bellum intulit.

Caius Iulius difficili Marte Gallis, Britannis et Germanis superatis urbes eorum quingentas Romanis tributum pendere coegit; multo oppido sudore per annos decem cum indomitis populis praeliatus, triumphum exinde consequuturus Romam regressus est. Eo potitus Pompeiumque ob enatam victoriis laudem plerosque e senatu sibi adversos et invidentes expertus Romanis irascitur; ex quo bellum civile secundo concitum ad Pharsaliam Graeciae, Caio, ut praemissum, nuper Romae restituto, eiusque filiae Iuliae Pompeii uxoris morte audita.

Hic Aristobulum a vinculis liberum cum legionibus duabus in Syriam misit, ipsam eius ope cum Iudaea amicam retinere confisus; adveniens ille ab amicis Pompeii veneno exstinguitur, et in ipso paterno solo sepulcri privatur sorte; corpus melle conditum asservatum est donec Antonius in regum monumenta iussit inferri. Eodem tempore filius eius

Σκιπίωνος ἀναιρεῖται καὶ Ἀλέξανδρος ὁ υἱὸς αὐτοῦ, Πομπηΐου γράψαντος.

Ὁ δ' αὐτὸς Πομπήιος ἔρχεται φυγὰς ὁλκάδι μιᾷ πρὸς Πτολεμαῖον καὶ Κλεοπάτραν εἰς Αἴγυπτον, καταλείψας τὴν Ῥώμην. καὶ ἀναιρεῖται λοιπὸν ὁ τηλικοῦτος ἀριστεὺς ὑπὸ Πτολεμαίου τῇ πρὸς Γάϊον Ἰούλιον Καίσαρα χάριτι. ὅπερ ἀκούσας Γάϊος ἐλθὼν ἐν Αἰγύπτῳ κατὰ τοῦ Πομπηΐου σὺν τοῖς στρατεύμασιν ἀναιρεῖ μὲν τὸν Πτολεμαῖον διὰ τὸν Πομπηΐου φόνον, βεβαιοῖ δὲ τῇ Κλεοπάτρᾳ μόνῃ τὴν ἀρχὴν Αἰγύπτου διὰ τὸν πρὸς αὐτήν, ὥς φασιν, ἔρωτα, καὶ πάλιν εἰς Ῥώμην διὰ τῆς Ἰουδαίας ἐπάνεισιν, ἐπαναστάντων αὐτῷ τῶν Πομπηΐου παίδων.

Τότε καὶ Ἀντίγονος ἐπὶ Γαΐου Καίσαρος πρὸς Ὑρκανὸν καὶ P. 302
Ἀντίπατρον πολλὰ περὶ τοῦ φόνου τοῦ πατρὸς Ἀριστοβούλου καὶ Ἀλεξάνδρου τοῦ ἀδελφοῦ δικαιολογηθεὶς κατηγορεῖ σὺν τοῖς περὶ Πομπήιον καὶ Σκιπίωνα παρόντων καταβοῶν· οὐδὲν δὲ πλέον ἔδρασε τοῦ μείζονος γενέσθαι προκοπῆς αἴτιος Ἀντιπάτρῳ παραδόξως διὰ τὴν ἐν Αἰγύπτῳ συμμαχίαν αὐτοῦ πρὸ μικροῦ, ὡς καὶ Μιθριδάτης ὁ Περγαμηνὸς μάρτυς ἦν δι' αὐτοῦ περισωθείς, αὐτός τε Ἀντίπατρος τὸ σῶμα πᾶν ἐπιδεικνὺς κατατετρωμένον ὑπὲρ εὐνοίας τοῦ Καίσαρος. ἀλλὰ τούτων ὁ Καῖσαρ ἀκούσας Ὑρκανῷ τὴν ἀρχὴν ἐπιβεβαιοῖ τῆς ἱερωσύνης καὶ Ἀντιπάτρῳ δυ-

5. πτολεμαίου B. τοῦ Πτολεμαίου G. 6. τὸν Γάϊον G. 11. τῶν] καὶ G. 15. καὶ] καὶ τὸν G. 17. συμμαχείαν B. ὡς καὶ] ὡς καὶ ὁ G. 20. εὐνοίας] εὔνοιαν G. ἀλλὰ] ἀλλὰ καὶ G. τούτων B. τοῦτον G. 21. ἱερωσύνης B. ἀρχιερωσύνης G. Conf. p. 303 b.

Alexander, Pompeio ita litteris significante, Antiochiae a Scipione interficitur.

Pompeius ipse Roma relicta fugitivus ad Ptolemaeum et Cleopatram navi oneraria in Aegyptum delatus est, ubi demum a Ptolemaeo gratiam Caio Iulio Caesari se praestare rato Divus ille neci traditur. Nuncio mortis accepto cum adversis Pompeio legionibus Caius in Aegyptum advolat et Ptolemaeum quidem ob Pompeii caedem ulciscitur, soli vero Cleopatrae, eius illecebris, ut aiunt, captus regnum Aegypti confirmat, et per Iudaeam itinere suscepto denuo Romam, insurgentibus in eum Pompeii liberis, revertitur.

Tunc quoque temporis de patris Aristobuli et fratris Alexandri caede apud Caium Caesarem in Hyrcanum et Antipatrum causam dicturus Antigonus, Pompeii amicos ipsumque Scipionem adstantes, ceu criminis reos, pluribus insectatus est. Nil autem amplius effecit quam ut praeter exspectationem maioris accessionis et gloriae Antipatro fieret auctor, quod nuperis diebus auxilium in Aegypto dedisset; aderatque facinorum eius testis Mithridates Pergamenus ab eo in praelio servatus, ipseque suae in Caesarem fidei confossum plagis corpus argumentum ostentabat. Caesar eius oratione motus Hyrcano in pontificatus honore confirmato, dynastiae cuius vellet optionem offert Antipatro, qua

B ναστείας αἵρεσιν δίδωσιν· ἧς ἐπιδραξάμενος στρατηγὸν εὐθὺς ἀναδείξας τῶν Ἱεροσολύμων καὶ πέριξ αὐτῆς τὸν πρῶτον παῖδα Φασάηλον, Ἡρώδην δὲ νέον κομιδῇ τῆς Γαλιλαίας καὶ τῶν περὶ ταύτην πόλεων οὐκ ἀποδέουσαν τῆς Φασαήλου ἀρχῆς. αὐτίκα δ' οὗτος εὐδοκιμεῖ τῷ δεινῷ τοῦ φρονήματος, εὑρηκὼς ὕλην ἁρμόζουσαν Ἡρώδης, ὡς γενέσθαι Σέξτῳ Καίσαρι γνώριμος διὰ τὰς κατὰ λῃστῶν ἀριστείας.

V. 241 Ἐζεκίαν γὰρ ἀρχιλῃστὴν μετὰ πολλῶν τοῦ στίφους συλλαβόμενος κατατρέχοντα Συρίας ἀνεῖλε, φήμη τε περὶ αὐτοῦ μεγάλη C κατὰ χώρας καὶ πόλεις ἐγένετο, ὡς εἴη καὶ πρὸς τὸ βασιλεύειν ἐπιτήδειος. ἐκ τούτου κινεῖται καὶ Ὑρκανὸς κατ' αὐτοῦ ζηλοτυπίᾳ καταδίκῃ φονικῇ συνεχεῖ πειραθείς. Ἡρώδης δὲ πρὸς Σέξτον εἰς Δαμασκὸν ἀνεχώρησε Καίσαρα καὶ τὴν ἀρχὴν παρ' αὐτοῦ κοίλης Συρίας καὶ Σαμαρείας λαβὼν στρατηγὸς ἀναδείκνυται μετὰ στρατεύματός τε παρεγένετο καταλύσων τὸν Ὑρκανὸν ἐπὶ τὰ Ἱεροσόλυμα, εἰ μὴ ταῖς πατρικαῖς ἐκωλύθη παραινέσεσι. καὶ τὰ μὲν περὶ τὴν Ἰουδαίαν ἐν τούτοις ἦν, Ὑρκανοῦ μὲν ζηλοτυποῦντος Ἀντιπάτρῳ τῆς δυναστείας καὶ τοῖς παισὶ τῆς εὐπραγίας, Ἡρώδῃ μάλιστα, Ἀντιπάτρου δὲ πρὸς Ὑρκανὸν τὰ τῆς D εὐνοίας φυλάττοντος διὰ τὸ καὶ αὐτὸν ἡσυχάζειν θορύβων.

Ὁ δὲ Γάϊος Ἰούλιος Καῖσαρ εἰς τὴν Ῥώμην ἐπανελθὼν πά-

2. καὶ τῶν πέριξ G. 3. Vulgo Φασάϊλον et infra Φασαΐλου. 5. τῷ δεινῷ] τὸ δεινὸν P. 5. τοῦ φρονήματος τῷ δεινῷ G. Transposui auctore B. 7. τὰς B. τῆς G. 9. ἀνεῖλεν AB. ἀνελὼν G. 11. καὶ om. G. 13. ἀναχωρήσας G. 15. τε om. G.

obtenta primum e liberis Phasaelum Hierosolymorum et circumpositae regionis praefectum instituit, Herodem vero aetate minorem Galilaeae adiacentiumque civitatum, non minore certe, quam quae Phasaelo obvenerat, ditione donat. Herodes quasi copiosa gloriae silva reperta, nomen et famam sibi parat ampliorem, adeo ut exhibito quam in latrones exseruit virtutis indicio, Sexto quoque Caesari familiaris redditus fuerit.

Ezechia quippe praedonum duce Syriam latrociniis infestante cum non exigua similium manu comprehenso ac neci tradito, fama de viro ceu principatu digno regionem civitatesque cunctas pervagata est. Haec in eum invidiae causa fuit Hyrcano, et ne mortis sententiam iniuste experiretur continuus timor. Interim Herodes ad Sextum Caesarem Damascum profectus, Coelesyriae Samariaeque renunciatus dux rem Romanam administrat; iamque versus Hierosolyma motis castris Hyrcanum deturbasset, nisi paterna monita eum in officio continuissent. Hic Iudaicarum rerum status, Hyrcano videlicet propter potestatis incrementum Antipatri fortunae, eius autem liberis et Herodi maxime ob egregie factorum successum invidente, Antipatro vero, eo quod nondum ad innovandum propenderet, integram fidem adhuc servante.

At Caius Iulius Caesar Romam reversus Pompeianis partibus, quibus

στης ἐφείσατο τῆς μοίρας Πομπηίου, ἧς ἐτύγχανε καὶ Κικέρων καὶ Βροῦττος καὶ Κάσσιος. καὶ γὰρ τῷ Γαΐου φόβῳ προδιέφθειρεν ἑαυτὸν φαρμάκῳ. τέλος δ' οὖν μετὰ τὴν Πομπηίου τελευτὴν ἔτει δ' κατὰ Κελτιβηρίαν πολλοῖς τοῖς ἀγῶσι τῶν Πομπηίου περιγίνεται παίδων, μόλις κρατήσας αὐτῶν, πολλὴν ἔχουσι δύναμιν, ὧν τὸν πρεσβύτερον ἀνελὼν τοὺς ἄλλους ζῶντας ἔλαβε. καὶ ἐλθὼν εἰς Ῥώμην τὴν τῶν ὑπάτων ἀρχὴν καταλύει σύνεγγυς ἔτι κατασχοῦσαν μετὰ Ταρκύνιον Σούπερβον, πρῶτος μοναρχή- P. 303 σας Ῥωμαίων ἔτι φιλανθρωπότατος γενόμενος τῶν πώποτε βεβασιλευκότων.

Ἀλεξανδρείας καὶ Αἰγύπτου Κλεοπάτρα θυγάτηρ Πτολεμαίου τοῦ καὶ Διονύσου ἔτη κβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ευμς'.

Ἀντώνιος Ἀραβίαν Κλεοπάτρᾳ προὔδωκε.

Κλεοπάτρα ἡ τελευταία τῶν Λαγιδῶν ἀπόγονος ἐπὶ τῷ φόνῳ τοῦ ἀδελφοῦ, Ἀντωνίου μοιχευθεῖσα, τούτῳ καὶ αὐτὴ γέγονεν ἀπωλείας αἴτιος, ἀσπίδι καθ' ἑαυτῆς ὅπλῳ θανάτου χρησαμένη ἀπὸ Ἀλεξάνδρου ἔτει σϟη'. B

Ὑρκανὸς τὰ Ἱεροσολύμων ἀνέστησε τείχη ὑπὸ Πομπηίου καθαιρεθέντα.

Ἡρώδην Κάσσιος κοίλης Συρίας καὶ Ἰουδαίας στρατηγὸν ἐν Δαμασκῷ προεχειρίσατο.

2. Post *Κάσσιος* Goarus lacunam indicavit. *καὶ γὰρ*] Legebatur *κατὰ γάρ*. 4. *ἔτει* B. *ἔτη* G. Vulgo *Κελτιβέριαν*. 5. *ἔχουσι*] *ἐχούσῃ* B. *ἐχόντων* m. 8. *Ταρκύνιον*] Vulgo *Ταρκυῖνον*.
11. *Αἰγύπτου*] *ἐβασίλευσε* addit m. 12. *κβ'*] *κε'* P. 13. *Κλεοπάτρα* B. *Κλεοπάτραν* G. 14. *ἀπόγονος* om. G. 15. *ὑπὸ Ἀντωνίου* G. 17. *ἀπὸ — σϟη'* om. G. *ἔτει*] *ἔτη* ABP. *σϟη'* AB. *ρϟη'* P. *τ'* corrigit Goarus temere. Vide p. 308 c. 21. *προσεχειρήσατο* B.

Cicero, Brutus et Cassius annumerabantur clementem se exhibuit ..... Caii namque timore sumpto veneno mortem sibi conscivit. Post Pompeii denique caedem annos 4 Pompeii filiis valido exercitu instructis multo labore superior factus, eos in potestatem recepit; quorum maiore occiso, caeteris vitam reliquit. Romae demum restitutus, consulum auctoritatem a Tarquinii temporibus in eum usque diem vegetam et integram labefactavit omnino, primus Romanorum monarcha declaratus et omnium, qui prius regnaverant, habitus clementissimus.

Alexandriae et Aegypto imperavit Cleopatra Ptolemaei, qui etiam Dionysius, filia annis 22, mundi vero 5446.

Arabiam Cleopatrae donavit Antonius.

Cleopatra Lagidarum postrema fratricidio, et cum Antonio scortatione infamis eidem ruinae causa fuit, aspide postmodum ceu leti telo adversum se usa, ab Alexandri morte anno 300.

Hierosolymorum muros a Pompeio eversos Hyrcanus erexit.

Herodem Coelesyriae Iudaeaeque ducem Damasci Cassius instituit.

ΡΩΜΑΙΩΝ μόναρχος Γάϊος Ἰούλιος Καῖσαρ ἔτη ε'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵ευνδ'.

Γάϊος Ἰούλιος Καῖσαρ ἐλθὼν εἰς τὴν Ἰουδαίαν μετὰ τὸν Πομπηίου θάνατον ἀπ' Αἰγύπτου βεβαιοῖ τὴν ἀρχὴν ἱερωσύνης Ὑρκανῷ καὶ Ἀντιπάτρῳ δυναστείας αἵρεσιν δίδωσιν.

C Ὀλυμπιὰς ρπγ'.

Ἀπὸ κατὰ Ῥώμην ἔτη.

Ἀντώνιος τὸν ἕβδομον παρὰ Ῥωμαίοις μῆνα Κυντίλλιον καλούμενον Ἰούλιον μετονομασθῆναι ἐψηφίσατο διὰ τὸ γεννηθῆναι ἐν αὐτῷ.

Γάϊος Ἰούλιος ἔτη ε' μοναρχήσας Ῥωμαίων, προκαθήμενος τῇ συγκλήτῳ βουλῇ ἀθρόως ὑπὸ Βρούττου καὶ Κασσίου δολοφονεῖται συλλαβομένων περὶ τοὺς ξ' συγκλητικοὺς τῶν τηλικαύτης παρ' αὐτοῦ φιλανθρωπίας ἀξιωθέντων, ὡς καὶ ὑπατεῦ-
V. 242 σαι· πλήν, ὥς φασιν, οὐ φέροντες τὴν Πομπηίου ἀναίρεσιν μηδὲ τὴν τῶν ὑπάτων καθαίρεσιν, ἀναιροῦσι μὲν αὐτόν, πολεμοῦν-
D ται δὲ φυγάδες αὐτίκα γενόμενοι παρὰ Ἀντωνίου σφόδρα τῷ Καίσαρι κατῳκειωμένου καὶ τηνικαῦτα ὑπατεύοντος. οὗτος οἴκτῳ τοῦ φόνου τὸν δῆμον προσλαβόμενος τοὺς μὲν φυγαδεύει, τὸ δὲ Καίσαρος μεγαλοπρεπῶς σὺν τῷ δήμῳ κηδεύει σῶμα. τούτου κληρονόμος υἱοθετηθεὶς ἦν αὐτῷ ζῶντι Ὀκταβιανὸς Καῖσαρ, ὁ

3. εἰς] κατὰ G. 4. ἱερωσύνην B. Conf. p. 302 a. 7. Ἀπὸ κτίσεως Ῥώμης ἔτη ... m. Post ἔτη G posuit lacunae signa, quae nulla sunt in B. 12. Βρούτου G. 13. συλλαβομένων B. συλλαβόμενον A. συλλαβόμενος G. 18. καθοικειουμένου A. καθοικειωμένου B. καθοικειωμένῳ G. Correxit m. 19. τοὺς δὲ φυγαδεύει, τοῦ δὲ G.

Romanorum monarcha Caius Iulius Caesar annis 5, mundi vero 5454.

Post Pompeii necem Caius Iulius Caesar ab Aegypto in Iudaeam divertens pontificis dignitatem Hyrcano reddit stabilem; Antipatro vero, quem vellet principatum, eligendum proponit.

Olympias 183.

A Romae conditu anni . . . . . .

Septimum Romanorum mensem Quintilem prius dictum, Iulium deinceps, Iulii in eo nati gratia nuncupandum statuit.

Caius Iulius Caesar Romanorum monarchiam annos quinque moderatus, sedens inter senatores primus Bruti Cassiique dolis inopinato interficitur in medio sexaginta senatorum consessu, quorum plerique iis fuerant humanitatis beneficiis excepti, ut consulatum etiam obtinuissent, qui tamen nec Pompeio necem illatam nec consulum potestatem imminutam ferentes, eius se mortis conscios reddidere; subinde nihilominus ab Antonio Caesari bene affecto ac consulatum tenente fugati profligantur. Commotis igitur caedis huiusmodi miseratione plebis animis, fuga sibi consulere cogit coniuratos, ac Caesaris demortui corpus mixto populi luctu sumptuosissime curat. Caesari dum viveret filius adoptivus fuit Octavianus Caesar, qui

καὶ Αὔγουστος κληθεὶς, υἱὸς Ἀττίας τῆς ἀδελφῆς αὐτοῦ καὶ Ὀκταβίου στρατηγικοῦ ἀνδρὸς, ὃς ἐν Ἀπολλωνίᾳ τῆς Ἠπείρου λόγων ἕνεκα παιδεύσεως Ἑλληνικῆς διάγων εἰς Ῥώμην σπουδαίως διὰ τὴν τοῦ θείου σφαγὴν ἀναχθεὶς φιλοτιμίαις τὸν δῆμον προσάγεται καὶ τοῖς ὑπάτων προὔχουσιν Ἀντωνίῳ καὶ Ἐλπιδίῳ συμπλακεὶς P. 304 μικρὰ καὶ κρατήσας αὐτῶν πανταχοῦ, τέλος δὲ καὶ συνελθὼν αὐτοῖς εἰς φιλίαν, πολεμῆσαι Ῥωμαίων τούτους καὶ τὴν σύγκλητον πείθει καταψηφίσασθαι Βροῦττον καὶ Κάσσιον ἅμα τοῖς σὺν αὐτοῖς· στρατηγοὺς δὲ κατὰ ταὐτὸ Ἀντώνιον καὶ Ἐλπίδιον καὶ αὐτὸν Αὔγουστον τρίτον προχειρισθῆναι. καὶ ὁ μὲν Ἐλπίδιος πρὸς φυλακὴν ἔμεινε τῆς Ῥώμης, Αὔγουστος δὲ καὶ Ἀντώνιος τοῖς περὶ Βροῦττον καὶ Κάσσιον ἐν Ἑλλάδι πολεμήσαντες οὕτω κρατοῦσιν αὐτῶν, ὡς φυγάδας γενομένους φόβῳ τῶν ἐπικειμένων τέλος καὶ αὐτοὺς ἑκάτεροι διαχειρίσασθαι. εἶτα μετὰ τὴν νίκην ἐλθόντες εἰς Ῥώμην Αὔγουστος καὶ Ἀντώνιος διαιροῦνται μετὰ Ἐλπι- B δίου τριχῇ τὴν ὅλην Ῥωμαίων ἀρχὴν, σχεδὸν δὲ εἰπεῖν τῆς οἰκουμένης. καὶ ὁ μὲν Αὔγουστος τὴν πρὸς ἑσπέραν ἄχρις Ὠκεανοῦ κληροῦται Εὐρώπην, Ἐλπίδιος δὲ τὴν πρὸς Λιβύην πᾶσαν, Ἀντώνιος δὲ ὅλην Ἀσίαν. ὃς ἀκούσας Λαβιῆνόν τινα τῶν ἐν τέλει Ῥωμαίων, ἕνα τῶν ἐπὶ Βροῦττον καὶ Κάσσιον, πρὸς Ἡρώδην Περσῶν βασιλέα φυγόντα καὶ Ῥωμαίοις πολεμεῖν σπεύ-

4. δῆμον] λαὸν G. 5. τοῖς] τῶν G. 8. Βροῦτον G hic et infra. 9. κατὰ τ' αὐτὸ B. κατ' αὐτὸ G. 12. πολεμήσαντες Bm. πολεμεῖ G. 14. διαχειρίσασθαι B. αὐχειρίσασθαι G. 16. τριχὶ B. 19. Vulgo Λαβΐνον. 21. Ρωμαίους G. σπεύσαντα] σπείσαντα A. σπήσαντα B. πείσαντα G.

et Augustus, Actia sorore et Octaviano equestris ordinis viro natus, qui Apolloniae Epiri Graecis litteris vacans, audita avunculi nece, Romam festine revocatus, populo muneribus conciliato, levibus dissidiis cum Antonio et Lepido consularibus viris dimicans, ubique superior factus, pace demum cum illis inita Romanis sibi adversantibus sese opponere, ac senatum in Brutum et Cassium reliquosque coniuratos sententiam ferre et adversus eosdem Antonium, Lepidum seque Augustum tertium belli duces designari curavit. Lepidus quidem Romae custodiendae praefectus in urbe mansit; Antonius et Augustus in Brutum et Cassium ac socios circa Graeciae fines arma movent. Ambos itaque ceu fuga salutem prius quaerentes superant; eosdemque malorum impendentium metu manus violentas sibi ipsis inferre cogunt. Parta hoc pacto victoria Augustus et Antonius Romae restituti, universum qua late patebat Romanum imperium, ne totum dicam orbem, in partes tres dividunt. Et Augustus Europam versus Oceanum omnem sortitur, Lepido Africa, Antonio Asia cuncta obvenit. Hic cum Labienum quendam, virum inter Romanos illustrem, Bruti Cassiique partibus affectum, ad Herodem Persarum regem confugisse, et Romanis bellum inferen-

*σαντα, στρατηγοὺς δὲ καὶ Πάκουρον τὸν υἱὸν ἐν πολλῇ δυνάμει πρὸς τοῦτο πέμψαντα, στέλλει πρότερον στρατηγοὺς τοὺς αὐτοῖς ἀντιταξομένους, ὧν εἷς ἦν Κασβένδιδος, ὁ καὶ τὴν νίκην Ῥω-* C *μαίοις διαπραξάμενος περί τε Λυδίαν καὶ ἐν τῇ Συριστὶ καλουμένῃ χώρᾳ τῆς Εὐφρατησίας. ἰσχυρῶς οὖν ἡττηθέντων Περσῶν ὑπὸ τῆς Ἀντωνίου καὶ τῆς Ῥωμαίων βουλῆς στρατηγῶν Ἡρώδης ἔτι πρὸς δεύτερον ἑτοιμάζεται πόλεμον, τοῦτο πράττοντος καὶ Ἀντωνίου.*

*Τότε δὴ καὶ Ἀντίγονος προπέμψας Ἰουδαίων τοὺς εὔνους κατηγορεῖ Ἡρώδου καὶ τῶν ἀδελφῶν σὺν τῷ Ὑρκανῷ. ὁ γὰρ Ἡρώδου πατὴρ Ἀντίπατρος ὑπὸ Μαλίχου φαρμάκῳ προδιεφθάρη· τοὺς κατηγοροῦντας Ἡρώδου τιμωρησάμενος Ἀντώνιος τὴν ἀρχὴν Ὑρκανῷ καὶ Ἡρώδῃ τέως ἐβεβαίωσεν, εἰς Ἀντιόχειαν ὤν.* D *ἔπειτα πλειόνων κατ' αὐτῶν Ἰουδαίων ἐπιβοώντων ἀνεῖλεν αὐτῶν τοὺς προὔχοντας.*

*Τότε καὶ Κασσίῳ μετὰ τὴν Καίσαρος ἀναίρεσιν ὀκτακόσια τῆς Ἰουδαίας ἀφελομένῳ τάλαντα σπουδαῖος ὤφθη θεραπευτής, ἡνίκα καὶ Μάλιχον τῷ Κασσίου βουλήματι φονεύσας τὸν Ἀντιπάτρου θάνατον Ἡρώδης ἐξεδίκησε τοῦ πατρὸς αὐτοῦ. διωχθεὶς δὲ πάλιν τῆς ἀρχῆς σὺν τῷ Ὑρκανῷ προσφεύγει Ἀντωνίῳ, καὶ μὴ δεχθεὶς παρὰ τῶν Ἰουδαίων κρατερῶς μάχεται αὐτὸν διεκδι-*

1. *πάκουρον* B. *Πάκτουρον* G. *Πάκορον* m. 3. *ἀντιταξομένους* B. *ἀντιταξαμένους* G. *Κασβένδιδος*] *καὶ Βεντίδιος* m ex Iosepho vol. II. p. 89. Conf. vol. I. p. 728. 729. *τοῖς Ῥωμαίοις* G. 4. *λυδίᾳ* A. *συριστῇ* B. 11. *διεφθάρη* B. 16. *κασσίων* B. 17. *ὤφθη* B. *ὤθη* G. 18. *τῷ Κασσίῳ* G.

dum suadere, iamque duces nonnullos, Pacorumque filium cum non contemnenda militum manu Herodem misisse comperisset, duces, quos opponeret, elegit; quorum unus extitit Ventidius, qui ad Lydiam et provinciam Syriace dictam Euphratesiam praeclaram Romanis comparavit victoriam. Persis itaque ab Antonii et Romani senatus ducibus armorum vi debellatis, ad praelium secundum reparandum Herodes intendit animum, quod pari felicitate exsequitur Antonius.

Ea tempestate Iudaeorum sibi affectos in Herodem fratresque causam dicturos pari cum Hyrcano consilio mittit Antigonus; Antipater quippe Herodis pater veneni potu a Malicho diu iam e medio fuerat sublatus. Ab Herodis accusatoribus exactae poenae; Antonius autem Antiochiae tunc repertus Herodi et Hyrcano potestatem omnem commissam declarat et Iudaeorum Herodem omni vocis contentione insequentium praecipuos occidit.

Eadem aetate post Caesaris caedem talenta 800 ab Iudaeis Cassio exigenti studiosus Imperatorum minister adhaesit Antipater; Malichum vero Cassii consiliis occidens Herodes genitoris Antipatri mortem ultus est. Deiectus iterum potestate cum Hyrcano ad Antonium se recipit; Iudaeis autem illi subiici detrectantibus, partes eius etiam ferro tueri studuit An-

κεῖν Ἀντώνιος. ὁ δὲ Ἀντίγονος ἀπογνοὺς τῆς Ῥωμαίων βοηθείας
Ἡρώδῃ προσφεύγει Περσῶν βασιλεῖ μαχομένῳ Ῥωμαίοις, καὶ V. 243
κατάγεται διὰ Πακόρου παιδὸς Ἡρώδου εἰς τὴν Ἰουδαίαν, ὑπο- P. 305
σχόμενος χρυσοῦ χίλια τάλαντα Πέρσαις· Ὑρκανόν τε ζῶντα παραλαμβάνει, τοῖς ὀδοῦσιν ἐκκόψας αὐτοῦ τὰ ὦτα, ὡς μηκέτι ἱερατεύειν, καὶ τοῦτον προὔδωκεν αὖθις Πέρσαις ἄγειν μεθ' ἑαυτῶν. Ἡρώδης δὲ φυγὰς ἧκε πρὸς Μάλιχον Ἀράβων βασιλέα. τότε καὶ Φασάηλος ἀδελφὸς αὐτοῦ ἀναιρεῖται.

## ΧΡΟΝΟΓΡΑΦΙΑ.

### Ἀπὸ κτίσεως κόσμου ͵ευνη'.

Δεύτερος Ῥωμαίων μόναρχος Καῖσαρ Σεβαστὸς Ὀκταούιος, ὁ B
καὶ Αὔγουστος ἐπικληθεὶς, ἐβασίλευσεν ἔτη νϛ'.

Τῷ ͵ευξ' ἔτει τοῦ κόσμου δεύτερον ἐχρημάτισεν Αὐγούστου Καίσαρος πλῆρες, καὶ ἀρχὴ τοῦ τρίτου, ἐν ᾧ καὶ ἡ ἴνδικτος ὑπ' αὐτοῦ ἤτοι ἐπινέμησις ἐθεσπίσθη, ὡς μαρτυρεῖ ὁ μακάριος Μάξιμος ἐν τῷ περὶ τοῦ πάσχα λόγῳ.

Ἰουδαίοις πρεσβευσαμένοις εἶτουν Ὑρκανῷ καὶ Ἡρώδῃ, δόγμα συγκλήτου καὶ Ἀθηναίων ψήφισμα περὶ φιλίας ἐξεπέμφθη.

Κικέρων ὁ ῥήτωρ καὶ συγκλητικὸς ἐν Γαΐταις ἀνῃρέθη τῆς Ἰταλίας, ὡς δὲ ἄλλοι φασὶν, ὅτι φαρμάκῳ διέφθειρεν ἑαυτόν. C

1. Ἀντώνιος m. Vulgo Ἀντώνιον. 3. πάκρου παιδὸς ἢ ῥόδος B. ὑποστόμενος B. 8. Vulgo Φασάϊλος. 10. ͵ευνθ' m. 13. ἔτει add. B. 17. πρεσβευσαμένοις B. πρεσβευσάμενος G. εἶτουν] Vulgo ἤτουν. 19. καὶ om. G. 20. δὲ] καὶ G.

tonius. Antigonus a Romanis auxilium consequi desperans Herodem Persarum regem cum Romanis inimicitias exercentem adit et auri talenta mille Persis pollicitus a Pacoro Herodis filio in Iudaeam reducitur; tum Hyrcano vivo comprehenso, ne amplius sacerdotio fungeretur, propriis dentibus aures abscindit et Persis secum amovendum tradit. Caeterum Herodes fuga sibi tutamen comparat apud Malichum Arabiae regem; quo tempore Phasaelus eius frater interficitur.

## CHRONOGRAPHIA.

### A mundi conditu anno 5459.

Romanorum monarcha 2 Augustus Octavius, vero cognomine Augustus, imperavit annis 56.

Anno ab orbis natalibus 5460 Augusti Caesaris annus secundus completur et init tertius, quo indictio, id est annorum distributio eius placito instituta est, teste B. Maximo tractatu de paschate.

Iudaeis, id est Hyrcano et Herodi legationem mittentibus senatus consultum Atheniensiumque decretum de servanda ad invicem amicitia vicissim missum.

Cicero rhetor vir ordinis senatorii Caietae Italiae urbe occiditur vel, ut aliis placitum, veneno sibi mortem conscivit.

Ἡ τῶν ἐν Περγάμῳ βασιλευσάντων ἐπαύσατο ἑπτὰ βασιλέων ἀρχὴ διαρκέσασα ἔτη ρνδ' ἀπὸ τοῦ ͵ετιη' κοσμικοῦ ἔτους ἕως τοῦ ͵ευξζ', ὡς ἑξῆς δηλωθήσεται.

Ἀπὸ Γαΐου Ἰουλίου Καίσαρος οἱ μετέπειτα Ῥωμαίων βασιλεῖς Καίσαρες ὠνομάσθησαν, ἀπὸ δὲ Αὐγούστου Αὔγουστοι. ἐπὶ τούτου τὰ Ῥωμαϊκὰ ἤκμασεν.

Ἐλπίδιον Ἀντωνίῳ συμμαχοῦντα λαβὼν Αὔγουστος ζῶντα ἀνεῖλεν ἐν Ῥώμῃ.

Οἱ Ἀντιοχεῖς ἔνθεν ἀριθμοῦσι τοὺς ἑαυτῶν χρόνους.

Ἀντώνιον καὶ Ἐλπίδιον νικήσας Αὔγουστος εἰς φιλίαν προσδέχεται πρεσβευσαμένης τῆς συγκλήτου.

D Αὔγουστος τὴν Εὐρώπην ἐκληρώσατο, Ἐλπίδιος τὴν Λιβύην καὶ Ἀντώνιος τὴν μεγάλην Ἀσίαν.

Οὗτος ἐλθὼν ἐν Κιλικίᾳ καὶ Κλεοπάτραν μεταστειλάμενος ἁλίσκεται τῷ ταύτης ἔρωτι. κατὰ Περσῶν δὲ στρατεύσας καὶ ἡττηθεὶς ἐπανέρχεται πολεμήσων Αὐγούστῳ, πρὸς ὃν ναυμαχήσας καὶ ἡττηθεὶς ἑαυτὸν διεχειρίσατο.

Αὔγουστος πεζὸν ἐθριάμβευσε θρίαμβον.

Ἡ τῶν Ἠπειρωτῶν ἓξ βασιλέων ἀρχὴ ἐπαύσατο διαρκέσασα ἔτη ϟ'.

Ἔτη λδ' τὸν Ὑρκανὸν στοιχειοῦντες κρατήσαντα Ἰουδαίων

4. Ῥωμαῖοι G. 5. δὲ om. G. 7. ἐλπίδιον B. Ἐλπιδίου G. ἀντωνίῳ B. ἀντώνιον A. Ἀντωνίου G. 9. ἑαυτῶν B. αὐτῶν G. 15. τῷ ταύτης] τῆς αὐτῆς G. 17. διεχειρήσατο B.

Regum septem Pergami regnantium desiit imperium postquam annis 154 stetit, ab anno mundi 5318 ad annum 5467, prout ex sequentibus manifestum fiet.

A Caio Iulio Caesare, qui deinceps Romanum imperium tenuerunt Caesares, et Augusti ab Augusto nuncupati sunt. Huius tempore Romanae res floruerunt.

Elpidium Antonii consiliis faventem deprehendens Augustus Romae interemit.

Aerae sibi propriae annos Antiochenses hinc exordiuntur numerare.

Antonium et Lepidum victos senatus precibus Augustus in amicitiam recipit.

Europam Augustus, Lepidus Africam, Antonius universam Asiam regendam sortitus est.

Hic in Ciliciam profectus, Cleopatrae illuc arcessitae, eius amore captus est. Moris autem in Persas armis inferior rediens bello cum Augusto decertat; eductisque in eum copiis navalibus superatus, ipse sibi necem intulit.

Augustus pedes triumphum ducit.

Regum sex Epirotarum desiit imperium, quod annis 90 steterat.

Hyrcanum annis 34 imperasse computantes ex eius annis Antigono

ἐπισημαινόμεθα τοῖς ἀγνοοῦσι τὰ τρία τούτων Ἀντιγόνου λογί- P. 306
ζεσθαι. τῷ γὰρ λα' ἔτει Ὑρκανοῦ καταχθεὶς ὑπὸ Πάρθων εἰς τὴν ἀρχὴν τῶν Ἰουδαίων κρατεῖ μὲν αὐτῆς ζῶντα τὸν Ὑρκανὸν χειρωσάμενος καὶ τοῖς ὀδοῦσιν ἀποτεμὼν αὐτοῦ τὰ ὦτα, ὡς ἂν μὴ τὸ λοιπὸν ἱερατεύοι, καὶ Πάρθοις ἐκδίδωσιν ἄγειν εἰς τὴν Περσικήν. ἀναιρεῖ δὲ Φασάηλον ἀδελφὸν Ἡρώδου καὶ φυγαδεύει τοῦτον πολλὰ καταδραμόντων αὐτοῦ Πάρθων ἐπὶ τὴν Ἰουδαίαν μετὰ μητρὸς καὶ τῆς συγγενείας. φεύγοντος Ἡρώδου καὶ τούτους πολλάκις πολέμῳ τρεπομένου, καὶ κατασφαττόμενος, ὃς πολλάκις πρὸς Μάλιχον Ἀράβων βασιλέα θαρρῶν καταφεύγει, ἤδη προευεργετημένον, οὐ προσδεχθεὶς δὲ φόβῳ τῶν Πάρθων εἰς Ἀλε- B
ξάνδρειαν ἔρχεται πρὸς Κλεοπάτραν. δεξιωθεὶς οὖν παρ' αὐτῆς καὶ τὴν ἐπιμέλειαν τῆς ὑπ' αὐτὴν ἔχειν ἀρχῆς ἀνεβάλλετο διὰ τὴν πρὸς Ἀντώνιον ἐπὶ Ῥώμην καὶ Αὔγουστον πορείαν, ὡς Ἰώ- V. 244
σηππος, ὡς δὲ Ἀφρικανὸς, σὺν αὐτῇ πρὸς Ἀντώνιον ἦλθε, κἀκεῖνος παρὰ τὸν Σεβαστὸν Ὀκταούιον εἰς Ῥώμην αὐτὸν ἔστειλεν. ὁ δὲ διὰ τὸ τὸν Ἀντίγονον ὑπὸ Πάρθων ἐχθρῶν ὄντων Ῥωμαίοις κρατῆσαι τῆς ἀρχῆς, διά τε τὸν αὐτοῦ πατέρα Ἀντίπατρον συμμαχήσαντα Ῥωμαίοις καὶ αὐτὸν Ἡρώδην, γράφει τοῖς κατὰ Συρίαν στρατηγοῖς κατάγειν Ἡρώδην ἐπὶ τὴν βασιλείαν Ἰουδαίων, C
Σωσίου τὸν πρὸς Ἀντίγονον πόλεμον ἐπιτραπέντος ὑπὸ τοῦ Καίσαρος, ὃς ἔτεσι τρισὶν ἐπεκράτησεν.

1. τούτων m. Vulgo τοῦτον. Ἀντιγόνου] Vulgo Ἀντίγονον. Ἀντιγόνῳ m. 5. ἄγειν] ἄγων G. 6. Vulgo Φασάϊλον. 8. τούτους] τοῦτον m. 9. πολέμῳ — πολλάκις om. B. κατασφαττομένου m. 16. παρὰ] περὶ G. 17. δὲ addidi ex A. ὑπὸ] ὑπὲρ G.

tres assignandos laterculi istius ignaris denunciamus. Anno quippe Hyrcani 31 in Iudaeam reductus a Parthis obtinet potestatem, vivoque capto Hyrcano, morsu et dentibus, ne sacerdotio amplius esset idoneus aures detruncat et in Persiam abducendum Parthorum manibus permittit. Phasaelum autem Herodis fratrem interficit, eundemque crebris Parthorum incursionibus cum matre totaque cognatione insequitur. Fugiens Herodes, ac frequenter adversum Martem expertus, ac tantum non mactatus ad Malichum Arabum regem beneficiis pluribus iam ante sibi devinctum cum fiducia recurrit. Parthorum tamen metu repulsam passus, Cleopatram convenit, et ab ea Alexandriae receptus humaniter, ne Antonium et Augustum aditurus Romam properaret, ab ea imperii curam ipsi delegante detinebatur, ut Iosephus testis est, vel ut Africanus, ad Antonium cum ea profectus est, qui mox advenientem ad Augustum Octavium Romam amandavit. Quod autem Antigonus Parthorum Romano nomini infensorum armis principatu potiretur, quodque Antipater Herodis parens Romanos olim bello iuvisset, et Herodes ipse de iisdem esset bene meritus, eam ob rem, ut in Iudaeae regnum Herodem restituant, Syriae praefectis Octavius per litteras significat. Sosio Caesaris belli adversus Antigonum suscipiendi cura commissa, in annos tres deinde productum est.

### Ἰωσήπου ἐκ τοῦ ιδʹ λόγου τῆς ἀρχαιολογίας περὶ τῆς Ἡρώδου ἀσημότητος.

Κόσμου ἔτη ͵ευξθʹ.

Τοῦτο τὸ πάθος συνέβη τῇ Ἱεροσολυμιτῶν πόλει ὑπατεύοντος ἐν Ῥώμῃ Μάρκου Ἀγρίππα καὶ Κανδίδου Γάλλου ἐπὶ τῆς ρπεʹ D ὀλυμπιάδος τῷ τρίτῳ μηνὶ τῇ ἑορτῇ τῆς νηστείας, ὡς ἐκ περιτροπῆς τῆς γενομένης ἐπὶ Πομπηίου τοῖς Ἰουδαίοις συμφορᾶς. καὶ γὰρ ὑπ᾽ ἐκείνου τῇ αὐτῇ ἑάλωσαν ἡμέρᾳ μετὰ ἔτη κζʹ. Σώσιος δὲ χρυσοῦν ἀναθέμενος τῷ θεῷ στέφανον ἀνέζευξεν ἀπὸ Ἱεροσολύμων Ἀντίγονον ἄγων δεσμώτην Ἀντωνίῳ. δείσας δ᾽ Ἡρώδης μὴ φυλαχθεὶς Ἀντίγονος ὑπὸ Ἀντωνίου τοῦ υἱοῦ καὶ κομισθεὶς εἰς Ῥώμην ὑπ᾽ αὐτοῦ δικαιολογήσηται, καὶ πρὸς τὴν σύγκλητον ἐπιδεικνὺς αὐτὸν μὲν ἐκ βασιλέων, Ἡρώδην δὲ ἰδιώτην ἢ ὅτι προσῆκεν αὐτοῦ βασιλεύειν τοὺς παῖδας, ἢ καὶ αὐτὸς εἰς Ῥωμαίους ἐξήμαρτε. ταῦτα φοβούμενος πολλοῖς χρήμασι πείθει τὸν Ἀντώνιον ἀνελεῖν τὸν Ἀντίγονον. οὗ γενομένου τοῦ δέους μὲν P. 307 Ἡρώδης ἀπαλλάττεται. παύεται δὲ οὕτως ἡ τοῦ Ἀσαμωναίου ἀρχὴ μετὰ ἔτη ρκϛʹ. οἶκος λαμπρὸς οὗτος ἦν καὶ διάσημος γένους τε ἕνεκα καὶ τῆς ἱερατικῆς τιμῆς, ὧν ὑπὲρ τοῦ ἔθνους οἱ γονεῖς αὐτοῦ διεπράξαντο. ἀλλ᾽ οὗτοι μὲν διὰ τὴν πρὸς ἀλλήλους στάσιν τὴν ἀρχὴν ἀπέβαλον. μετέβη δὲ εἰς Ἡρώδην τὸν Ἀντιπάτρου

1. ιδʹ] Cap. 16. p. 737. 9. ἀναζεύξας ἀπὸ Ἱεροσόλυμα G. Correxi ex B. 17. ἀπαλλάσσεται B. Ἀσαμου — vulgo. ἀσσαμου — B. 18. οὗτος λαμπρὸς G. 21. ἀπέβαλον B. ἀπέλαβον G.

### Ex Iosephi antiquitatum libro decimo quarto de Herodis obscuro genere.

Anni mundi 5469 numerantur.

Ea calamitas Hierosolymorum civibus accidit M. Agrippa et Candido Gallo coss. Olympiade 185, mense tertio, feriis quibus solemne ieiunium celebratur, tanquam redeunte in idem temporis momentum illata quondam a Pompeio clade. Illo siquidem eodem die ante annos 27 civitas eorum capta fuerat. Sosius autem appensa dei templo corona aurea, vinctum Antigonum ad Antonium ducens Hierosolymis discessit. Porro veritus Herodes, ne ab Antonio servatus Antigonus et ab eo Romam perductus coram senatu de principatus iure decertaret, et se quidem regia stirpe, Herodem obscuris natalibus ortum, aut certe in filios, si quid ipse in Romanum nomen admisisset criminis, regnum haereditario iure transferendum causaretur, ut Antigonus e vivis tolleretur oblatis Antonio muneribus persuadet. Eo perpetrato metu quidem liberatur Herodes, tali vero exitu Assamonaeorum regnum post annos 126 desiit. Domus adeo illustris generis claritudinem et honorem sacerdotii maioribus suis virtute propria sese olim commendantibus debebat; verum dissidiis quibus decertaverunt posteri potestatem amisit. Inde rerum summa Herodi Antipatri filio, plebeio genere nato

οἰκίας ὄντα δημοτικῆς καὶ γένους ἰδιωτικοῦ καὶ ὑπακούοντος τοῖς βασιλεῦσι. καὶ τοῦτο μὲν τὸ τέλος τῆς Ἀσαμωναίων γενεᾶς παρειλήφαμεν.

### Ἀφρικανοῦ περὶ τῶν Ὑρκανῷ καὶ Ἀντιγόνῳ συμβάντων B
### καὶ περὶ Ἡρώδου τοῦ τε Σεβαστοῦ καὶ Ἀντωνίου καὶ Κλεοπάτρας ἐν ἐπιτόμῳ.

Ὀκταούιος ὁ Σεβαστός, ὃν Αὔγουστον καλοῦσι Ῥωμαῖοι, θετὸς ὢν υἱὸς αὐτοῦ, ἀπὸ Ἀπολλωνιάδος τῆς Ἠπείρου, ἔνθα ἐπαιδεύετο, εἰς Ῥώμην ἐπανελθὼν τῶν ἐν τέλει τῆς ἡγεμονίας εἴχετο. Ἀντώνιος δὲ ὕστερον τὴν τῆς Ἀσίας καὶ ἐπέκεινα ἀρχὴν ἔλαχεν. ἐπὶ τούτου Ἡρώδου κατηγόρουν Ἰουδαῖοι. ὁ δὲ τοὺς πρέσβεις ἀποκτείνας Ἡρώδην ἐπὶ τὴν αὐτοῦ κατῆξεν ἀρχήν. ὕστερον δὲ ἅμα Ὑρκανῷ καὶ Φασαήλῳ τῷ ἀδελφῷ ἐξεώθη καὶ προσ- C
φυγὼν Ἀντωνίῳ κατῆλθε. μὴ δεχομένων δὲ αὐτὸν Ἰουδαίων μάχη γίνεται καρτερά. μετ' οὐ πολὺ δὲ καὶ Ἀντίγονον κατιόντα ἐκδιώκει μάχῃ, Ἀντίγονος δὲ προσφυγὼν Ἡρώδῃ τῷ τῶν Πάρ- V. 245
θων βασιλεῖ διὰ Πακόρου τοῦ υἱοῦ κατῆλθεν ἐπὶ χρυσοῦ ταλάντοις χιλίοις. καὶ ὁ μὲν Ἡρώδης φεύγει, Φασάηλος δὲ ἐν τῇ μάχῃ ἀναιρεῖται, Ὑρκανὸς δὲ Ἀντιγόνῳ παρεδόθη ζῶν· ὁ δὲ Πάρθοις αὐτὸν ἔδωκεν ἄγειν, ἀποτεμὼν αὐτοῦ τὰ ὦτα, ὡς μηκέτι ἱερῷτο· ᾐδέσθη γὰρ αὐτὸν ὡς οἰκεῖον ἀποκτεῖναι. Ἡρώδης

1. οἰκίας] οἰκείας G. 2. Ἀσαμον— vulgo. ἀσσαρον—B. 5. τε add. A. καὶ Ἀντωνίου] καὶ om. G. 7. καλοῦσιν οἱ Ῥωμαῖοι G. 8. αὐτοῦ] Hoc est Caesaris. 13. Vulgo Φασαΐλῳ et infra Φασάϊλος. 13. ἐξεώθει A. 14. αὐτὸν] αὐτῶν B. 17. Πακόρου Scaliger. Vulgo Πακώρου. 20. αὐτὸν add. B.

et regibus quondam subiecto demandata est. Et hunc quidem Assamonaeae familiae exitum a maioribus accepimus.

### Ex Africano de iis quae Hyrcano et Antigono acciderunt et de Herode, Augusto, Antonio et Cleopatra summatim.

Octavius, (Σεβαστὸς Graecis), Augustus Romanis dictus, Caii filius adoptivus, Apolloniade Epiri urbe, in qua studiorum causa morabatur, Romam reversus in civitatis proceres invasit imperium. Antonius postmodum Asiam vicinaque loca regenda obtinuit. Ad eius iudicium Herodem reum egere Iudaei, quorum legatis morte multatis, regnum restituit Herodi; qui demum cum Hyrcano et Phasaelo fratre eiectus ad Antonium fuga se recepit; Iudaeis redeuntem non admittentibus cruentum committitur praelium et posthac haud diu superior factus fugat Antigonum. Hic Parthorum regem adit, aurique talenta mille pollicitus, Pacori eius filii auxiliis regnum recuperat. Herodes versa belli vice in fugam agitur; Phasaelus occumbit in certamine; Hyrcanus Antigono vivus traditur; hic mutilatus eius auribus, ne sacerdotio fungeretur amplius, (consanguineum enim perimere veritus est), Parthorum potestati captivum tradit. Herodes amisso regno primum

δὲ ἐκπεσὼν τὸ μὲν πρῶτον Μαλίχῳ τῷ τῶν Ἀράβω
προσφεύγει· ὡς δ' οὐ προσήκατο αὐτὸν φόβῳ τῶν Πά
D'Ἀλεξάνδρειαν παρὰ Κλεοπάτραν ἀπῆλθεν. ἦν ὀλυμπι
Κλεοπάτρα τὸν συμβασιλεύσαντα αὐτῇ ἀδελφὸν ἀπο
πρὸς ἀπολογίαν ὑπ' Ἀντωνίου εἰς Κιλικίαν μεταπε
τὴν τῆς ἀρχῆς ἐπιμέλειαν ἐπέτρεψεν Ἡρώδῃ, καὶ ὡς οὐδ
πιστεύεσθαι ἔς τ' ἂν καταχθῇ εἰς τὴν ἑαυτοῦ ἀρχήν,
αὐτὸν ᾔει παρὰ Ἀντώνιον. ὡς δὲ ἁλώκει τῆς γυναικὸς ἔρωτ
Ἡρώδην ἀπέστειλεν εἰς Ῥώμην κατὰ τὸν Σεβαστὸν Ὀκτ
ὃς διά τε Ἀντίπατρον τὸν Ἡρώδου πατέρα καὶ δι' αὐτὸν
δην διά τε τὸ ὑπὸ Πάρθων καθεστάσθαι τὸν Ἀντίγονον β
ἐπέστειλε τοῖς ἐν Παλαιστίνῃ καὶ Συρίᾳ στρατηγοῖς κατάγει
τὸν ἐπὶ τὴν ἀρχήν. καὶ ἅμα Σωσίῳ διεπολέμει πρὸς τὸν Ἀ
P. 308 γον χρόνῳ πολλῷ καὶ παντοίαις μάχαις. τότε καὶ Ἰώσηππος ἀ
φὸς Ἡρώδου ἀποθνήσκει στρατηγῶν. Ἡρώδου δὲ πρὸς Ἀντώ
ἐλθόντος, τρία ἔτη τὸν Ἀντίγονον ἐξεπολιόρκησαν καὶ ζῶ
ἀπεκόμισαν Ἀντωνίῳ. Ἀντώνιος δὲ Ἡρώδην μὲν καὶ αὐτὸς ἀ
γόρευσε βασιλέα, προσέθηκε δὲ αὐτῷ πόλεις Ἵππον, Γάδαρ
Γάζαν, Ἰόππην, Ἀνθηδόνα καὶ τῆς Ἀραβίας τόν τε Τράχω
καὶ τὴν Αὐρανῖτιν καὶ Σακίαν καὶ Γαυλάνην, πρὸς δὲ καὶ τὶ
Συρίας ἐπιτροπήν. Ἡρώδης ὑπὸ τῆς συγκλήτου καὶ Ὀκταουΐο
τοῦ Σεβαστοῦ βασιλεὺς Ἰουδαίων ἀνηγορεύθη καὶ ἐβασίλευσε

6. τῆς B. ταύτης AG. ἀρχῆς] ἀρχὴν A. 8. ᾔει] ἴῃ B. δ' ἑαλώκει G. 11. Vulgo κατεστᾶσθαι. 16. Post ἐλθόντος G lacunam indicat. ἐπολιόρκησαν G. 19. Ἀραβίας] μέρος addit m. 20. αὐρανίτιν A. αὐρανίτην B. Αβρανίτιν G. Γαυλάνην] Γαβλάνην G.

quidem ad Malichum Arabum principem se confert, a quo Parthorum metu repulsus Alexandriam ad Cleopatram tendit. Numerabatur tunc Olympias 185. Cleopatra fratre regni consorte occiso ad causam dicendam ab Antonio in Ciliciam vocata, regni curam commendat Herodi, qui ab ea nihil obtinuit quo reduceretur in regnum; eo subinde viae comite ad Antonium proficiscitur. Ille mulieris captus illecebris Herodem ad Octavium misit, qui tum Antipatri Herodis parentis tum Herodis ipsius memor, et quod denique Parthorum armis regnum obtineret Antigonus, datis ad Syriae Palaestinaeque duces litteris, ut Herodem in regnum reponant, mandat. Exinde Sosio iunctus Herodes, variis praeliis ac non exiguo temporis intervallo, cum Antigono armis decertabat. Per id tempus Iosephus Herodis frater unus e copiarum ductoribus occumbit in praelio. Herode ad Antonium profecto . . . . . . . annos tres obsidionem protraxerunt et ad Antonium demum deduxere vivum; Antonius ipse Herodem renunciavit regem ac insuper urbes alias gubernandas demandavit Hippum, Gadara, Gazam, Ioppen, Anthedonem et Arabiae partem, Trachonitim et Auranitim, Saciam et Gaulanem, ipsamque postremo Syriam procurandam commisit. Herodes a senatu et Octavio Augusto rex declaratus annis triginta quatuor

ἔτη λδʹ. Ἀντώνιος ἐπὶ Πάρθους στρατεύειν μέλλων Ἀντίγονον τὸν Ἰουδαίων ἀπέκτεινε βασιλέα καὶ Ἀραβίαν Κλεοπάτρᾳ παρέδωκε, διαβάς τε ἐπὶ Πάρθους ἔπταισε μεγάλως τὸ πλεῖστον ἀπο- B βαλὼν τοῦ στρατοῦ. ἦν ὀλυμπιὰς ρπςʹ. ὁ Σεβαστὸς Ὀκταούιος τὴν ἐξ Ἰταλίας καὶ πάσης ἑσπέρας δύναμιν ἐπ᾽ Ἀντώνιον ἦγεν, οὐ βουλόμενον εἰς Ῥώμην ἐπανελθεῖν δέει τῶν ἐν Πάρθοις ἐπταισμένων καὶ Κλεοπάτρας ἔρωτι. Ἀντώνιος δὲ αὖ τὴν ἐκ τῆς Ἀσίας ἔχων δύναμιν ὑπηντίαζεν. ὁ δὲ Ἡρώδης οἷα δεινὸς καὶ τῶν ἰσχυόντων θεραπευτὴς διπλᾶς ἐξέπεμψεν ἐπιστολὰς καὶ νηὶ τὸν στρατὸν, ἐντειλάμενος τοῖς ἡγουμένοις καραδοκεῖν τὸ ἀποβησόμενον. ὡς δ᾽ ἐκρίθη τε ἡ νίκη καὶ δυσὶ ναυμαχίαις ἡττηθεὶς ὁ Ἀντώνιος ἔφυγεν εἰς Αἴγυπτον ἅμα τῇ Κλεοπάτρᾳ, οἱ κομίζοντες ἀπέδοσαν τὰς πρὸς τὸν Σεβαστὸν ἐπιστολὰς, ἃς πρὸς Ἀντώνιον εἶχον ἀποκρύψαντες. ἐπιπίπτει δὲ Ἡρώδῃ Κλεοπάτρα ἐν τῷ μεσαιολίῳ C ἑαυτὴν διεχρήσατο ἀσπίδι τῷ θηρίῳ καθ᾽ ἑαυτῆς ὅπλῳ χρησαμένη. τότε Κλεοπάτρας υἱοὺς Ἥλιον καὶ Σελήνην ἐπὶ Θηβαΐδα φυγόντας συνέλαβεν ὁ Σεβαστός. Νικόπολις ἡ κατὰ Ἀκτίαν ἐκτίσθη καὶ Ἄκτια ὁ ἀγὼν ἐτέθη. Ἀλεξανδρείας εἰλημμένης πρῶτος ἡγεμὼν Αἰγύπτου πέμπεται Γάλλος Κορνήλιος, ὃς τῶν ἀπο-

1. ἀντίγονον B. Ἀντώνιον G. 6. βουλόμενον B. βουλόμενος G. 7. αὖ τὴν] Vulgo αὐτὴν. 8. ὑπήντιζεν G. 10. τὰ ἀποβησόμενα G. 11. ναυμαχίαις] συμμαχίαις G. 12 ἀπέδωσαν G. 14. Post Ἡρώδῃ G lacunam indicat. μεσαιολίῳ] Μαισαιολίῳ Scaliger p. 74. Μαυσωλαίῳ m. 15. διεχρήσατο Scaliger. Vulgo δὲ ἐχρήσατο. 16. υἱοὺς B. υἱὸς G. θηβαΐδα B. Θηβαΐδι G. 18. Ἄκτια] Vulgo Ἀκτία.

regnavit. Antonius in Parthos expeditione suscepta, Iudaeorum regem Antigonum interfecit et Arabiam Cleopatrae commendavit; et in Parthos progressus exercitus parte amissa, non leviter peccasse compertus est. Erat tunc Olympias 186. Cunctas ex Italia occiduisque regionibus copias contractas Augustus Octavius eduxit in Antonium metu delicti, dum in Parthos praeliaretur, admissi, et Cleopatrae illecebris detentum, ac Romam se conferre detrectantem; cui collectis Asiaticis viribus Antonius obviam profectus est. Herodes porro velut astutia pollens, ac potentiorum obsequio addici consuetus datis epistolis duplicibus et auxiliariis copiis mari transmissis, duces ut prius eventum belli, quam confligerent, praestolarentur, admonuit. Adiudicata Augusto victoria Antonius praeliis duobus fusus, in Aegyptum fugiens cum Cleopatra reversus est. Tunc occultatis, quae ad Antonium, litteras ad Augustum missas qui deferebant duces reddidere. Impetit Herodem . . . . . . sepulcrali Mausolaeo inclusa Cleopatra aspide fera tanquam mortis telo usa se ipsam confecit. Eodem tempore Cleopatrae filios Solem Lunamque ab ea vocatos in Thebaidem fugientes Augustus cepit. Nicopolis ad Actiacum sinum construitur et Actiacus ludus institutus. Alexandria capta primus Aegypti dux Augustalis Cornelius Gallus missus est, qui Aegyptiorum ad perduellionem defle-

στάντων Αἰγυπτίων καθεῖλε τὰς πόλεις. μέχρι τοῦδε οἱ Λαγίδαι, καὶ σύμπας τῆς Μακεδονικῆς ἡγεμονίας μετὰ ἔτη τ' τῆς Περσῶν καθαιρέσεως δυοῖν δέοντα. συνάγονται τοίνυν οἱ χρόνοι ἀπὸ μὲν
D τῆς Μακεδόνων ἀρχῆς καὶ καταλύσεως κατὰ Πτολεμαίους καὶ τὴν τελευταίαν Κλεοπάτραν, ὃ γίνεται τῆς Ῥωμαίων μοναρχίας ἡγεμονίας ἔτος ια', ὀλυμπιάδος δὲ ρπζ' ἔτος δ' σύμπαντα ἔτη ἀπὸ Ἀδὰμ ͵ευοβ'.

V. 246 Μετὰ Ἀλεξανδρείας ἅλωσιν ὀλυμπιὰς ἤχθη ρπη'.

Ἡρώδης ἐπικτίσας τῶν Γαβινίων πόλιν, τήν ποτε Σαμάρειαν, Σεβαστὴν αὐτὴν προσηγόρευσε· τὸ δὲ ἐπίνειον αὐτῆς τὸν Στράτωνος πύργον πολίσας ἀπὸ τοῦ αὐτοῦ Καισάρειαν ἐκάλε-
P. 309 σεν ἐφ' ἑκάτερα ναὸν ἐγείρας Ὀκταουΐῳ. ὕστερον δὲ καὶ Ἀντιπατρίδα κτίζει ἐν τῷ Λυδῷ πεδίῳ ἀπὸ τοῦ ἑαυτοῦ πατρὸς, καὶ τοὺς περὶ τὴν Σεβαστὴν οἰκοῦντας, ὧν ἀφείλατο τὴν γῆν, ἐγκατῴκισεν ἐν αὐτῇ. ἔκτισε δὲ καὶ ἑτέρας πόλεις, καὶ τοῖς μὲν Ἰουδαίοις βαρὺς ἦν, τοῖς δὲ ἄλλοις ἔθνεσι δεξιώτατος.

Ἦν ὀλυμπιὰς ρπθ', ἥτις πρὸ ς' καλανδῶν Μαρτίων κατὰ Ἀντιοχεῖς κδ' ἤχθη, δι' ἧς ἐπὶ τῶν ἰδίων ὅρων ἔστη ὁ ἐνιαυτός.

Ἀφρικανὸς ἐάσας εἰπεῖν πόσα ἔτη Ὑρκανὸς ἡγήσατο Ἰου-

2. ἡγεμονίας] χρόνος addit Scaliger. 3. δέοντα] δὲ ὄντα AB. μὲν τῆς] μέντοι G. 4. καὶ] ἕως m. 5. μοναρχικῆς Scaliger. μοναρχίας καὶ m. 6. ἔτος δ' B. ἔτους δ' G. 8. ἤρχθη G. 10. ἐπίνηον B. τὸν B. τοῦ G. 11. πολήσας B. 12. ἐφ' ἑκατέρᾳ m. Vulgo ἐπ' ἑκάτερα. 13. ἑαυτοῦ] αὐτοῦ G. 14. ὧν B. ὃν G. Vulgo ἐγκατῴκησεν. 18. κδ'] κδ' ἔτει m. ὅρων] ὁρίων G.

ctentium urbes subvertit. Hucusque Lagidae duraverunt, unaque Macedonii imperii series stetit post destructum Persarum regnum annos duobus minus trecentos. Omne igitur temporis spatium ab instituto Macedonum imperio ad Aegyptiaci regni finem, ad Cleopatram nimirum Ptolemaeorum postremam concluditur; quod Romanorum monarchiae et imperii anno undecimo contigit, Olympiadis vero 187 anno quarto. Annorum summa ab Adam creato est 5472.

Post Alexandriam captam coepit Olympias 188.

Herodes Gabiniorum urbem, Samariam olim dictam, a se reparatam appellavit Sebasten; eius quoque navale, Stratonis olim turrim nuncupatum in urbis formam instauratum, Caesaream vocavit, et in utraque templum Octavio consecrandum erexit; postremam omnium de patris nomine Antipatridem in Lydo campo condidit; Sebastesque accolas, quorum agros occupavit, fecit huius incolas. Alias quoque urbes construxit, ac Iudaeis quidem onerosum, nationibus vero reliquis urbanum et amoenum sese exhibuit.

Olympias agebatur 189, quae bisextum diem 6 sexto Cal. Mart. anno iuxta Antioch. aeram 24 apte restitutum accepit, cuius beneficio certis ac propriis sibi terminis annus coepit consistere.

Annorum numerum, quo potestatem in Iudaeos Hyrcanus exercuerit, de

δαίων διὰ τὸ ἀντιπίπτειν τῇ ἐκδόσει αὐτοῦ τὰ λδ' ἔτη Ὑρκανοῦ πρὸς τούτοις ἔτη γ' τῆς Ἡρώδου βασιλείας ἐκολόβωσεν, ἀντὶ λζ' ἐτῶν μόνα λδ' στοιχειώσας· ὅπερ εἰ δῶμεν ἀληθεύειν, εὑρεθή- B σεται θνήσκων Ἡρώδης κατὰ τὸ πρῶτον ἔτος τῆς ἐνανθρωπήσεως τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅπερ ἄτοπον κατὰ τὰς εὐαγγελικὰς παραδόσεις.

### Εὐσεβίου τοῦ Παμφίλου περὶ Ἀντιγόνου καὶ τέλους τῆς Ἰουδαίων βασιλείας, προρρήσεώς τε τοῦ προφήτου Δανιὴλ, περὶ τῶν ο' ἑβδομάδων, καὶ Ἡρώδου ἀλλοφύλου.

Ἀντίγονος τῇ Ἰουδαίων βασιλείᾳ ἐπαναστὰς καὶ πολλὰ δια- C μαχησάμενος ἀναιρεῖται, καὶ ἐνταῦθα καταλήγει τὸ τῶν Ἰουδαίων βασίλειον. Ἡρώδης δὲ αὐτῶν μετὰ ταῦτα ἡγεῖται, οὐδὲν αὐτῷ προσήκουσαν τὴν Ἰουδαίων βασιλείαν παρὰ Ῥωμαίων ὑποδεξάμενος. ἐνταῦθα δὲ καὶ ὁ προφητευόμενος παρὰ τῷ Δανιὴλ Χριστὸς ἡγούμενος τέλος λαμβάνει. μέχρι γὰρ Ἡρώδου Χριστοὶ ἡγούμενοι. οὗτοι δὲ ἦσαν οἱ ἀρχιερεῖς, οἵτινες προεστήκεσαν τοῦ Ἰουδαίων ἔθνους, ἀρξάμενοι μὲν ἀπὸ τῆς κατὰ Δαρεῖον ἀνανεώσεως τοῦ ἱεροῦ κατὰ τὴν ἑξηκοστὴν καὶ πέμπτην ὀλυμπιάδα, λήξαντες δὲ ἐπὶ Ὑρκανὸν ἐπὶ τῆς ρπϛ' ὀλυμπιάδος. τὰ δὲ μεταξὺ D τούτων ἔτη γενέσθαι υπγ', ὁπόσα καὶ ἡ τοῦ Δανιὴλ προφητεία

3. εἰ] ἂν G. 7. Εὐσεβίου] P. 363. τέλους] τέλος A. 15. καὶ om. G. 16. Χριστοὶ] χρηστοὶ B. 18. ἀνανεώσεως B. ἀναιρέσεως G. 21. ἔτη γενέσθαι B. γενέσθαι ἔτη G. καὶ] δὲ G. Δανιὴλ] IX, 25.

industria omisit Africanus, quod eius nimirum computo anni 34 Hyrcano assignandi manifeste adversentur; alios insuper annos tres Herodis regno debitos subtraxit et 37 vice solos 34 recensuit, quod quidem si tanquam verum concesserimus, Herodem anno incarnationis domini et dei et salvatoris nostri Iesu Christi primo mortem obiisse comperiemus; quod perabsurdum esse evangelicarum traditionum iudicio constat.

### Ex Eusebii Pamphili scriptis de Antigono et regni Iudaeorum fine, de prophetae Danielis vaticiniis, de septuaginta hebdomadibus et Herode alienigena.

Antigonus armis in Iudaeae regnum assumptis, ac continuis fatigatus praeliis interficitur; et una cum eo Iudaeorum regnum interiit. Herodes postmodum princeps eorum instituitur, et imperium nullo iuris titulo ad se spectans a Romanis datum assequitur. Hic itaque praenunciatus a Daniele propheta dux Christus terminum reperit; ad Herodem enim usque Christi duces perseveravere. Illi vero pontifices fuere Iudaicae gentis praepositi; quorum exordium a renovato Darii templo et Olympiade 65 ductum, ultimus terminus in Olympiadem 186 sub Hyrcano incidens, medium vero spatium annorum 483 numeratur. Quicquid itaque Danielis prophetia enunciat di-

θεσπίζει λέγουσα· καὶ γνώσῃ καὶ συνήσεις ἀπὸ ἐξόδου λόγου τοῦ
ἀποκριθῆναι καὶ τοῦ οἰκοδομῆσαι Ἱερουσαλὴμ ἕως Χριστοῦ
ἡγουμένου ἑβδομάδες ἑπτὰ καὶ ἑβδομάδες ξβʹ. αὗται δὲ αἱ ἐννέα
καὶ ἑξήκοντα ἑβδομάδες συμπληροῦσι χρόνον ἐτῶν υπγʹ, ὁπόσα
ἔτη τυγχάνει τὰ τῆς ἀρχῆς τῶν Χριστῶν ἡγουμένων. ὧν τελευ-
ταίου Ὑρκανοῦ ὑπὸ Πάρθων αἰχμαλώτου ληφθέντος Ἡρώδης
ὁ Ἀντιπάτρου μηδὲν προσήκουσαν αὐτῷ τὴν τῶν Ἰουδαίων βα-
σιλείαν ὑπὸ Αὐγούστου καὶ τῆς συγκλήτου Ῥωμαίων παραλαμ-
P. 310 βάνει. κἄπειτα οἱ τούτου παῖδες μέχρι τῆς ὑστάτης Ἱεροσολύμων
πολιορκίας οὐκ ἔτι οἱ ἐκ διαδοχῆς τοῦ ἱερατικοῦ γένους ἱερῶντο
τῷ θεῷ οὐδὲ διὰ βίου κατὰ τὸν Μωϋσέως νόμον, ἄσημοι δέ τι-
νες ἄλλοτε ἄλλοι, καὶ οἱ μὲν ἐνιαύσιοι, οἱ δὲ ἔτι ὀλίγῳ πλέον παρὰ
τῶν Ῥωμαϊκῶν ἡγεμόνων τὴν ἀρχιερωσύνην ἐξωνοῦντο.
V. 247 Ἡρώδης Ἀντιπάτρου τοῦ Ἀσκαλωνίτου παῖς καὶ μητρὸς Κύ-
πριδος Ἀραβίσσης οὐδὲν αὐτῷ προσήκουσαν τὴν Ἰουδαίων βασι-
λείαν ὑπὸ Ῥωμαίων ἐγχειρίζεται, καθ' ὃν τῆς τοῦ Χριστοῦ γενέ-
σεως πλησιαζούσης ἡ ἐκ προγόνων διαδοχὴ ἀρχιερωσύνη τε καὶ
B ἀρχὴ τῶν Ἰουδαίων κατελύθη, συμπληρουμένης τῆς παρὰ Μωϋ-
σῇ λεγούσης προφητείας· οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα καὶ ἡγού-
μενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ὃ ἀπόκειται, καὶ αὐτὸς

1. γνώσῃ] γνώσει B. συνήσεις] συνήσει AB. 3. δὲ om. G. 6. ὑπὸ B. ἀπὸ G. Ἡρώδης ὁ] ὁ Ηρώδης τοῦ G. 9. κἄπειτα] κατ' ἔπειτα G. 13. ἡγεμόνων B. ἡγουμένων G. 14. παῖς om. G. κυπρίδος B. Sic idem supra p. 300 c. 16. γενέσεως B. γεννήσεως G. 18. μωϋσεῖ B. Vide Genes. XLIX, 10. 19. καὶ ἡγούμενος] καὶ ἄρχων G.

ceus: cognosces et intelliges ab exitu sermonis, ut respondeatur, et aedificetur Hierusalem usque ad Christum ducem hebdomades 7 et hebdomades 62. Annorum istae 69 hebdomades in annos expansos resolutae, 483 numerum conficiunt, quem nimirum Christis ducibus imperantibus elapsum observamus, quorum ultimo Hyrcano a Parthis capto, Herodes Antipatri filius regnum sibi penitus alienum ab Augusto senatuque Romano oblatum assumit. Deinceps ad extremum usque Hierosolymorum obsidionis terminum illius filii regnavere; pontifices autem non ex sacerdotali genere et successionis ordine dignitatem obtinuere, sed obscuris natalibus homines et alieni quandoque, hi quidem in annum, alii in spatium maius, alii a Romanis praesidibus honoris illius apicem numeratis sibi comparavere pecuniis.

Herodes Antipatro Ascalonita et matre Cypride Arabe genitus Iudaeorum regnum et alieni iuris a Romanis dono suscipit; qua sane tempestate vicinis iam Christi natalibus continuata a maioribus successio, pontificatus dignitas, ipsumque Iudaeorum imperium exstincta sunt, adimpletis videlicet istis Mosi vaticiniis: non deficiet princeps de Iuda, neque dux de femoribus eius donec veniat is cui repositum est; ipse est exspectatio gentium.

προσδοκία ἐθνῶν. ἑξῆς δὲ ὁ Δανιὴλ προφητεύων λέγει· καὶ μετὰ τὰς ζ' καὶ ξβ' ἑβδομάδας ἐξολοθρευθήσεται χρίσμα, καὶ κρίμα οὐκ ἔσται ἐν αὐτῷ, καὶ τὸ ἱερὸν καὶ τὸ ἅγιον διαφθερεῖ λαὸς ἡγουμένου ἐρχομένου, καὶ κοπήσονται ἐν κατακλυσμῷ πολέμου. καὶ ἑξῆς φησι· καὶ ἐπὶ τῶν ἱερῶν βδελυγμάτων ἐρημώσεων καὶ ἕως συντελείας καιροῦ συντέλεια δοθήσεται ἐπὶ τὴν ἐρήμωσιν.

Ὡς ἐν τισι Ῥωμαϊκαῖς ἐκδόσεσιν ἐμφέρεται ἐν ἐπιτόμῳ C περὶ τῶν ἀπὸ Ἀλεξάνδρου ἕως Αὐγούστου χρόνων, καὶ ἔτι τῶν ἀπὸ κτίσεως Ῥώμης καὶ ἀπὸ Τροίας ἁλώσεως καὶ ἕως τοῦ αὐτοῦ Αὐγούστου Καίσαρος.

Διαγεγόνασι δὲ ἀπὸ τῆς Ἀλεξάνδρου τοῦ Φιλίππου τελευτῆς, ἥτις γέγονε κατὰ τὸ ροζ' ἔτος τῆς τῶν ὑπάτων ἀρχῆς μέχρι τῆς Αὐγούστου καὶ Ἀντωνίου βασιλείας ὀλυμπιάδες οε', ἔτη δὲ σύνεγγυς τριακόσια. ἀπὸ δὲ κτίσεως Ῥώμης εἰς τὴν Αὐγούστου βασιλείαν ἔτη ψχ' διὰ τὸ γ' καὶ μ' καὶ διακοσίους ἐνιαυτοὺς ἀπὸ Ῥωμύλου μέχρι τῆς τῶν ὑπάτων ἀρχῆς διαγεγονέναι, κατασπώσης ἔτη υοζ', D ἀπὸ δὲ ἁλώσεως Τροίας εἰς τὴν αὐτοῦ Αὐγούστου Καίσαρος ἀρχὴν ἔτη ͵αρνγ' διὰ τὸ υλγ' ἐνιαυτοὺς ἀπὸ ἁλώσεως Τροίας μέχρι τῆς Ῥωμύλου βασιλείας εἶναι.

1. προφητεύων λέγει B. προφητεύει λέγων G. 5. τὸ ἱερὸν βδέλυγμα τῶν Daniel. 13. ροζ'] ρϛ' m. ὑπάτων Scaliger p. 75. Vulgo ὑπ' αὐτῶν. ὑπ' αὐτὸν B. 14. καὶ Ἀντωνίου delet m. 15. εἰς] ἕως G. 16. ψδ'. διὰ τὸ ἕνα καὶ σ'. ἐνιαυτούς m. 19. ἔτη ͵αρκη'. διὰ τὸ νια' m.

In sequentibus pariter praedicit Daniel: et post hebdomades septem et 62 peribit unctio et iudicium non erit in eo et templum et sanctum venturi ducis populus disperdet et excidentur in belli diluvio. Ait deinde: et super templum abominatio desolationum et usque ad consummationem temporis consummatio dabitur in desolationem.

Compendiosa annorum summa, quae tabulis Latina lingua editis circumfertur ab Alexandri aetate usque ad Augusti tempus, ac rursum a Romae conditu et excidio Troiae ad eundem Augustum Caesarem.

Ab Alexandri Philippi filii obitu, qui a consulum potestate instaurata anno centesimo nonagesimo contigit usque ad Augusti imperium post evolutas Olympiades 75 anni circiter 300 elapsi sunt. A Romae vero conditu ad Augusti imperium anni 704, quod anni unus et 200 a Romuli tempore ad erectam consulum dignitatem fluxerint, quae retro se ad arreptam primum ab Augusto tyrannidem annos 477 trahit. A Troia capta ad Augusti Caesaris imperium anni 1128 numerantur; quod alii 111 ab eusdem Troiae excidio ad Romuli regnum interaint.

Τῆς οὖν ρπε' ὀλυμπιάδος περιελθούσης Ἀντώνιος ἐκστρατεύει μὲν ἐπὶ Πέρσας, Ἡρώδου τοῦ Περσῶν βασιλέως φονευθέντος ὑπὸ Φραάρτου τοῦ μετ' αὐτὸν βασιλεύσαντος, συναντήσας δὲ τῇ Κλεοπάτρᾳ πρὸς τῇ Κιλίκων Ταρσῷ καὶ τῷ κάλλει ταύτης ἁλοὺς οὐδὲν ἀξιόλογον πράττει κατὰ Περσῶν. ὑπὸ γὰρ τοῦ πρὸς αὐτὴν πόθου πρῶτον εἰς Ἀρμενίαν, ἔπειτα δὲ καὶ εἰς Ἀλεξάν- P. 311 δρειαν ὀξέως δι' αὐτὴν ἐπανέρχεται, κατολιγωρήσας Ὀκταβίας τῆς γνησίας αὐτοῦ γαμετῆς ἀδελφῆς Αὐγούστου Καίσαρος.

Τῇ δὲ ρπη' ὀλυμπιάδι ὁ Ἀντώνιος τὴν μὲν γαμετὴν ἀπολύει Δαισίῳ μετὰ τῶν τέκνων ἐξαγαγὼν καὶ Κλεοπάτραν εἰσοικίζεται. κἀκ τούτου πρὸς αὐτὸν ἀνίσταται πόλεμος Αὐγούστου, καθ' ὃν μετὰ πολλὰς ναυμαχίας καὶ ἄλλους πλείστους πολέμους φεύγει Ἀντώνιος μετὰ Κλεοπάτρας εἰς Αἴγυπτον, παραχρῶνται δὲ ἑαυτούς, μαθόντες κἀκεῖ τὸν Αὔγουστον παραγίνεσθαι ὅσον οὔπω· B οὓς εὗρεν ἐλθὼν βιοθανατήσαντας. τοὺς δὲ Κλεοπάτρας παῖδας φεύγοντας λαβὼν Ἥλιον καὶ Σελήνην κατῆξεν εἰς Ῥώμην, θρίαμβον ἐπ' αὐτοῖς ἥδιστον Ῥωμαίοις ἐνδειξάμενος.

Τότε καὶ Πέρσαι Ῥωμαίοις σπείσασθαι παρεκάλεσαν ὁμήρους Αὐγούστῳ πέμψαντες. τὸν γὰρ Αὐγούστου Καίσαρος ἔκγονον Κλαύδιον τοὔνομα μαθόντες εἰς Ἀσίαν ὑπ' αὐτοῦ σταλέντα δόλῳ σφαγῆναι παρεσκεύασαν ὑπὸ στρατιώτου τινὸς Πέρσου δείξειν ἐπαγγειλαμένου χρημάτων θησαυρούς. διὸ μάλιστα περὶ τῆς εἰρήνης πρεσβεύουσι τὴν εἰρημένην ἐπιβουλὴν ἀπομνύμενοι.

1. παρελθούσης m. 4. δὲ τῇ] τῇ om. A. 6. καὶ add. B.
10. Δαισίῳ m. δι' αἰσίῳ G. διεσίῳ B. 13. δὲ] δὲ καὶ G.

Exeunte igitur Olympiade 185 Herode Persarum rege a Phraarte, qui postmodum imperavit, occiso Antonius in Persas educit exercitum. Cleopatrae vero ad Tarsum Ciliciae urbem factus obviam, et eius forma captus, nihil laude dignum adversus Persas egit. Illius enim aestuans desiderio, in Armeniam primum, deinde Alexandriam, Octavia coniuge legitima Augusti Caesaris sorore contempta, celeri gressu revertitur.

Olympiade 188 mense Daesio dato coniugi repudio liberis a se illam ablegat Antonius et Cleopatram inducit; quare Augustus iniuriae impatiens armis eum aggreditur, frequentique navali certamine praeliisque aliis plurimis inferior Antonius cum Cleopatra in Aegyptum secedit. Ibi necem sibi ipsis inferunt, Augustum tantum non advenisse praesentientes, eosdemque morte quam sibi consciverant adhuc paene exspirantes comperit. Is Cleopatrae liberos Solem et Lunam fuga sibi consulentes captos iucundum populo Rom. triumphi spectaculum exhibiturus Romam duxit.

Eo quoque tempore missis ad Augustum obsidibus foedus cum Romanis inire exquisiverunt Persae. Augusti enim nepotem Claudium nomine ab eo in Asiam missum cum didicissent, a milite quodam Persa reconditos pecuniarum thesauros revelare pollicito dolis occidi paraverunt; quare eiurato relatarum insidiarum crimine de pace firmanda per legatos tractatum suscepere.

Τότε καὶ Πανδίων ὁ τῶν Ἰνδῶν βασιλεὺς ἐπεκηρυκεύσατο V. 248
φίλος Αὐγούστου γενέσθαι καὶ σύμμαχος.

Κατὰ τοίνυν τὴν ρπε´ ὀλυμπιάδα Ἐλπιδίου κατασχεθέντος C
ὑπὸ Αὐγούστου ἐν τῇ πρὸς Ἀντώνιον μάχῃ καὶ ἀναιρεθέντος, ἐν Ῥώμῃ μόνος Αὔγουστος Ῥωμαίων μοναρχεῖ, διάδημα πρῶτος καὶ κόσμον τά τε λοιπὰ περιθέμενος βασιλικὰ σύμβολα καὶ πρὸς τὸ τῆς διαίτης ἁβρότερον προαχθείς. Γάϊος γὰρ πρὸ αὐτοῦ μοναρχήσας οὐδενὶ τούτων ἐκέχρητο.

Οἱ ἐν Ἀλεξανδρείᾳ ἀπὸ τοῦ ιδ´ ἔτους ἀριθμοῦσι τοὺς Αὐγούστου χρόνους.

Πανδίων ὁ τῶν Ἰνδῶν βασιλεὺς φίλος Αὐγούστου καὶ σύμμαχος εἶναι πρεσβεύεται.

Ὀκταούιος Αὔγουστος προσηγορεύθη, καὶ ὁ Σέξτιλιος μὴν ὄγδοος παρὰ Ῥωμαίοις ὁμοίως αὐτὸς Σεβαστὸς ἀνηγορεύθη.

Ἰουδαίων πρῶτος ἀλλόφυλος βασιλεὺς Ἡρώδης ἔτη λζ´. τοῦ δὲ D
κόσμου ἦν ἔτος ,ευξθ´.

Ἀνάνηλόν τινα τῶν ἐν Βαβυλῶνι Ἰουδαίων ἀρχιερέα μεταστειλάμενος Ἡρώδης εἰς Ἱερουσαλὴμ ἀρχιερέα κατέστησε, καὶ τοῦτον ἐκβαλὼν μετὰ βραχὺ καθίστησιν Ἀριστόβουλον ἀρχιερέα τὸν ἀδελφὸν τῆς αὐτοῦ γυναικὸς, υἱὸν ὄντα Ὑρκανοῦ τοῦ ἐν Παρθικῇ. καὶ τοῦτον ἀνελὼν πάλιν Ἀνάνηλον προσῆξε μετὰ ἐνιαυτόν.

2. γενέσθαι] γίνεσθαι G. σύμμαχος] συμμάχους B. 3. κατασχεθέντος] καταχθέντος G. 4. καὶ ἀναιρεθέντος hoc loco B: post Αὐγούστου A et, omisso καὶ, G. 11. βασιλεὺς om. G. 13. σέξτιος AB. 14. ὁ αὐτὸς B. 17. ἀνάνιλον hic et infra A. 21. Παρθικῇ] μετενεχθέντος, vel αἰχμαλωτισθέντος addit m. προσῆξε] προσῆκεν G.

Interim quoque Pandion Indorum rex amicitiam Augusti et in bellis gerendis societatem legatione missa expetiit.

Igitur Olympiade 185 Lepido in ea, quae adversus Antonium pugna capto et sublato, Augustus Romanum imperium solus obtinet; delicatoque vivendi genere et voluptuoso deinceps usus, diadema, ornatum et reliqua regni insignia primus circumponit. Istorum etenim nullum Caius ante imperans sibi usurpaverat.

Alexandrini a quarto decimo imperii ipsius Augusti computant annos.

Pandion Indorum rex missis legatis amicus Augusti et armorum socius fieri rogat.

Octavius appellatus est Augustus; et mensis Sextilis sedem in anni partibus obtinens octavam, Augusti nomine pariter insignitus fuit.

Iudaeorum rex primus aliena stirpe natus Herodes regnavit annis 37, erat porro mundi annus 5469.

Ananelum quendam Iudaeum Babylone arcessitum Herodes constituit Hierosolymis pontificem; eodemque brevi post tempore sede sua pulso, Aristobulum coniugis suae fratrem, et Hyrcani ad Parthos deportati filium pontificem designat; quo iterum anno succedente neci tradito, dignitatem Ananelo restituit.

Ἰωσήπου ἐκ τοῦ ιδʹ λόγου τῆς ἀρχαιολογίας περὶ τῆς Ἡρώδου ἀσημότητος.

Κόσμου ἔτη ,ευξθʹ.

Τοῦτο τὸ πάθος συνέβη τῇ Ἱεροσολυμιτῶν πόλει ὑπατεύοντος ἐν Ῥώμῃ Μάρκου Ἀγρίππα καὶ Κανδίδου Γάλλου ἐπὶ τῆς ρπεʹ D ὀλυμπιάδος τῷ τρίτῳ μηνὶ τῇ ἑορτῇ τῆς νηστείας, ὡς ἐκ περιτροπῆς τῆς γενομένης ἐπὶ Πομπηίου τοῖς Ἰουδαίοις συμφορᾶς. καὶ γὰρ ὑπ' ἐκείνου τῇ αὐτῇ ἑάλωσαν ἡμέρᾳ μετὰ ἔτη κζʹ. Σώσιος δὲ χρυσοῦν ἀναθέμενος τῷ θεῷ στέφανον ἀνέζευξεν ἀπὸ Ἱεροσολύμων Ἀντίγονον ἄγων δεσμώτην Ἀντωνίῳ. δείσας δ' Ἡρώδης μὴ φυλαχθεὶς Ἀντίγονος ὑπὸ Ἀντωνίου τοῦ υἱοῦ καὶ κομισθεὶς εἰς Ῥώμην ὑπ' αὐτοῦ δικαιολογήσηται, καὶ πρὸς τὴν σύγκλητον ἐπιδεικνὺς αὐτὸν μὲν ἐκ βασιλέων, Ἡρώδην δὲ ἰδιώτην ἢ ὅτι προσῆκεν αὐτοῦ βασιλεύειν τοὺς παῖδας, ἢ καὶ αὐτὸς εἰς Ῥωμαίους ἐξήμαρτε. ταῦτα φοβούμενος πολλοῖς χρήμασι πείθει τὸν Ἀντώνιον ἀνελεῖν τὸν Ἀντίγονον. οὗ γενομένου τοῦ δέους μὲν P. 307 Ἡρώδης ἀπαλλάττεται. παύεται δὲ οὕτως ἡ τοῦ Ἀσαμωναίου ἀρχὴ μετὰ ἔτη ρκςʹ. οἶκος λαμπρὸς οὗτος ἦν καὶ διάσημος γένους τε ἕνεκα καὶ τῆς ἱερατικῆς τιμῆς, ὧν ὑπὲρ τοῦ ἔθνους οἱ γονεῖς αὐτοῦ διεπράξαντο. ἀλλ' οὗτοι μὲν διὰ τὴν πρὸς ἀλλήλους στάσιν τὴν ἀρχὴν ἀπέβαλον. μετέβη δὲ εἰς Ἡρώδην τὸν Ἀντιπάτρου

1. ιδʹ] Cap. 16. p. 737. 9. ἀναζεύξας ἀπὸ Ἱεροσόλυμα G. Correxi ex B. 17. ἀπαλλάσσεται B. Ἀσαμον — vulgo. ἀσσαμον — B. 18. οὗτος λαμπρὸς G. 21. ἀπέβαλον B. ἀπέλαβον G.

Ex Iosephi antiquitatum libro decimo quarto de Herodis obscuro genere.

Anni mundi 5469 numerantur.

Ea calamitas Hierosolymorum civibus accidit M. Agrippa et Candido Gallo coss. Olympiade 185, mense tertio, feriis quibus solemne ieiunium celebratur, tanquam redeunte in idem temporis momentum illata quondam a Pompeio clade. Illo siquidem eodem die ante annos 27 civitas eorum capta fuerat. Sosius autem appensa dei templo corona aurea, vinctum Antigonum ad Antonium ducens Hierosolymis discessit. Porro veritus Herodes, ne ab Antonio servatus Antigonus et ab eo Romam perductus coram senatu de principatus iure decertaret, et se quidem regia stirpe, Herodem obscuris natalibus ortum, aut certe in filios, si quid ipse in Romanum nomen admisisset criminis, regnum haereditario iure transferendum causaretur, ut Antigonus e vivis tolleretur oblatis Antonio muneribus persuadet. Eo perpetrato metu quidem liberatur Herodes, tali vero exitu Assamonaeorum regnum post annos 126 desiit. Domus adeo illustris generis claritudinem et honorem sacerdotii maioribus suis virtute propria sese olim commendantibus debebat; verum dissidiis quibus decertaverunt posteri potestatem amisit. Inde rerum summa Herodi Antipatri filio, plebeio genere nato

οἰκίας ὄντα δημοτικῆς καὶ γένους ἰδιωτικοῦ καὶ ὑπακούοντος τοῖς βασιλεῦσι. καὶ τοῦτο μὲν τὸ τέλος τῆς Ἀσαμωναίων γενεᾶς παρειλήφαμεν.

## Ἀφρικανοῦ περὶ τῶν Ὑρκανῷ καὶ Ἀντιγόνῳ συμβάντων B καὶ περὶ Ἡρώδου τοῦ τε Σεβαστοῦ καὶ Ἀντωνίου καὶ Κλεοπάτρας ἐν ἐπιτόμῳ.

Ὀκταούιος ὁ Σεβαστός, ὃν Αὔγουστον καλοῦσι Ῥωμαῖοι, θετὸς ὢν υἱὸς αὐτοῦ, ἀπὸ Ἀπολλωνιάδος τῆς Ἠπείρου, ἔνθα ἐπαιδεύετο, εἰς Ῥώμην ἐπανελθὼν τῶν ἐν τέλει τῆς ἡγεμονίας εἴχετο. Ἀντώνιος δὲ ὕστερον τὴν τῆς Ἀσίας καὶ ἐπέκεινα ἀρχὴν ἔλαχεν. ἐπὶ τούτου Ἡρώδου κατηγόρουν Ἰουδαῖοι. ὁ δὲ τοὺς πρέσβεις ἀποκτείνας Ἡρώδην ἐπὶ τὴν αὐτοῦ κατῆξεν ἀρχήν. ὕστερον δὲ ἅμα Ὑρκανῷ καὶ Φασαήλῳ τῷ ἀδελφῷ ἐξεώθη καὶ προσ- C φυγὼν Ἀντωνίῳ κατῆλθε. μὴ δεχομένων δὲ αὐτὸν Ἰουδαίων μάχη γίνεται καρτερά. μετ' οὐ πολὺ δὲ καὶ Ἀντίγονον κατιόντα ἐκδιώκει μάχῃ, Ἀντίγονος δὲ προσφυγὼν Ἡρώδῃ τῷ τῶν Πάρ- V. 245 θων βασιλεῖ διὰ Πακόρου τοῦ υἱοῦ κατῆλθεν ἐπὶ χρυσοῦ ταλάντοις χιλίοις. καὶ ὁ μὲν Ἡρώδης φεύγει, Φασάηλος δὲ ἐν τῇ μάχῃ ἀναιρεῖται, Ὑρκανὸς δὲ Ἀντιγόνῳ παρεδόθη ζῶν· ὁ δὲ Πάρθοις αὐτὸν ἔδωκεν ἄγειν, ἀποτεμὼν αὐτοῦ τὰ ὦτα, ὡς μηκέτι ἱερῷτο· ᾐδέσθη γὰρ αὐτὸν ὡς οἰκεῖον ἀποκτεῖναι. Ἡρώδης

1. οἰκίας] οἰκείας G. 2. Ασαμον — vulgo. ἀσσαμον — B. 5. τε add. A. καὶ Ἀντωνίου] καὶ om. G. 7. καλοῦσιν οἱ Ῥωμαῖοι G. 8. αὐτοῦ] Hoc est Caesaris. 13. Vulgo Φασαΐλῳ et infra Φασάϊλος. 13. ἐξεώθει A. 14. αὐτὸν] αὐτῶν B. 17. Πακόρου Scaliger. Vulgo Πακώρου. 20. αὐτὸν add. B.

**et regibus quondam subiecto demandata est. Et hunc quidem Assamonaeae familiae exitum a maioribus accepimus.**

## Ex Africano de iis quae Hyrcano et Antigono acciderunt et de Herode, Augusto, Antonio et Cleopatra summatim.

**Octavius, (Σεβαστὸς Graecis), Augustus Romanis dictus, Caii filius adoptivus, Apolloniade Epiri urbe, in qua studiorum causa morabatur, Romam reversus in civitatis proceres invasit imperium. Antonius postmodum Asiam vicinaque loca regenda obtinuit. Ad eius iudicium Herodem reum egere Iudaei, quorum legatis morte multatis, regnum restituit Herodi; qui demum cum Hyrcano et Phasaelo fratre eiectus ad Antonium fuga se recepit; Iudaeis redeuntem non admittentibus cruentum committitur praelium et posthac haud diu superior factus fugat Antigonum. Hic Parthorum regem adit, aurique talenta mille pollicitus, Pacori eius filii auxiliis regnum recuperat. Herodes versa belli vice in fugam agitur; Phasaelus occumbit in certamine; Hyrcanus Antigono vivus traditur; hic mutilatus eius auribus, ne sacerdotio fungeretur amplius, (consanguineum enim perimere veritus est), Parthorum potestati captivum tradit. Herodes amisso regno primum**

*δὲ ἐκπεσὼν τὸ μὲν πρῶτον Μαλίχῳ τῷ τῶν Ἀράβων βασιλεῖ προσφεύγει· ὡς δ' οὐ προσήκατο αὐτὸν φόβῳ τῶν Πάρθων, εἰς*
D *Ἀλεξάνδρειαν παρὰ Κλεοπάτραν ἀπῆλθεν. ἦν ὀλυμπιὰς ρπε'. Κλεοπάτρα τὸν συμβασιλεύσαντα αὐτῇ ἀδελφὸν ἀποκτείνασα πρὸς ἀπολογίαν ὑπ' Ἀντωνίου εἰς Κιλικίαν μεταπεμφθεῖσα τὴν τῆς ἀρχῆς ἐπιμέλειαν ἐπέτρεψεν Ἡρώδῃ, καὶ ὡς οὐδὲν ἠξίου πιστεύεσθαι ἔς τ' ἂν καταχθῇ εἰς τὴν ἑαυτοῦ ἀρχήν, ἔχουσα αὐτὸν ᾔει παρὰ Ἀντώνιον. ὡς δὲ ἁλώκει τῆς γυναικὸς ἔρωτι, τὸν Ἡρώδην ἀπέστειλεν εἰς Ῥώμην κατὰ τὸν Σεβαστὸν Ὀκταούϊον, ὃς διά τε Ἀντίπατρον τὸν Ἡρώδου πατέρα καὶ δι' αὐτὸν Ἡρώδην διά τε τὸ ὑπὸ Πάρθων καθεστάσθαι τὸν Ἀντίγονον βασιλέα ἐπέστειλε τοῖς ἐν Παλαιστίνῃ καὶ Συρίᾳ στρατηγοῖς κατάγειν αὐτὸν ἐπὶ τὴν ἀρχήν. καὶ ἅμα Σωσίῳ διεπολέμει πρὸς τὸν Ἀντίγο-*
P. 308 *νον χρόνῳ πολλῷ καὶ παντοίαις μάχαις. τότε καὶ Ἰώσηππος ἀδελφὸς Ἡρώδου ἀποθνήσκει στρατηγῶν. Ἡρώδου δὲ πρὸς Ἀντώνιον ἐλθόντος, τρία ἔτη τὸν Ἀντίγονον ἐξεπολιόρκησαν καὶ ζῶντα ἀπεκόμισαν Ἀντωνίῳ. Ἀντώνιος δὲ Ἡρώδην μὲν καὶ αὐτὸς ἀνηγόρευσε βασιλέα, προσέθηκε δὲ αὐτῷ πόλεις Ἵππον, Γάδαρα, Γάζαν, Ἰόππην, Ἀνθηδόνα καὶ τῆς Ἀραβίας τόν τε Τράχωνα καὶ τὴν Αὐρανῖτιν καὶ Σακίαν καὶ Γαυλάνην, πρὸς δὲ καὶ τῆς Συρίας ἐπιτροπήν. Ἡρώδης ὑπὸ τῆς συγκλήτου καὶ Ὀκταουΐου τοῦ Σεβαστοῦ βασιλεὺς Ἰουδαίων ἀνηγορεύθη καὶ ἐβασίλευσεν*

6. *τῆς* B. *ταύτης* AG. *ἀρχῆς*] *ἀρχὴν* A. 8. *ᾔει*] *ἴη* B. *δ' ἑαλώκει* G. 11. Vulgo *κατεστᾶσθαι*. 16. Post *ἐλθόντος* G lacunam indicat. *ἐπολιόρκησαν* G. 19. *Ἀραβίας*] *μέρος* addit m. 20. *αὐρανίτιν* A. *αὐρανίτην* B. *Ἀβρανίτιν* G. *Γαυλάνην*] *Γαβλάνην* G.

quidem ad Malichum Arabum principem se confert, a quo Parthorum metu repulsus Alexandriam ad Cleopatram tendit. Numerabatur tunc Olympias 185. Cleopatra fratre regni consorte occiso ad causam dicendam ab Antonio in Ciliciam vocata, regni curam commendat Herodi, qui ab ea nihil obtinuit quo reduceretur in regnum; eo subinde viae comite ad Antonium proficiscitur. Ille mulieris captus illecebris Herodem ad Octavium misit, qui tum Antipatri Herodis parentis tum Herodis ipsius memor, et quod denique Parthorum armis regnum obtineret Antigonus, datis ad Syriae Palaestinaeque duces litteris, ut Herodem in regnum reponant, mandat. Exinde Sosio iunctus Herodes, variis praeliis ac non exiguo temporis intervallo, cum Antigono armis decertabat. Per id tempus Iosephus Herodis frater unus e copiarum ductoribus occumbit in praelio. Herode ad Antonium profecto . . . . . . . annos tres obsidionem protraxerunt et ad Antonium demum deduxere vivum; Antonius ipse Herodem renunciavit regem ac insuper urbes alias gubernandas demandavit Hippum, Gadara, Gazam, Ioppen, Anthedonem et Arabiae partem, Trachonitim et Auranitim, Saciam et Gaulanem, ipsamque postremo Syriam procurandam commisit. Herodes a senatu et Octavio Augusto rex declaratus annis triginta quatuor

ἔτη λδ'. Ἀντώνιος ἐπὶ Πάρθους στρατεύειν μέλλων Ἀντίγονον τὸν Ἰουδαίων ἀπέκτεινε βασιλέα καὶ Ἀραβίαν Κλεοπάτρᾳ παρέδωκε, διαβάς τε ἐπὶ Πάρθους ἔπταισε μεγάλως τὸ πλεῖστον ἀπο- B βαλὼν τοῦ στρατοῦ. ἦν ὀλυμπιὰς ρπς'. ὁ Σεβαστὸς Ὀκταούιος τὴν ἐξ Ἰταλίας καὶ πάσης ἑσπέρας δύναμιν ἐπ' Ἀντώνιον ἦγεν, οὐ βουλόμενον εἰς Ῥώμην ἐπανελθεῖν δέει τῶν ἐν Πάρθοις ἐπταισμένων καὶ Κλεοπάτρας ἔρωτι. Ἀντώνιος δὲ αὖ τὴν ἐκ τῆς Ἀσίας ἔχων δύναμιν ὑπηντίαζεν. ὁ δὲ Ἡρώδης οἷα δεινὸς καὶ τῶν ἰσχυόντων θεραπευτὴς διπλᾶς ἐξέπεμψεν ἐπιστολὰς καὶ νηὶ τὸν στρατὸν, ἐντειλάμενος τοῖς ἡγουμένοις καραδοκεῖν τὸ ἀποβησόμενον. ὡς δ' ἐκρίθη τε ἡ νίκη καὶ δυσὶ ναυμαχίαις ἡττηθεὶς ὁ Ἀντώνιος ἔφυγεν εἰς Αἴγυπτον ἅμα τῇ Κλεοπάτρᾳ, οἱ κομίζοντες ἀπέδοσαν τὰς πρὸς τὸν Σεβαστὸν ἐπιστολὰς, ἃς πρὸς Ἀντώνιον εἶχον ἀποκρύψαντες. ἐπιπίπτει δὲ Ἡρώδῃ Κλεοπάτρα ἐν τῷ μεσαιολίῳ C ἑαυτὴν διεχρήσατο ἀσπίδι τῷ θηρίῳ καθ' ἑαυτῆς ὅπλῳ χρησαμένη. τότε Κλεοπάτρας υἱοὺς Ἥλιον καὶ Σελήνην ἐπὶ Θηβαΐδα φυγόντας συνέλαβεν ὁ Σεβαστός. Νικόπολις ἡ κατὰ Ἀκτίαν ἐκτίσθη καὶ Ἄκτια ὁ ἀγὼν ἐτέθη. Ἀλεξανδρείας εἰλημμένης πρῶτος ἡγεμὼν Αἰγύπτου πέμπεται Γάλλος Κορνήλιος, ὃς τῶν ἀπο-

1. ἀντίγονον B. Ἀντώνιον G. 6. βουλόμενον B. βουλόμενος G. 7. αὖ τὴν] Vulgo αὐτὴν. 8. ὑπήντιζεν G. 10. τὰ ἀποβησόμενα G. 11. ναυμαχίαις] συμμαχίαις G. 12 ἀπέδωσαν G. 14. Post Ἡρώδῃ G lacunam indicat. μεσαιολίῳ] Μαισαιολίῳ Scaliger p. 74. Μαυσωλαίῳ m. 15. διεχρήσατο Scaliger. Vulgo δὲ ἐχρήσατο. 16. υἱοὺς B. υἱὸς G. θηβαΐδα B. Θηβαΐδι G. 18. Ἄκτια] Vulgo Ἀκτία.

regnavit. Antonius in Parthos expeditione suscepta, Iudaeorum regem Antigonum interfecit et Arabiam Cleopatrae commendavit; et in Parthos progressus exercitus parte amissa, non leviter peccasse compertus est. Erat tunc Olympias 186. Cunctas ex Italia occiduisque regionibus copias contractas Augustus Octavius eduxit in Antonium metu delicti, dum in Parthos praeliaretur, admissi, et Cleopatrae illecebris detentum, ac Romam se conferre detrectantem; cui collectis Asiaticis viribus Antonius obviam profectus est. Herodes porro velut astutia pollens, ac potentiorum obsequio addici consuetus datis epistolis duplicibus et auxiliariis copiis mari transmissis, duces ut prius eventum belli, quam confligerent, praestolarentur, admonuit. Adiudicata Augusto victoria Antonius praeliis duobus fusus, in Aegyptum fugiens cum Cleopatra reversus est. Tunc occultatis, quae ad Antonium, litteras ad Augustum missas qui deferebant duces reddidere. Impetit Herodem . . . . . . sepulcrali Mausolaeo inclusa Cleopatra aspide fera tanquam mortis telo usa se ipsam confecit. Eodem tempore Cleopatrae filios Solem Lunamque ab ea vocatos in Thebaidem fugientes Augustus cepit. Nicopolis ad Actiacum sinum construitur et Actiacus ludus institutus. Alexandria capta primus Aegypti dux Augustalis Cornelius Gallus missus est, qui Aegyptiorum ad perduellionem defle-

στάντων Αἰγυπτίων καθεῖλε τὰς πόλεις. μέχρι τοῦδε οἱ Λαγίδαι,
καὶ σύμπας τῆς Μακεδονικῆς ἡγεμονίας μετὰ ἔτη τ' τῆς Περσῶν
καθαιρέσεως δυοῖν δέοντα. συνάγονται τοίνυν οἱ χρόνοι ἀπὸ μὲν
D τῆς Μακεδόνων ἀρχῆς καὶ καταλύσεως κατὰ Πτολεμαίους καὶ
τὴν τελευταίαν Κλεοπάτραν, ὃ γίνεται τῆς Ῥωμαίων μοναρχίας
ἡγεμονίας ἔτος ια', ὀλυμπιάδος δὲ ρπζ' ἔτος δ' σύμπαντα ἔτη ἀπὸ
Ἀδὰμ ͵ευοβ'.

V. 246 Μετὰ Ἀλεξανδρείας ἅλωσιν ὀλυμπιὰς ἤχθη ρπη'.

Ἡρώδης ἐπικτίσας τῶν Γαβινίων πόλιν, τὴν ποτε Σαμά-
ρειαν, Σεβαστὴν αὐτὴν προσηγόρευσε· τὸ δὲ ἐπίνειον αὐτῆς τὸν
Στράτωνος πύργον πολίσας ἀπὸ τοῦ αὐτοῦ Καισάρειαν ἐκάλε-
P. 309 σεν ἐφ' ἑκάτερα ναὸν ἐγείρας Ὀκταουίῳ. ὕστερον δὲ καὶ Ἀντιπα-
τρίδα κτίζει ἐν τῷ Λυδῷ πεδίῳ ἀπὸ τοῦ ἑαυτοῦ πατρός, καὶ τοὺς
περὶ τὴν Σεβαστὴν οἰκοῦντας, ὧν ἀφείλατο τὴν γῆν, ἐγκατῴκι-
σεν ἐν αὐτῇ. ἔκτισε δὲ καὶ ἑτέρας πόλεις, καὶ τοῖς μὲν Ἰουδαίοις
βαρὺς ἦν, τοῖς δὲ ἄλλοις ἔθνεσι δεξιώτατος.

Ἦν ὀλυμπιὰς ρπθ', ἥτις πρὸ ϛ' καλανδῶν Μαρτίων κατὰ Ἀντιοχεῖς κδ' ἤχθη, δι' ἧς ἐπὶ τῶν ἰδίων ὅρων ἔστη ὁ ἐνιαυτός.

Ἀφρικανὸς ἐάσας εἰπεῖν πόσα ἔτη Ὑρκανὸς ἡγήσατο Ἰου-

2. ἡγεμονίας] χρόνος addit Scaliger. 3. δέοντα] δὲ ὄντα AB. μὲν τῆς] μέντοι G. 4. καὶ] ἕως m. 5. μοναρχικῆς Scaliger. μοναρχίας καὶ m. 6. ἔτος δ' B. ἔτους δ' G. 8. ἤρχθη G. 10. ἐπίνηον B. τὸν B. τοῦ G. 11. πολήσας B. 12. ἐφ' ἑκατέρᾳ m. Vulgo ἐπ' ἑκάτερα. 13. ἑαυτοῦ] αὐτοῦ G. 14. ὧν B. ὃν G. Vulgo ἐγκατῴκησεν. 18. κδ'] κδ' ἔτει m. ὅρων] ὁρίων G.

ctentium urbes subvertit. Hucusque Lagidae duraverunt, unaque Macedonii imperii series stetit post destructum Persarum regnum annos duobus minus trecentos. Omne igitur temporis spatium ab instituto Macedonum imperio ad Aegyptiaci regni finem, ad Cleopatram nimirum Ptolemaeorum postremam concluditur; quod Romanorum monarchiae et imperii anno undecimo contigit, Olympiadis vero 187 anno quarto. Annorum summa ab Adam creato est 5472.

Post Alexandriam captam coepit Olympias 188.

Herodes Gabiniorum urbem, Samariam olim dictam, a se reparatam appellavit Sebasten; eius quoque navale, Stratonis olim turrim nuncupatum in urbis formam instauratum, Caesaream vocavit, et in utraque templum Octavio consecrandum erexit; postremam omnium de patris nomine Antipatridem in Lydo campo condidit; Sebastesque accolas, quorum agros occupavit, fecit huius incolas. Alias quoque urbes construxit, ac Iudaeis quidem onerosum, nationibus vero reliquis urbanum et amoenum sese exhibuit.

Olympias agebatur 189, quae bisextum diem 6 sexto Cal. Mart. anno iuxta Antioch. aeram 24 apte restitutum accepit, cuius beneficio certis ac propriis sibi terminis annus coepit consistere.

Annorum numerum, quo potestatem in Iudaeos Hyrcanus exercuerit, de

δαίων διὰ τὸ ἀντιπίπτειν τῇ ἐκδόσει αὐτοῦ τὰ λδ' ἔτη Ὑρκανοῦ πρὸς τούτοις ἔτη γ' τῆς Ἡρώδου βασιλείας ἐκολόβωσεν, ἀντὶ λζ' ἐτῶν μόνα λδ' στοιχειώσας· ὅπερ εἰ δῶμεν ἀληθεύειν, εὑρεθή- B σεται θνήσκων Ἡρώδης κατὰ τὸ πρῶτον ἔτος τῆς ἐνανθρωπήσεως τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅπερ ἄτοπον κατὰ τὰς εὐαγγελικὰς παραδόσεις.

### Εὐσεβίου τοῦ Παμφίλου περὶ Ἀντιγόνου καὶ τέλους τῆς Ἰουδαίων βασιλείας, προρρήσεώς τε τοῦ προφήτου Δανιήλ, περὶ τῶν ο' ἑβδομάδων, καὶ Ἡρώδου ἀλλοφύλου.

Ἀντίγονος τῇ Ἰουδαίων βασιλείᾳ ἐπαναστὰς καὶ πολλὰ διαμαχησάμενος ἀναιρεῖται, καὶ ἐνταῦθα καταλήγει τὸ τῶν Ἰουδαίων βασίλειον. C Ἡρώδης δὲ αὐτῶν μετὰ ταῦτα ἡγεῖται, οὐδὲν αὐτῷ προσήκουσαν τὴν Ἰουδαίων βασιλείαν παρὰ Ῥωμαίων ὑποδεξάμενος. ἐνταῦθα δὲ καὶ ὁ προφητευόμενος παρὰ τῷ Δανιὴλ Χριστὸς ἡγούμενος τέλος λαμβάνει. μέχρι γὰρ Ἡρώδου Χριστοὶ ἡγούμενοι. οὗτοι δὲ ἦσαν οἱ ἀρχιερεῖς, οἵτινες προεστήκεσαν τοῦ Ἰουδαίων ἔθνους, ἀρξάμενοι μὲν ἀπὸ τῆς κατὰ Δαρεῖον ἀνανεώσεως τοῦ ἱεροῦ κατὰ τὴν ἑξηκοστὴν καὶ πέμπτην ὀλυμπιάδα, λήξαντες δὲ ἐπὶ Ὑρκανὸν ἐπὶ τῆς ρπϛ' ὀλυμπιάδος. τὰ δὲ μεταξὺ D τούτων ἔτη γενέσθαι υπγ', ὁπόσα καὶ ἡ τοῦ Δανιὴλ προφητεία

3. εἰ] ἂν G. 7. Εὐσεβίου] P. 363. τέλους] τέλος A. 15. καὶ om. G. 16. Χριστοὶ] χρηστοὶ B. 18. ἀνανεώσεως B. ἀναιρέσεως G. 21. ἔτη γενέσθαι B. γενέσθαι ἔτη G. καὶ] δὲ G. Δανιὴλ] IX, 25.

industria omisit Africanus, quod eius nimirum computo anni 34 Hyrcano assignandi manifeste adversentur; alios insuper annos tres Herodis regno debitos subtraxit et 37 vice solos 34 recensuit, quod quidem si tanquam verum concesserimus, Herodem anno incarnationis domini et dei et salvatoris nostri Iesu Christi primo mortem obiisse comperiemus; quod perabsurdum esse evangelicarum traditionum iudicio constat.

### Ex Eusebii Pamphili scriptis de Antigono et regni Iudaeorum fine, de prophetae Danielis vaticiniis, de septuaginta hebdomadibus et Herode alienigena.

Antigonus armis in Iudaeae regnum assumptis, ac continuis fatigatus praeliis interficitur; et una cum eo Iudaeorum regnum interiit. Herodes postmodum princeps eorum instituitur, et imperium nullo iuris titulo ad se spectans a Romanis datum assequitur. Hic itaque praenunciatus a Daniele propheta dux Christus terminum reperit; ad Herodem enim usque Christi duces perseveravere. Illi vero pontifices fuere Iudaicae gentis praepositi; quorum exordium a renovato Darii templo et Olympiade 65 ductum, ultimus terminus in Olympiadem 186 sub Hyrcano incidens, medium vero spatium annorum 483 numeratur. Quicquid itaque Danielis prophetia enunciat di-

*θεσπίζει λέγουσα· καὶ γνώσῃ καὶ συνήσεις ἀπὸ ἐξόδου λόγου τοῦ
ἀποκριθῆναι καὶ τοῦ οἰκοδομῆσαι Ἱερουσαλὴμ ἕως Χριστοῦ
ἡγουμένου ἑβδομάδες ἑπτὰ καὶ ἑβδομάδες ξβʹ. αὗται δὲ αἱ ἐννέα
καὶ ἑξήκοντα ἑβδομάδες συμπληροῦσι χρόνον ἐτῶν υπγʹ, ὁπόσα
ἔτη τυγχάνει τὰ τῆς ἀρχῆς τῶν Χριστῶν ἡγουμένων. ὧν τελευ-
ταίου Ὑρκανοῦ ὑπὸ Πάρθων αἰχμαλώτου ληφθέντος Ἡρώδης
ὁ Ἀντιπάτρου μηδὲν προσήκουσαν αὐτῷ τὴν τῶν Ἰουδαίων βα-
σιλείαν ὑπὸ Αὐγούστου καὶ τῆς συγκλήτου Ῥωμαίων παραλαμ-*
P. 810 *βάνει. κἄπειτα οἱ τούτου παῖδες μέχρι τῆς ὑστάτης Ἱεροσολύμων
πολιορκίας οὐκ ἔτι οἱ ἐκ διαδοχῆς τοῦ ἱερατικοῦ γένους ἱερῶντο
τῷ θεῷ οὐδὲ διὰ βίου κατὰ τὸν Μωϋσέως νόμον, ἄσημοι δέ τι-
νες ἄλλοτε ἄλλοι, καὶ οἱ μὲν ἐνιαύσιοι, οἱ δὲ ἔτι ὀλίγῳ πλέον παρὰ
τῶν Ῥωμαϊκῶν ἡγεμόνων τὴν ἀρχιερωσύνην ἐξωνοῦντο.*
V. 247 *Ἡρώδης Ἀντιπάτρου τοῦ Ἀσκαλωνίτου παῖς καὶ μητρὸς Κύ-
πριδος Ἀραβίσσης οὐδὲν αὐτῷ προσήκουσαν τὴν Ἰουδαίων βασι-
λείαν ὑπὸ Ῥωμαίων ἐγχειρίζεται, καθ' ὃν τῆς τοῦ Χριστοῦ γενέ-
σεως πλησιαζούσης ἡ ἐκ προγόνων διαδοχὴ ἀρχιερωσύνη τε καὶ*
B *ἀρχὴ τῶν Ἰουδαίων κατελύθη, συμπληρουμένης τῆς παρὰ Μωϋ-
σῇ λεγούσης προφητείας· οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα καὶ ἡγού-
μενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ὃ ἀπόκειται, καὶ αὐτὸς*

1. *γνώσῃ*] *γνώσει* B. *συνήσεις*] *συνήσει* AB. 3. *δὲ* om. G. 6. *ὑπὸ* B. *ἀπὸ* G. *Ἡρώδης ὁ*] *ὁ Ἡρώδης τοῦ* G. 9. *κἄπειτα*] *κατ' ἔπειτα* G. 13. *ἡγεμόνων* B. *ἡγουμένων* G. 14. *παῖς* om. G. *κυπρίδος* B. Sic idem supra p. 300 c. 16. *γενέσεως* B. *γεννήσεως* G. 18. *μωϋσεῖ* B. Vide Genes. XLIX, 10. 19. *καὶ ἡγούμενος*] *καὶ ἄρχων* G.

cens: cognosces et intelliges ab exitu sermonis, ut respondeatur, et aedificetur Hierusalem usque ad Christum ducem hebdomades 7 et hebdomades 62. Annorum istae 69 hebdomades in annos expansos resolutae, 483 numerum conficiunt, quem nimirum Christis ducibus imperantibus elapsum observamus, quorum ultimo Hyrcano a Parthis capto, Herodes Antipatri filius regnum sibi penitus alienum ab Augusto senatuque Romano oblatum assumit. Deinceps ad extremum usque Hierosolymorum obsidionis terminum illius filii regnavere; pontifices autem non ex sacerdotali genere et successionis ordine dignitatem obtinuere, sed obscuris natalibus homines et alieni quandoque, hi quidem in annum, alii in spatium maius, alii a Romanis praesidibus honoris illius apicem numeratis sibi comparavere pecuniis.

Herodes Antipatro Ascalonita et matre Cypride Arabe genitus Iudaeorum regnum et alieni iuris a Romanis dono suscipit; qua sane tempestate vicinis iam Christi natalibus continuata a maioribus successio, pontificatus dignitas, ipsumque Iudaeorum imperium exstincta sunt, adimpletis videlicet istis Mosi vaticiniis: non deficiet princeps de Iuda, neque dux de femoribus eius donec veniat is cui repositum est; ipse est exspectatio gentium.

προσδοκία ἐθνῶν. ἑξῆς δὲ ὁ Δανιὴλ προφητεύων λέγει· καὶ μετὰ τὰς ζ' καὶ ξβ' ἑβδομάδας ἐξολοθρευθήσεται χρίσμα, καὶ κρίμα οὐκ ἔσται ἐν αὐτῷ, καὶ τὸ ἱερὸν καὶ τὸ ἅγιον διαφθερεῖ λαὸς ἡγουμένου ἐρχομένου, καὶ κοπήσονται ἐν κατακλυσμῷ πολέμου. καὶ ἑξῆς φησι· καὶ ἐπὶ τῶν ἱερῶν βδελυγμάτων ἐρημώσεων καὶ ἕως συντελείας καιροῦ συντέλεια δοθήσεται ἐπὶ τὴν ἐρήμωσιν.

Ὡς ἐν τισι Ῥωμαϊκαῖς ἐκδόσεσιν ἐμφέρεται ἐν ἐπιτόμῳ C περὶ τῶν ἀπὸ Ἀλεξάνδρου ἕως Αὐγούστου χρόνων, καὶ ἔτι τῶν ἀπὸ κτίσεως Ῥώμης καὶ ἀπὸ Τροίας ἁλώσεως καὶ ἕως τοῦ αὐτοῦ Αὐγούστου Καίσαρος.

Διαγεγόνασι δὲ ἀπὸ τῆς Ἀλεξάνδρου τοῦ Φιλίππου τελευτῆς, ἥτις γέγονε κατὰ τὸ ροζ' ἔτος τῆς τῶν ὑπάτων ἀρχῆς μέχρι τῆς Αὐγούστου καὶ Ἀντωνίου βασιλείας ὀλυμπιάδες οε', ἔτη δὲ σύνεγγυς τριακόσια. ἀπὸ δὲ κτίσεως Ῥώμης εἰς τὴν Αὐγούστου βασιλείαν ἔτη ψκ' διὰ τὸ γ' καὶ μ' καὶ διακοσίους ἐνιαυτοὺς ἀπὸ Ῥωμύλου μέχρι τῆς τῶν ὑπάτων ἀρχῆς διαγεγονέναι, κατασπώσης ἔτη νοζ', D ἀπὸ δὲ ἁλώσεως Τροίας εἰς τὴν αὐτοῦ Αὐγούστου Καίσαρος ἀρχὴν ἔτη ,αρνγ' διὰ τὸ νλγ' ἐνιαυτοὺς ἀπὸ ἁλώσεως Τροίας μέχρι τῆς Ῥωμύλου βασιλείας εἶναι.

1. προφητεύων λέγει B. προφητεύει λέγων G. 5. τὸ ἱερὸν βδέλυγμα τῶν Daniel. 13. ροζ'] ρϛ' m. ὑπάτων Scaliger p. 75. Vulgo ὑπ' αὐτῶν. ὑπ' αὐτὸν B. 14. καὶ Ἀντωνίου delet m. 15. εἰς] ἕως G. 16. ψδ'. διὰ τὸ ἕνα καὶ σ'. ἐνιαυτούς m. 19. ἔτη ,αρχη'. διὰ τὸ νια' m.

In sequentibus pariter praedicit Daniel: et post hebdomades septem et 62 peribit unctio et iudicium non erit in eo et templum et sanctum venturi ducis populus disperdet et excidentur in belli diluvio. Ait deinde: et super templum abominatio desolationum et usque ad consummationem temporis consummatio dabitur in desolationem.

Compendiosa annorum summa, quae tabulis Latina lingua editis circumfertur ab Alexandri aetate usque ad Augusti tempus, ac rursum a Romae conditu et excidio Troiae ad eundem Augustum Caesarem.

Ab Alexandri Philippi filii obitu, qui a consulum potestate instaurata anno centesimo nonagesimo contigit usque ad Augusti imperium post evolutas Olympiades 75 anni circiter 300 elapsi sunt. A Romae vero conditu ad Augusti imperium anni 704, quod anni unus et 200 a Romuli tempore ad erectam consulum dignitatem fluxerint, quae retro se ad arreptam primum ab Augusto tyrannidem annos 477 trahit. A Troia capta ad Augusti Caesaris imperium anni 1128 numerantur; quod alii 111 ab eusdem Troiae excidio ad Romuli regnum intersint.

Τῆς οὖν ρπε' ὀλυμπιάδος περιελθούσης Ἀντώνιος ἐκστρατεύει μὲν ἐπὶ Πέρσας, Ἡρώδου τοῦ Περσῶν βασιλέως φονευθέντος ὑπὸ Φραάρτου τοῦ μετ' αὐτὸν βασιλεύσαντος, συναντήσας δὲ τῇ Κλεοπάτρᾳ πρὸς τῇ Κιλίκων Ταρσῷ καὶ τῷ κάλλει ταύτης ἁλοὺς οὐδὲν ἀξιόλογον πράττει κατὰ Περσῶν. ὑπὸ γὰρ τοῦ πρὸς αὐτὴν πόθου πρῶτον εἰς Ἀρμενίαν, ἔπειτα δὲ καὶ εἰς Ἀλεξάν-
P. 311 δρειαν ὀξέως δι' αὐτὴν ἐπανέρχεται, κατολιγωρήσας Ὀκταβίας τῆς γνησίας αὐτοῦ γαμετῆς ἀδελφῆς Αὐγούστου Καίσαρος.

Τῇ δὲ ρπη' ὀλυμπιάδι ὁ Ἀντώνιος τὴν μὲν γαμετὴν ἀπολύει Δαισίῳ μετὰ τῶν τέκνων ἐξαγαγὼν καὶ Κλεοπάτραν εἰσοικίζεται. κἀκ τούτου πρὸς αὐτὸν ἀνίσταται πόλεμος Αὐγούστου, καθ' ὃν μετὰ πολλὰς ναυμαχίας καὶ ἄλλους πλείστους πολέμους φεύγει Ἀντώνιος μετὰ Κλεοπάτρας εἰς Αἴγυπτον, παραχρῶνται δὲ ἑαυτούς, μαθόντες κἀκεῖ τὸν Αὔγουστον παραγίνεσθαι ὅσον οὔπω·
B οὓς εὗρεν ἐλθὼν βιοθανατήσαντας. τοὺς δὲ Κλεοπάτρας παῖδας φεύγοντας λαβὼν Ἥλιον καὶ Σελήνην κατῆξεν εἰς Ῥώμην, θρίαμβον ἐπ' αὐτοῖς ἥδιστον Ῥωμαίοις ἐνδειξάμενος.

Τότε καὶ Πέρσαι Ῥωμαίοις σπείσασθαι παρεκάλεσαν ὁμήρους Αὐγούστῳ πέμψαντες. τὸν γὰρ Αὐγούστου Καίσαρος ἔκγονον Κλαύδιον τοὔνομα μαθόντες εἰς Ἀσίαν ὑπ' αὐτοῦ σταλέντα δόλῳ σφαγῆναι παρεσκεύασαν ὑπὸ στρατιώτου τινὸς Πέρσου δείξειν ἐπαγγειλαμένου χρημάτων θησαυρούς. διὸ μάλιστα περὶ τῆς εἰρήνης πρεσβεύουσι τὴν εἰρημένην ἐπιβουλὴν ἀπομνύμενοι.

1. παρελθούσης m. 4. δὲ τῇ] τῇ om. A. 6. καὶ add. B.
10. Δαισίῳ m. δι' αἰσίῳ G. διεσίῳ B. 13. δὲ] δὲ καὶ G.

Exeunte igitur Olympiade 185 Herode Persarum rege a Phraarte, qui postmodum imperavit, occiso Antonius in Persas educit exercitum. Cleopatrae vero ad Tarsum Ciliciae urbem factus obviam, et eius forma captus, nihil laude dignum adversus Persas egit. Illius enim aestuans desiderio, in Armeniam primum, deinde Alexandriam, Octavia coniuge legitima Augusti Caesaris sorore contempta, celeri gressu revertitur.

Olympiade 188 mense Daesio dato coniugi repudio liberis a se illam ablegat Antonius et Cleopatram inducit; quare Augustus iniuriae impatiens armis eum aggreditur, frequentique navali certamine praeliisque aliis plurimis inferior Antonius cum Cleopatra in Aegyptum secedit. Ibi necem sibi ipsis inferunt, Augustum tantum non advenisse praesentientes, eosdemque morte quam sibi consciverant adhuc paene exspirantes comperit. Is Cleopatrae liberos Solem et Lunam fuga sibi consulentes captos iucundum populo Rom. triumphi spectaculum exhibiturus Romam duxit.

Eo quoque tempore missis ad Augustum obsidibus foedus cum Romanis inire exquisiverunt Persae. Augusti enim nepotem Claudium nomine ab eo in Asiam missum cum didicissent, a milite quodam Persa reconditos pecuniarum thesauros revelare pollicito dolis occidi paraverunt; quare eiurato relatarum insidiarum crimine de pace firmanda per legatos tractatum suscepere.

*Τότε καὶ Πανδίων ὁ τῶν Ἰνδῶν βασιλεὺς ἐπεκηρυκεύσατο* V. 248 *φίλος Αὐγούστου γενέσθαι καὶ σύμμαχος.*

*Κατὰ τοίνυν τὴν ρπε΄ ὀλυμπιάδα Ἐλπιδίου κατασχεθέντος* C *ὑπὸ Αὐγούστου ἐν τῇ πρὸς Ἀντώνιον μάχῃ καὶ ἀναιρεθέντος, ἐν Ῥώμῃ μόνος Αὔγουστος Ῥωμαίων μοναρχεῖ, διάδημα πρῶτος καὶ κόσμον τά τε λοιπὰ περιθέμενος βασιλικὰ σύμβολα καὶ πρὸς τὸ τῆς διαίτης ἁβρότερον προαχθείς. Γάϊος γὰρ πρὸ αὐτοῦ μοναρχήσας οὐδενὶ τούτων ἐκέχρητο.*

*Οἱ ἐν Ἀλεξανδρείᾳ ἀπὸ τοῦ ιδ΄ ἔτους ἀριθμοῦσι τοὺς Αὐγούστου χρόνους.*

*Πανδίων ὁ τῶν Ἰνδῶν βασιλεὺς φίλος Αὐγούστου καὶ σύμμαχος εἶναι πρεσβεύεται.*

*Ὀκταούιος Αὔγουστος προσηγορεύθη, καὶ ὁ Σέξτιλιος μὴν ὄγδοος παρὰ Ῥωμαίοις ὁμοίως αὐτὸς Σεβαστὸς ἀνηγορεύθη.*

*Ἰουδαίων πρῶτος ἀλλόφυλος βασιλεὺς Ἡρώδης ἔτη λζ΄. τοῦ δὲ* D
*κόσμου ἦν ἔτος ,ευξθ΄.*

*Ἀνάνηλόν τινα τῶν ἐν Βαβυλῶνι Ἰουδαίων ἀρχιερέα μεταστειλάμενος Ἡρώδης εἰς Ἱερουσαλὴμ ἀρχιερέα κατέστησε, καὶ τοῦτον ἐκβαλὼν μετὰ βραχὺ καθίστησιν Ἀριστόβουλον ἀρχιερέα τὸν ἀδελφὸν τῆς αὐτοῦ γυναικός, υἱὸν ὄντα Ὑρκανοῦ τοῦ ἐν Παρθικῇ. καὶ τοῦτον ἀνελὼν πάλιν Ἀνάνηλον προσῆξε μετὰ ἐνιαυτόν.*

2. *γενέσθαι*] *γίνεσθαι* G. *σύμμαχος*] *συμμάχους* B. 3. *κατασχεθέντος*] *καταχθέντος* G. 4. *καὶ ἀναιρεθέντος* hoc loco B: post *Αὐγούστου* A et, omisso *καὶ*, G. 11. *βασιλεὺς* om. G. 13. *σέξτιος* AB. 14. *ὁ αὐτὸς* B. 17. *ἀνάνιλον* hic et infra A. 21. *Παρθικῇ*] *μετενεχθέντος*, vel *αἰχμαλωτισθέντος* addit m. *προσῆξε*] *προσῆκεν* G.

Interim quoque Pandion Indorum rex amicitiam Augusti et in bellis gerendis societatem legatione missa expetiit.

Igitur Olympiade 185 Lepido in ea, quae adversus Antonium pugna capto et sublato, Augustus Romanum imperium solus obtinet; delicatoque vivendi genere et voluptuoso deinceps usus, diadema, ornatum et reliqua regni insignia primus circumponit. Istorum etenim nullum Caius ante imperans sibi usurpaverat.

Alexandrini a quarto decimo imperii ipsius Augusti computant annos.

Pandion Indorum rex missis legatis amicus Augusti et armorum socius fieri rogat.

Octavius appellatus est Augustus; et mensis Sextilis sedem in anni partibus obtinens octavam, Augusti nomine pariter insignitus fuit.

Iudaeorum rex primus aliena stirpe natus Herodes regnavit annis 37, erat porro mundi annus 5469.

Ananelum quendam Iudaeum Babylone arcessitum Herodes constituit Hierosolymis pontificem; eodemque brevi post tempore sede sua pulso, Aristobulum coniugis suae fratrem, et Hyrcani ad Parthos deportati filium pontificem designat; quo iterum anno succedente neci tradito, dignitatem Ananelo restituit.

P. 312 Εἴρηται μὲν ἡμῖν καὶ πρόσθεν ἀρχομένοις τοῦδε τοῦ πόνου ὡς ἀναγκαιότατον πάντων ἡμῖν ἐν αὐτῷ δεῖξαι πρόκειται τὸν χρόνον τῆς θείας σαρκώσεως τοῦ μονογενοῦς υἱοῦ καὶ λόγου τοῦ θεοῦ, κυρίου δὲ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τῷ ͵εφ' ἔτει τοῦ κόσμου προτρέχοντα πληρουμένῳ καὶ ἀρχομένῳ τῷ ͵εφα' μηνὶ κατὰ Ῥωμαίους Μαρτίῳ κε', κατὰ τὴν θείαν διὰ Μωϋσέως ἔκδοσιν πρώτῃ τοῦ παρ' Ἑβραίοις πρωτοκτίστου μηνὸς Νισὰν, καθ' ἣν ὁ ἀρχάγγελος Γαβριὴλ τῇ κυρίως καὶ ἀληθῶς θεοτόκῳ τῆς παγκοσμίου χαρᾶς προσενήνοχεν εὐαγγέλια. οὕτω γὰρ καὶ ἡ τῆς ζωοποιοῦ ἀναστάσεως αὐτοῦ ἡμέρα κατὰ τὴν αὐτὴν πρωτόκτιστον ἡμέραν συναντήσει κατὰ τὰς ἀποστολικὰς παραδόσεις, ὡς δειχθήσεται.

B Ἐπειδὴ δὲ κατὰ τὸ ͵ευοβ' ἔτος τοῦ κόσμου, ὅπερ κατὰ τόνδε τὸν ἀκριβῶς ἡμῖν κατὰ δύναμιν ἐφοδευθέντα κανόνα τῷ ιε' τῆς Αὐγούστου βασιλείας ἔτει συντρέχει, ἀπὸ δὲ Ἀλεξανδρείας ἁλώσεως ϛ', τὸ λεγόμενον Βίσεξτον προετέθη ὑπὸ Αὐγούστου Καίσαρος καὶ τῶν τηνικαῦτα σοφῶν, ἀναγκαῖον ἡγοῦμαι δηλῶσαι περὶ αὐτοῦ τοῦ ἡλιακοῦ ἐνιαυτοῦ τξε' α' ἡμερῶν ὄντος παρὰ δ' μιᾶς ἡμέρας. τοῦτο τὸ τεταρτημόριον κατὰ ἔτη κη' συναγόμενον ζ' ἡμέρας ἀνακυκλουμένας ἀπὸ πρώτης ἡμέρας τῆς ἑβδομάδος

3. θείας om. G. 4. δὲ om. G. 5. προτρέχοντι G. 7. νισσᾶν A. νησσὰν B. Νισσὰν G. 14. τὸν om. G. ἐφοδευθέντα B. ἀφοδευθέντα G. 15. ἀπὸ δὲ] κατ' ἄλλους δὲ ἀπὸ Ἀλεξ. m. 18. ἐνιαυτοῦ] ἐνιαυτοῦ τοῦ G. α'] πρῶτον G. ὄντος B. οὗτος AG. „ὄντος, καὶ πέριξ δ'. μιᾶς ἡμέρας, Barb. περὶ sive τεταρτομόριον μιᾶς ἡμέρας." Goar. παρὰ δ'] παρὰ λ' AB. παρὰ λα' G. 19. Vulgo τεταρτομόριον.

Nobis dudum praesens opus aggressis ac in ipsius limine praemissum est scribendi consilium hoc esse maxime constitutum, ut incarnationis unigeniti filii et verbi dei domini et salvatoris nostri Iesu Christi designatum tempus anno a mundi conditu 5500 iam finito et ineunte 5501 Martii Romanorum mensis die 25 et ad sacrum Mosis institutum Nisan mensis Hebraeis primo positi die primo, quo Gabriel archangelus vere ac certo dei genitrici universalis gaudii nuncium aperuit, contigisse declaremus. Eo namque ita constituto vivificae pariter resurrectionis dies in eandem primum creatam lucem secundum traditas ab apostolis leges incurret, ut manifestius in sequentibus dissereter.

Verum enim vero cum ad orbis creati annum 5472, qui iuxta laterculum accurato, ut vires dedere, studio compositum, in annum imperantis Augusti 15 et ex quorumdam dictis captae Alexandriae sextum incidit, ab Augusto caeterisque temporis eiusdem eruditis viris dies intercalaris Bissextus nomine adiunctus fuerit, de ipso solari anno diebus 365 et diei alterius ferme quadrante constare credito nonnulla liquido declarare necessarium duxi. Quadrans iste diei per annorum 28 periodum collectus dies septem ordine suo ab hebdomadis die primo ad septimum recurrentes inducit, qui

ἕως ζ´ ἐπάγει, αἵτινες λέγονται ἐπακταὶ ἡλίου ζ´ διὰ τῶν κη´ ἐτῶν συμπληρούμεναι, καὶ πάλιν ἀπὸ τοῦ κθ´ ἀρχόμεναι. τε- C τράκις γὰρ ζ´ κη´ γίνονται. αἱ δ' αὐταὶ καὶ τετραετηρίδες παρὰ τοῖς μαθηματικοῖς ἀστρονόμοις κέκληνται διὰ τὸ κατὰ τετραετίαν ἡμέραν μίαν τῷ ἐνιαυτῷ ἐπεισάγειν, περὶ ἧς οἱ μὲν Ἰουδαῖοι σεληνιακοὺς παραλαμβάνοντες τοὺς χρόνους διὰ τὸ νομικὸν πάσχα καὶ τὴν ἐν τῷ πρώτῳ μηνὶ Νισὰν πανσέληνον οὐδένα λόγον εὑρίσκονται συγγραψάμενοι. Ἕλληνες δὲ παρὰ Χαλδαίων εἰς Αἰγυπτίους διὰ τοῦ πατριάρχου Ἀβραάμ, ὡς ὁ λόγος, τὴν αὐτὴν ἐλθοῦσαν γνῶσιν παραλαβόντες κατ' Αἰγυπτίους τξε´ ἡμε- V. 249 ρῶν τὸν ἐνιαυτὸν ἐλογίσαντο, ἀρχόμενοι μὲν ἀπὸ τοῦ παρ' αὐτοῖς Θὼθ μηνὸς τῆς πρώτης ἡμέρας, ἥτις κατὰ τὴν κθ´ τοῦ D Αὐγούστου μηνὸς συμπίπτει, καὶ κατὰ χρόνους δ´ ἀμείβοντες μίαν ἡμέραν ἕως ἀποκαταστάσεως ἡμερῶν Αἰγυπτιακοῦ ἔτους τξε´ διὰ ͵αυξ´ ἐτῶν συμπληρουμένου, καὶ ὡς ἀπὸ σημείου τινὸς εἰς τὸ αὐτὸ σημεῖον, ἀπὸ τῆς κθ´ τοῦ Αὐγούστου μηνὸς ἀποκαθισταμένου, ὃς ἔτυχεν ἀποκαταστῆναι κατὰ τόδε τὸ ͵ευοα´ ἔτος τοῦ κόσμου, Αὐγούστου δὲ ἔτει ιε´ κατὰ τόδε τὸ κανόνιον. κατὰ δὲ Πανόδωρον κβ´ ἔτος ἦν Αὐγούστου διὰ τὸ τοὺς πολλοὺς κατὰ τὸ ιϛ´ ἔτος τῆς Αὐγούστου βασιλείας τὴν Ἀλεξανδρείας ἅλωσιν ἱστορεῖν καὶ τοὺς τούτου χρόνους τῆς βασιλείας ἐντεῦθεν λογίζεσθαι, μεθ' ἣν ἀρξαμένην ἔτει ε´ Αὐγούστου τεθῆναι τὴν τετραετηρικὴν P. 313 ἡμέραν, καὶ μέχρι τοῦ νῦν οὕτω καθ' Ἕλληνας ἤτοι Ἀλεξαν-

7. νισσᾶν A. νησσὰν B. Νισσὰν G. 17. ὃς] ὡς G. τὸ om. G. ͵ευοα´] „Superius ͵ευοβ´." m. 19. διὰ τὸ] διὰ τοῦτο B. 22. ὑπὸ Αὐγούστου m.

quidem solis Epactae 7 dicti sunt, quod annis 28 absolvantur ac rursus a 29 in ordinem redeant. Quatuor enim per septem ducta reddunt octo supra viginti. Eaedem Epactae tetraeterides quoque apud mathematicos astronomos nuncupari consueverunt, quod ad quadriennii calcem diem unum addi postulent; de quo ab Iudaeis, propter legale suum pascha ac plenilunium primo mense Nisan ab eis observatum, lunares annos usurpantibus ne verbo quidem habitam memoriam comperimus. Graeci vero notitiam huiusmodi a Chaldaeis ad Aegyptios Abraham patriarcha, ut sermo fertur, doctore traductam suscipientes annum diebus 365 metiendum decreverunt. Annum autem exordiuntur a mensis Thoth illis proprii die primo in Augusti mensis 29 incidente, et evoluta quatuor annorum periodo, diem unum adiiciunt; donec decursis 1460 annis Aegyptiacus dierum 365 annus renovetur; et veluta signo dato ad signum idem ab Augusti mensis die 29, ad eundem, prout praesente 5472 et Augusti 15 contigit, instaurandus denuo recurrat. Is annus fuit ex Panodori calculis Augusti secundus ac vicesimus, quod ad eiusdem Augusti annum decimum sextum Alexandriam captam plures historici referant, e quo tanquam e carcere Augusti regnantis annos prorumpere et numerari existiment; post cuius imperii auspicia, anno quinto impen-

δρεῖς ψηφίζεσθαι τοὺς ἀστρονομικοὺς κανόνας ἐν ταῖς ἐκλείψεσι τῶν δύο φωστήρων καὶ ταῖς καθ' ἕκαστον μῆνα συνόδῳ πανσελήνοις τῶν τε πλανωμένων ε' ἀστέρων καὶ τῶν λοιπῶν ἀπλανῶν τὰς ἐποχὰς οὕτω λαμβάνεσθαι. καὶ οὕτω μὲν ὁ Πανόδωρος συμφωνῆσαι σπουδάζων τοῖς ἔξω σοφοῖς περὶ τὴν σφαιρικὴν κίνησιν ἔτεσιν ζ' διήμαρτε τοῦ ,εφ' ἔτους, ,ευϟγ' ἀντὶ ,εφ' στοιχειώσας, καίπερ ἐν ἄλλοις εὐδοκιμήσας παρὰ πολλούς. ἡμεῖς δὲ τῷ ποιη-
B τῇ τῶν χρόνων ἀχρόνῳ θεῷ τῇ παντουργῷ καὶ ὁμοουσίῳ τριάδι πειθόμενοι ταῖς παρ' αὐτῆς δοθείσαις ἡμῖν θεοπνεύστοις γραφαῖς διά τε παλαιᾶς καὶ νέας διαθήκης ἐξηκολουθήσαμεν, ἔν τισι συμφωνήσαντες καὶ τοῖς παρ' ἐκείνων κανόσιν, ὡς ἐν τοῖς Ἀλεξάνδρου τοῦ Μακεδόνων ἔτεσι κατὰ τὸ ,ερο' ἔτος τοῦ κόσμου, ἐνταῦθα δὲ ἀντιπίπτουσαν εὑρόντες ταῖς ἀποστολικαῖς παραδόσεσι τὴν ἐκείνοις ἄλλοθεν εἰλημμένην ἀρχὴν καὶ οὐκ ἐκ τῆς κοινῆς τοῦ κόσμου γενέσεως ἀναγκαίως τῆς θείας καὶ ἀρρήτου σαρκώσεως τὸν ἀκριβῆ χρόνον προετιμήσαμεν.

C Αὔγουστος Ῥωμαίοις ἐνομοθέτησε.
Λόλλιος Μάρκος Ῥωμαίοις Γαλατίαν ἐπεκτήσατο.
Αὔγουστος μοναρχίαν ἐγχειριζομένην ἀπώσατο.
Αὔγουστος Γαλάταις φόρους ἔθετο.
Τιβέριος Ἀρμενίαν Αὐγούστῳ παρεστήσατο.

2. συνόδῳ] συνόδοις καὶ m. 6. στοιχειώσας] ἐστοιχείωσεν G. 8. ἀχρόνῳ B. ἀχρόνως G. ὁμοουσίᾳ G. 11. παρ' om. G.

dente, diem unum elapso quadriennio debitum intercalatum fuisse narrant; et usque in diem hodiernum, aiunt, in utriusque luminaris solis videlicet et lunae eclipsibus, et utriusque insuper iuxta menses singulos congressibus et pleniluniis, pro Graecorum, id est Alexandrinorum sententia, astronomicae regulae observantur, et errantium quinque astrorum relinquorumque fixorum siderum epochae, id est, certi ratique status cursuumque termini describuntur. Et hac equidem ratione Panodorus vir a plerisque summae eruditionis nomine commendatus cum sapientibus ab ecclesia alienis circa caelestium orbium motus sartam tectamque consensionem tenere satagens annis integris septem a 5500 summa deprehenditur aberrasse et 5500 vice reposuisse 5493. Nos igitur aeterno rerum omnium opifici et unius substantiae deo personis trino parere dispositi, verbis novo et antiquiori testamento consignatis adhaerentes; quasdam licet regulas a sapientibus illis positas, quales Alexandri Macedonis annos circa mundi 5170 exponunt, fuerimus amplexati; hic certe alieno nobis oblato Epactae principio, quod apostolicis adversatur traditionibus, et primis mundi natalibus plane non consentit, divinae nec verbis explanandae incarnationis annum et terminum alterum exquisitius fixum necessario praeferendum statuimus.

Augustus leges Romanis posuit.
Lollius Marcus Galatiam subiecit.
Monarchiam sibi oblatam Augustus repudiavit.
Vectigal Galatis imposuit Augustus.
Tiberius Augusto Armeniam armis acquisivit.

Αὔγουστος Κυζικηνῶν ἐλευθερίαν ἀφείλατο.

Αὔγουστος Σαμίοις ἐλευθερίαν παρέσχε.

Κάνταβροι στατιάσαντες διεφθάρησαν.

Σεισμὸς Κύπρου πολλὰ μέρη κατέπτωσε.

Τιμήσεως γενομένης ἐν Ῥώμῃ ἀπεγράφησαν Ῥωμαίων μυ- D
ριάδες υις´ καὶ ͵δ.

Τῷ ͵ευπ´ ἔτει τοῦ κόσμου ἡ τῶν Βιθυνῶν η´ βασιλέων ἀρχὴ ἐπαύσατο ὑπὸ Αὐγούστου χρηματίσασα, ἀπὸ τοῦ ͵εσξη´ κοσμικοῦ ἔτους ἀρξαμένη, ὧν τὰ ὀνόματα δηλωθήσεται· ὁμοίως δὲ καὶ ἡ τῶν Ποντικῶν ι´ βασιλέων.

Τιβέριος Καῖσαρ ἀνηγορεύθη.

Αὔγουστος Γάϊον Ἀγρίππαν υἱοθετήσατο.

Αὔγουστος μοιχεύσασαν Ἰουλίαν θυγατέρα αὐτοῦ ἠφάντωσε.

Τιβέριος Καῖσαρ Οὐινδικοὺς καὶ τοὺς λοιποὺς παρακειμένους τῇ Θράκῃ ὑπέταξεν.

Ἀποικίας εἰς Πάτρας καὶ Βήρυτον Ῥωμαῖοι ἐξέπεμψαν. P. 314
Τιβέριος Καῖσαρ καταπολεμήσας Γερμανοὺς αὐτοκράτωρ V. 250
ἀνηγορεύθη.

Τιβέριος ἐπὶ νίκῃ Παννονίων ἐθριάμβευσεν.

Ὁ αὐτὸς ἐπὶ νίκῃ Ῥαϊτῶν καὶ Ἀρμενίων καὶ Οὐινδικίων καὶ Παννονίων ἐθριάμβευσεν.

3. κάντανροι AB. 6. ͵δ] χιλιάδες τεσσάρες G. Conf. Eusebium p. 365. 17. ῥωμαῖοι A. Ῥωμαίοις G. ἐξέπεμψαν Scaliger p. 76. Vulgo ἐξέπεμψεν. Conf. Eusebium p. 366. 18. In margine B est ͵ευϛ´. 20. παννόνιον A. 22. παννονίων B. Παννίων G.

Cyzicenis libertatem ademit Augustus.
Samiis libertatem restituit.
Cantabri tumultuantes profligantur.
Cypri partes plurimas terrae motus evertit.
Censu Romae habito hominum myriades 416 et millia quatuor inventa.
Anno mundi 5480 Bithynorum 8 regum, quorum nomina alibi declarantur, iam ab anno mundi 5468 Augusti decreto erectum imperium desiit; et pariter Ponticorum regum decem.
Tiberius Caesar salutatus est.
Augustus Caium Agrippam adoptavit.
Iuliam filiam suam adulterii notatam e Romae urbis conspectu sustulit Augustus.
Tiberius Caesar Vindelicos et confines Thraciae populos sub iugum misit.
Romanas colonias Patras et Berytum deduxit.
Tiberius Caesar Germanis devictis Imperator appellatus.
Tiberius debellatis Pannoniis triumphum egit.
Eundem honorem de Rhaetis, Armenis, Vindelicis et Pannoniis parta victoria consequutus est.

Αὔγουστος παρέσχε ναυμαχίαν καὶ μονομαχίαν.
Γερμανοὺς κατεστρέψατο Λόλλιος Μάρκος νεωτερίσαντας.
B Ἀγρίππας Βόσφορον ἐχειρώσατο.
Αὔγουστος μέγας ἀρχιερεὺς ἐψηφίσθη.

## Τὰ ὑπόλοιπα τοῦ Ἡρώδου.

Ὑρκανὸν ἐκ Παρθικῆς ἐπανελθόντα γηραιὸν φόβῳ τῆς εὐγενείας Ἡρώδης ἀνεῖλεν, ὁμοίως δὲ καὶ Ἀριστόβουλον υἱὸν αὐτοῦ ἀρχιερέα.

Ὁ αὐτὸς καὶ Μαριάμνην ἰδίαν γαμετὴν θυγατέρα Ὑρκανοῦ, σὺν δύο παισὶν αὐτοῦ ἐξ αὐτῆς ἀνδρωθεῖσιν ἤδη, φονεύει, καὶ τὴν Μαριάμνης μητέρα, οἰκείαν δὲ πενθερὰν ὁ μιαιφόνος.

Κατὰ τὴν Ἰουδαίαν μέγας ἐγένετο σεισμός.

C Ἡρώδης πολλὰ καὶ μεγάλα ἔκτισεν ἐν Ἱερουσαλήμ.

Ἡρώδης τὴν πάλαι Σαμάρειαν ἔρημον οὖσαν ἐκ θεμελίων ἤγειρε, Σεβαστὴν εἰς τιμὴν τοῦ Καίσαρος ὀνομάσας.

Ὁ αὐτὸς τὸ Πάνιον εἰδωλεῖον κατεσκεύασεν ἐν Παναϊάδι τῷ Πανί.

Λιμὸς μέγας κατὰ τὴν Ἰουδαίαν καὶ ὅλην Συρίαν ἐγένετο.

Ἡρώδης τὸν Ἱεροσολύμων ναὸν διπλοῦν ἀνῳκοδόμησεν.

2. In margine B ‚ευλθʹ. In G ‚ευλʹ. 3. *Βόσπορον* Scaliger p. 76. *Bosphorum* Eusebius p. 366. 5. ‚ευλαʹ margo G, quod om. B. 6. ὑρκανὸν B. Ὑρκανῶν G. 7. δὲ add. B. 10. δύο] δυσὶ m. 11. μαριάμμης B. 16. πάνιον AB. Πάνειον G. παναϊάδι B. Παναΐδι G. *Paneade* Eusebius p. 366.

Augustus navale certamen et gladiatorium munus dedit.
Lollius Marcus Germanos res novas molitos debellavit.
Agrippa Bosphorum invasit.
Augustus pontifex maximus renunciatus est.

## Herodis reliquae res gestae.

Hyrcanum senio inclinatum e Parthica regione postliminio redeuntem sanguinis eius nobilitatem veritus Herodes occidit ac pariter Aristobulum eius filium pontificem.

Mariamnem Hyrcani filiam coniugem propriam cum liberis duobus adolescentiam praetergressis et Mariamnes germanam matrem sibi socrum idem parricida sustulit e vivis.

Iudaea magno terrae motu concussa.

Plurimas et praeclaras Hierosolymis aedes Herodes exstruxit.

Antiquam Samariam incolis desertam, in Augusti honorem Sebastes nomine imposito, Augustus a fundamentis erectam reparavit.

Idem Pani Panium fanum apud Paneadem consecravit.

Fames immensa per Iudaeam et Syriam grassata est.

Herodes Hierosolymiticum templum instauravit et geminum effecit.

Ἡρώδης τὸν πάλαι Στράτωνος πύργον Καισάρειαν εἰς τιμὴν τοῦ Καίσαρος ἐπικτίσας ὠνόμασεν.

Ὁ αὐτὸς Ἀνθηδόνα ἐπέκτισεν Ἀγριππῖναν μετονομάσας, ἔτι τε Παρσανάβαν εἰς τιμὴν Ἀντιπάτρου τοῦ πατρὸς αὐτοῦ Ἀντι- D πατρίδα ὠνόμασε, καὶ ἄλλην εἰς οἰκεῖον ἐκάλεσεν ὄνομα πόλιν ἐγείρας Ἡρώδιον. ὁ αὐτὸς τὴν ἐν τῇ Γαλιλαίᾳ Γαβὰλ καὶ κατὰ πάσας πόλεις Συρίας καὶ Παλαιστίνης ἐπέκτισεν.

Ὁ αὐτὸς πρὸς ταῖς πολλαῖς μιαιφονίαις τὸν ἄνδρα Σαλώμης οἰκείας ἀδελφῆς ἀνεῖλε καὶ πάλιν ἕτερον αὐτῆς ἄνδρα δεύτερον ἔδωκεν.

Ὁ αὐτὸς τοὺς Ἰουδαίων νομομαθεῖς καὶ τῶν πατρίων ζηλωτὰς ἀπέκτεινεν.

Ὁ αὐτὸς τὰς ἀναγράπτους Ἰουδαίων γενεαλογίας ἐνέπρησεν, ἀμάρτυρον ὡς ἑαυτῷ κἀκείνοις πραγματευόμενος τὴν εὐγένειαν.

Δέον γινώσκειν ὅτι τὸ πρῶτον ἔτος Αὐγούστου Καίσαρος P. ‚ευνη´ ἔτος ἐστὶ τοῦ κόσμου, τὸ δὲ τέλος τοῦ ‚ευϟθ´ ἔτους τοῦ κόσμου πλήρωμα τοῦ μα´ ἔτους τοῦ αὐτοῦ Αὐγούστου ἐστὶ καὶ ἀρχὴ τοῦ μβ´ ἔτους, τοῦ δὲ Ἡρώδου ἐστὶν ἔτος λβ´.

Τῷ ‚εφ´ ἔτει τοῦ κόσμου, τοῦ δὲ Αὐγούστου Καίσαρος μβ´, Ἡρώδου δὲ λβ´, μηνὶ καθ᾽ Ἑβραίους ζ´ ἤτοι Σεπτεμβρίῳ κζ´, Ζα-

4. τε] δὲ G. παρσανάβαν B. Παρασανάβαν G. „Ioseph. Καφαρσαβᾶν. Chr. Alex. Περσαβίνην." m. Omisit Eusebius p. 366. αὐτοῦ] ἑαυτοῦ G. 6. Γαβὰλ] Γαμὰλ G. κατὰ πάσας B. κατασπάσας G. 9. αὐτῆς] αὐτῇ m. 11. νομομαθεῖς] ὀνομασθεὶς G. 14. ἀμαρτύρως ἑαυτῷ G. 16. τοῦ κόσμου] τοῦ om. B. 18 et 20. Ἡρώδους G. 20. ζ´ m. ζ´ ι´ vulgo. Τοῦτο τὸ ἔτος τὸ πρῶτον τῆς τοῦ Σωτῆρος ὑπάρχει γεννήσεως, τῆς μὲν ια´. περιόδου τῶν φλβ´. ἐτῶν ρπα´. ἔτος ὄν, τῆς ζ´. (ϛ´ Goarus) κη´. ἐτηρίδος τοῦ ἡλίου, ἔτος ιβ´. σελήνης θ´. μὴν Σεπτέμβριος, ἡμέρα τοῦ μηνὸς κζ´. τῆς ἑβδομάδος ε´ margo A.

Veterem Stratonis turrim aedificiis auctam de Caesaris nomine Caesaream Herodes appellavit.

Idem Anthedonem absolvit vocavitque Agrippinam; Capharsabam quoque in Antipatri memoriam Antipatridem nuncupavit; aliamque urbem proprio sibi nomine dixit Herodium; Gamalam insuper Galilaeae aliasque aedes per Syriae et Palaestinae civitates cunctas perfecit.

Perpetratis pristinis caedibus eam addidit, qua sororis Salomes virum necaret et secundum ei coniugem induceret.

Idem Iudaeorum spectatissimos et patriarum legum observantes neci tradidit.

Idem Iudaicarum familiarum latercula litteris consignata nullo sibi caeterisque relicto nobilitatis indice combussit.

Sciendum annum Augusti Caesaris primum esse mundi 5459, anni vero a mundi conditu 5499, finem primi et quadragesimi ab Augusto numerati terminum esse et 42 principium; Herodis autem annum 32 in mundi 5500 et in Augusti Caesaris 42 incurrere. Herodis anno 32, mense iuxta He-

χαρίας θυμιῶν εἰς τὸ ἁγίασμα κατὰ τὴν τάξιν τῆς ἐφημερίας
αὐτοῦ, ὥς φησιν ὁ θεῖος εὐαγγελιστὴς Λουκᾶς, εἶδεν ἄγγελον
τὴν τοῦ μεγάλου Ἰωάννου τοῦ προδρόμου καὶ βαπτιστοῦ σύλλη-
B ψιν εὐαγγελιζόμενον αὐτῷ, καὶ φοβηθεὶς καὶ διστάσας ἔμεινεν
ἄλαλος ἕως τοῦ τοκετοῦ αὐτοῦ κατὰ τὴν ἐπιτίμησιν.

Σημειωτέον δὲ ἐν τῷ κατὰ Λουκᾶν εὐαγγελίῳ πῶς φησιν ὁ
V. 251 ἄγγελος περὶ τῆς τοῦ προδρόμου συλλήψεως πρὸς τὴν ἁγίαν παρ-
θένον, καὶ ἰδοὺ Ἐλισάβετ ἡ συγγενής σου, τῆς μὲν ἐκ τοῦ Δα-
βίδ, τῆς δὲ ἐκ τοῦ Λευὶ καταγομένης, περὶ οὗ ἑξῆς παρεθέμεθα.

Τῷ αὐτῷ ,εφʹ ἔτει ἀπὸ κτίσεως κόσμου πληρουμένῳ, τῷ κηʹ
τοῦ Φαμενὼθ, μηνὸς Μαρτίου κδʹ, καὶ ἀρχομένῳ τῷ Φαμενὼθ
C κθʹ ἤτοι Μαρτίου κεʹ, ἕκτος μὴν ἀπὸ τοῦ εὐαγγελισμοῦ Ζαχαρίου
καὶ τῆς τοῦ προδρόμου συλλήψεως, ἀπεστάλη ὁ ἀρχάγγελος Γα-
βριὴλ πρὸς τὴν ἁγίαν καὶ ὑπερένδοξον παρθένον τὰ τῆς παγκο-
σμίου σωτηρίας καὶ αἰωνίου ζωῆς εὐαγγέλια κομίζων. ἔτος τῆς
μὲν ιαʹ περιόδου τῶν φλβʹ ἐτῶν ρπαʹ ἀρχόμενον, μὴν παρ᾽
Ἑβραίοις Νισὰν πρωτόκτιστος αʹ ἄγων ἡμέραν, ἥτις κατὰ μὲν
Ῥωμαίους τῇ κεʹ τοῦ Μαρτίου [μηνὸς] συμπίπτει ἀεὶ μηνὸς, κα-
τὰ δὲ Αἰγυπτίους τῇ κθʹ τοῦ Φαμενὼθ, πρὸ ηʹ καλανδῶν Ἀπριλ-
λίων, τοῦ δὲ δʹ κατ᾽ Αἰγυπτίους Χοιὰκ μηνὸς ἤτοι κδʹ τοῦ Δε-

10. Ἔτος ἦν ἡλίου ιγʹ. σελήνης ιʹ. ἡμέρα τῆς ἑβδομάδος τοῦ ἁγίου εὐαγγελισμοῦ βʹ. μηνὸς Μαρτίου κεʹ. τῆς δὲ σωτηρίου γεννήσεως μηνὶ Δεκεμβρίῳ κεʹ. ἡμέρα τῆς ἑβδομάδος εʹ. (δʹ m.) margo A. 11. ἀρχομένῳ τῷ B. ἀρχομένου (ἀρχομένη m.) τοῦ G. 15. τῆς om. G. 17. νισσᾶν A. νησσὰν B. Νισσὰν G. αʹ ἄγων ἡμέραν] πρῶτος ἄγων ἡμέραν G. 18. μηνὸς delet m. ἀεὶ] Conf. p. 326 a. 20. Χοιὰκ] Vulgo Χυὰκ. Ante ἤτοι lacunam indicat G.

braeos 7, hoc est Septembris die 27, Zacharias ex vicis propriae ordine thus ad sanctum incensurus, Luca sacro evangelista teste, angelum magni Ioannis praecursoris et baptistae conceptum annunciantem vidit; ex quo metu dubioque correptus, ad ortus usque diem loquendi expers in poenam remansit.

Observandum in Lucae evangelio de praecursoris conceptu inter verba cum sacra virgine ab angelo habita recenseri haec. Et ecce Elizabeth cognata tua: ut ex iis, qua ex David, qua ex Levi originem duxisse colligatur, de quibus sequentia declarabunt.

Eodem ab orbis conditu anno 5500 obeunte, mensis Phamenoth die 28, mensis Martii 24, iamque mensis Phamenoth die 29 succedente, id est Martii 25, qui mensis a nuncio ad Zachariam lato et Ioannis conceptu sextus est, ad sanctam et super omnes gloriosam virginem salutis universorum et aeternae vitae revelaturus auspicia Gabriel archangelus missus fuit. Annus quidem 11 periodi annorum 532 exoriebatur 181, quo Nisan mensis iuxta Hebraeos primus creatus dierum dux praeibat, qui in Martii mensis diem 25 Romanis familiarem semper incurrit, et in Aegyptiaci Phamenoth diem 29 octavo Kalend. Apriles. A quo die posthac mensis Choeac apud

κεμβρίου μηνὸς, πρὸ θ' καλανδῶν Ἰανουαρίων, εἰς συμπλήρωσιν τῆς λα' ἡμέρας τοῦ Χασελεῦ, θ' μηνὸς κατὰ τοὺς Ἑβραίους D καὶ Χριστιανοὺς, ἡμέραι σοε', καθ' ἣν τὸ κατὰ σάρκα ἐκ τῆς ἁγίας καὶ φύσει καὶ ἀληθείᾳ κυρίως θεοτόκου καὶ ἀειπαρθένου Μαρίας. τῇ ἐπιούσῃ κε' ἐγεννήθη ὁ κύριος ἡμῶν καὶ θεὸς Ἰησοῦς ὁ Χριστὸς, ὁ μονογενὴς τοῦ θεοῦ υἱὸς, ἐν Βηθλεὲμ πόλει τῆς Ἰουδαίας, κατὰ τὸ μγ' ἔτος τῆς Αὐγούστου Ῥωμαίων Καίσαρος βασιλείας, ἐν ὑπατείᾳ Σουλπικίου Καμερίνου καὶ Γαΐου Ποππαίου, ὡς ἐν ἀκριβέσι καὶ παλαιοῖς ἀντιγράφοις φέρεται. ταῦτα οὐκ ἀφ' ἑαυτῶν συντετάχαμεν, ἀλλ' ἐκ τῶν παραδόσεων τοῦ μακαρίου ἀποστόλου καὶ ἀρχιεπισκόπου Ῥώμης Ἱππολύτου καὶ ἱερομάρτυρος, Ἀννιανοῦ τε τοῦ ὁσιωτάτου μοναχοῦ τοῦ συντάξαντος κύκλον ια' πασχάλια φλβ' ἐτῶν ἅμα σχολίοις ἀκριβέσι, καὶ Μαξίμου τοῦ ἁγιωτάτου μοναχοῦ καὶ φιλοσόφου μάρτυρος καὶ ὁμολογητοῦ καὶ μεγάλου διδασκάλου τῆς ἐκκλησίας. P. 316

Ἐξῆλθε δόγμα παρὰ Καίσαρος Αὐγούστου ἀπογράφεσθαι τὴν οἰκουμένην, ὡς ἡ τῶν θείων εὐαγγελίων ἱερὰ βίβλος φησὶν, ἡνίκα καὶ Ἰωσὴφ σὺν τῇ παρθένῳ τὴν Βηθλεὲμ πόλιν Δαβὶδ καταλαβὼν, διὰ τὸ εἶναι αὐτοὺς ἐξ οἴκου καὶ πατριᾶς Δαβὶδ,

1. ἰαννουαρίων AB. 3. καθ' ἣν] ἐπληρώθησαν καθ' ἃς m. τὸ om. G. 4. καὶ φύσει] καὶ om. G. 5. Μαρίας] σύλληψις ἀπετελέσθη add. m. 7. ἔτος τῆς] ἔτος τοῦ G. 8. Vulgo ὑπατίᾳ. Legebatur Γουλπικίου καὶ Μαρίνου καὶ Γαΐου Πομπηΐου. Correxit m. 9. Ποππαίου] Ποππαίου Σαβίνου m. 11. καὶ om. B. 13. Vulgo πασχουάλια. πασχουάλιον m. πασχάλιον editio Veneta. Conf. ad p. 389, 15. | 14. μάρτυρος] μεγάλου G. 17. βίβλος] Lucae II, 1.

Aegyptios 4, (die 28), mensis nimirum Decembris die 24, nono Kalendas Ianuarias, ad mensis Chasleu penes Hebraeos et Christianos noni, et ad eius diei unius supra tricesimum complementum, diebus 275 elapsis, quibus secundum carnem ex sancta naturaliter vere et proprie dei genitrice et semper virgine Maria conceptus perfectus est; die 25 sequente dominus noster et deus Iesus Christus unigenitus dei filius in Bethleem civitate Iudaeae, imperii Augusti Rom. Caesaris anno 43, Sulpicio Camerino et C. Poppaeo Sabino coss., natus est; ut ex sincerioribus et antiquioribus exemplaribus habetur. Ex propria nusquam Minerva, sed ex B. apostoli, archiepiscopi et in agro Romano martyris Hippolyti et Aniani religiosissimi monachi, qui cyclum paschalem 11 annorum 532 scholiis illustratum studiosissime digessit, et Maximi sanctissimi monachi et praeclari philosophi, confessoris et praecipui ecclesiae doctoris traditis quasi per manus monumentis ista collegimus.

Exiit edictum a Caesare Augusto, ut describeretur universus orbis, ait sacratissimus divinorum evangeliorum textus, quo tempore Ioseph Bethleem David civitatem, virgine comite profectus, quod essent ex domo et

ἀπεγράφη. τότε τῶν ἡμερῶν τῆς ἀποῤῥήτου συλλήψεως πληρωθεισῶν τῇ θεομήτορι ἔτεκεν ὑπερφυῶς τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον καὶ ἐσπαργάνωσε καὶ ἀνέκλινεν αὐτὸν ἐν τῇ παρατυχούσῃ κατὰ τὸ θεοδόχον σπήλαιον φάτνῃ, διὰ τὸ μὴ ἔχειν τόπον
B ἐν τῷ καταλύματι. ταύτης τῆς κατὰ τὴν Ἰουδαίαν ἀπογραφῆς ὑπὸ τῆς συγκλήτου βουλῆς Κυρίνιος ἐπιμελητὴς ἐξεπέμφθη κατὰ τόδε τὸ κοσμικὸν ἔτος, οὐσιῶν καὶ οἰκητόρων ἀναγραφὰς ποιούμενος. αὕτη γάρ, φησὶν ὁ θεῖος Λουκᾶς, ἡ ἀπογραφὴ πρώτη ἐγένετο ἡγεμονεύοντος Συρίας Κυρινίου.

## ΚΟΣΜΟΥ ΕΤΗ ͵εφ΄.

### Τῆς θείας ἐνανθρωπήσεως ἔτος α΄.

Πληρωθέντος τοῦ ͵εφ΄ καὶ ἀρξαμένου τοῦ ͵εφα΄ ὁ ποιμὴν ὁ καλὸς ποιμένας πρώτους δι' ἀγγέλων εἰς θέαν καὶ ἀκοὴν προσεκαλέσατο τῶν ἀποῤῥήτων. ὁ αὐτὸς δι' ἀστέρος ὁδηγοῦ μάγους
C εἰς δορυφορίαν καὶ προσκύνησιν ἐπεσπάσατο. τῇ ὀγδόῃ ἡμέρᾳ περιέτεμον τὸν κύριον καὶ τῇ τεσσαρακοστῇ ἀνήγαγον αὐτὸν εἰς Ἱεροσόλυμα κατὰ τὸν νόμον Μωϋσέως. ἡνίκα καὶ Συμεὼν κα-
V. 252 ραστὰς ἐνηγκαλίσατο τὸν πλαστουργόν. Ἄννα προφῆτις θυγάτηρ Φανουὴλ συμπαρῆν ἀνθομολογουμένη τῷ δι' ἡμᾶς νηπιάσαντι. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εφα΄.

4. φάτνῃ m. ἐν φάτνῃ G. 5. ἀπογραφῆς B. ἐπιγραφῆς G. 8. φησὶν] ἔφη G. 13. καὶ ποιμένας G. 15. δαροφορίαν B. 18. προφήτης B. 19. τοῦ Φανουὴλ G.

familia David, recensitus est. Completis interim arcanae conceptionis in deiparente diebus filium suum primogenitum praeter naturae ordinem in lucem editum fasciis involvit, et in obvio specus divini illius hospitii praesepi, loci per totum diversorium alterius defectu, reclinavit. Descriptionis huius senatus consulto decretae onus Cyrinio impositum praesente a mundi conditu anno (5500) et possessiones incolasque omnes recensuit; hoc enim ita divinus Lucas enunciavit; haec descriptio prima facta est sub praeside Syriae Cyrinio.

## ANNI MUNDI 5500.

### Divinae Incarnat. an. primus.

Anno a mundi conditu 5500 completo, iamque 5501 ineunte, pastorum primos arcanorum suorum spectatores et auditores angelorum ministerio bonus ipse pastor Christus advocavit. Idem ipse, stella duce, magos ad satellitium et adorationem allexit. Die posthac octavo dominum circumcisum ex Mosaicae legis praescripto 40 Hierusalem deportatum ulnis adstans et obvius Simeon rerum omnium opificem complexus est. Anna prophetissa Phanuel filia sociam se adiungens, deo propter nos puerascenti mutuum testimonium reddidit. Erat porro mundi annus 5501.

Σέξτος Πυθαγορικὸς φιλόσοφος ἤκμαζεν.

Ἰούδας τις Γαλιλαῖος κατὰ Ῥωμαίων ἀποστατεῖν Ἰουδαίους D προέτρεπε διὰ τὴν ἀπογραφήν, ὁ ἐκ Γαμαλᾶς, περὶ οὗ καὶ Γαμαλιὴλ ἐν ταῖς πράξεσι τῶν ἀποστόλων εἶπεν.

Ἡρώδης τέθνηκεν ο' ζήσας ἔτη, ἐξ ὧν ἐβασίλευσεν Ἰουδαίων λζ' ἔτη παρανόμως. ἐπὶ αὐτοῦ γὰρ ἡ πρόρρησις τοῦ πατριάρχου Ἰακὼβ ἐπληρώθη λέγουσα, οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ὃς ἀπόκειται, ἤτοι ὁ Χριστός. ἕως αὐτοῦ ἡ ἐξ Ἰούδα ἀρχὴ διά τε βασιλέων καὶ ἀρχιερέων παρεστάθη, ὧν οἱ μὲν βασιλεῖς ὁμολογουμένως ἐξ Ἰούδα κατήγοντο, οἱ δὲ ἀρχιερεῖς καὶ αὐτοὶ κατὰ τὸ μητρῷον ἐξ Ἰούδα. ἐπείπερ Ἀαρὼν τὴν θυγατέρα τοῦ Ἀμι- P. 317 ναδὰβ ἄρχοντος υἱῶν Ἰούδα ἔγημεν ἐν Αἰγύπτῳ, καθ' ὃ καὶ συγγενεῖς ὑπῆρχον οἱ ἐξ Ἰούδα καὶ Λευί. διὸ καὶ ὁ ἄγγελος τῇ θεοτόκῳ ἔφη, καὶ ἰδοὺ Ἐλισάβετ ἡ συγγενής σου. οὗτος πρῶτος ἀλλόφυλος ἦρξεν Ἰουδαίων Ἄραψ Ἰδουμαῖος ὤν.

Ὁ αὐτὸς πρῶτον ἀλλόφυλον ἀρχιερέα κατέστησε τὸν Ἀνάνηλον, ὡς Ἰώσηππος.

Ὁ αὐτὸς πρῶτος τὴν ἱερατικὴν στολὴν ὑπὸ τὴν Ῥωμαίων σφραγῖδα ἔθετο.

1. *Σποράδην* praefixit G. *φιλόσοφος Πυθαγορικὸς* G. 3. *Γαμαλιὴλ*] *γαμαὴλ* B. 4. *ἐν ταῖς*] *αὐταῖς* G. *πράξεσι*] Act. V, 34. 5. *ο'*] *ὁ* ABG. *ἔτη* A. *ἔτη ο'* G. 7. *ἐπληρώθη*] *ἐπεπλήρωτο* G. *λέγουσα*] Genes. XLIX, 10. 8. *ἔλθῃ*] *ἔλθοι* G. 12. *ἀμιναδὰμ* A. 14. *ὁ* om. B. 15. *ἔφη*] Apud Lucam I, 36. *Ἐλισάβετ*] *ἡ Ἐλισάβετ* G. 19. *ὑπὸ τὴν*] *ὑπὸ τῶν* G. *Ῥωμαίων* m. Vulgo *Ιουδαίων*.

## Miscellanea.

Sextus philosophus Pythagoricus florebat.

Iudas quidam Galilaeus Gamala oriundus Iudaeis, descriptione a Romanis facta, rebellionis auctor fuit, de qua Gamaliel in apostolorum actibus disserit.

Herodes impletis septuaginta annis, e quibus septem et triginta cum iniuria regnum tenuit, moritur. Eius tempore enunciatum patriarchae Iacob vaticinium probatur, quo dicitur: „non deficiet princeps ex Iuda, neque de femoribus eius dux, donec veniat, qui repositus est, Christus videlicet." Ad eum usque Iudaeorum principatus per reges et pontifices medios propagatus est; quorum reges ex Iuda oriri fatentur cuncti; pontifices vero materni sanguinis traduce ex eodem Iuda enasci dignoscebantur. Aminadab enim filiorum Iudae principis filiam Aaron sibi sumpsit in Aegypto, ex quo Iudaei et Levitae redditi consanguinei. Qua de causa dei genitrici dixit angelus: „et ecce Elisabeth cognata tua." Herodes primus alieni sanguinis propago, Idumaeus nimirum Arabs, Iudaeorum regnum invasit.

Idem, Iosepho teste, primum pontificem alienigenam renunciavit Ananelum.

Ipse idem pontificalem ornatum Romano anulo signatum seposuit.

**Τὰ ὑπόλοιπα Ἡρώδου τοῦ ἀλλοφύλου.**

B **ΚΟΣΜΟΥ ΕΤΗ ͵εφα΄.**

Ἡρώδης ὁ μιαιφονώτατος πρὸς ταῖς πολλαῖς τῶν συγγενῶν φονοκτονίαις κατὰ τὴν Βηθλεὲμ ἀναιρεῖ νήπια, τὴν τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παρὰ τῶν μάγων πυθόμενος γέννησιν.

Ἡρώδης θεηλάτως πληγεὶς καὶ τρίτον υἱὸν ἐπιβουλεύοντα νομίσας γνήσιον ἀνεῖλεν. ὁ αὐτὸς ὕδρωπι συσχεθεὶς σκώληκας ἀπὸ τοῦ στόματος ἐξέβρασε καὶ οὕτως δεινῶς ὀδυρόμενος τέθνηκεν. ὁ αὐτὸς ο΄ ἔτη ἔζησε καὶ λζ΄ ἔτη ἐβασίλευσε τῶν Ἰουδαίων.

C **ΚΟΣΜΟΥ ΕΤΗ ͵εφε΄.**

**Τῆς θείας σαρκώσεως ἔτη ε΄.**

Τελευτήσαντος Ἡρώδου κατὰ Ματθαῖον τὸν θεσπέσιον, ἰδοὺ ἄγγελος κυρίου κατ᾽ ὄναρ φαίνεται τῷ Ἰωσὴφ ἐν Αἰγύπτῳ λέγων, ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ πορεύου εἰς γῆν Ἰσραήλ. ἦν δ᾽ ἄρα ε΄ ἔτος τῆς τοῦ σωτῆρος ἡμῶν ἡλικίας κατὰ σάρκα.

Ἰουδαίων δεύτερος ἀλλόφυλος ἐβασίλευσεν Ἀρχέλαος υἱὸς Ἡρώδου ἔτη θ΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εφς΄.

D Αὔγουστος Ἀρχέλαον μὲν υἱὸν Ἡρώδου Ἰουδαίων ἐθνάρχην

2. ΚΟΣΜΟΥ] τοῦ κόσμου AB. 7. θεηλάτης G. 9. οὕτως B. οὕτω G. 13. Ματθαῖον] Cap. 2. 14. κυρίου om. G.

**Herodis alienigenae reliqua gesta.**

**ANNI MUNDI 5501.**

Herodes sicariorum sceleratissimus audita magorum relatu domini et dei et salvatoris nostri Iesu Christi nativitate, aliis consanguineorum caedibus cumulum additurus, Bethleemiticos infantes mactat.

Herodes plaga caelitus immissa percussus filium e suis tertium insidiari ratus occidit. Hydropis labe male affecto vermes ore ebulliebant; quare inter querelas et eiulatus miseram animam effudit. Vixit annis septuaginta, Iudaeis imperavit septem et triginta.

**ANNI MUNDI 5505.**

**Divinae Incarnationis an. 5.**

Herode mortuo, scribit divinus evangelista Matthaeus, „ecce angelus domini per somnum apparuit Ioseph dicens: „exsurgens accipe puerum et eius matrem et vade in terram Israël." Erat tunc aetatis secundum carnem salvatoris quintus.

Iudaeorum rex 2 alienigena Archelaus, Herodis filius, annis 9; erat vero mundi annus 5506.

Archelaum quidem Herodis filium Iudaicae gentis rectorem Augustus

κατέστησε, τοὺς δὲ ἄλλους ἀδελφοὺς αὐτοῦ τέσσαρας ὄντας, Ἡρώδην ὁμώνυμον τῷ πατρὶ καὶ Ἀντίπατρον τῷ πάππῳ Λυσανίαν τε καὶ Φίλιππον, τετράρχας ἀνέδειξεν.

Ἰστέον ὅτι διάφορα εὐαγγέλια γέγραπται, ἐξ ὧν τέσσαρα V. 253 μόνα κέκριται τοῖς μακαρίοις ἀποστόλοις ἐκκλησιάζεσθαι, καὶ ἄλλοις παιδικὰ τοῦ σωτῆρος ἡμῶν συγγέγραπται, ἐν οἷς αἱ μέχρι δωδεκαετοῦς χρόνου τῆς κατὰ σάρκα ἡλικίας αὐτοῦ τούτων αἰώνων ποιητοῦ ἐμπεριφέρονται θαυματουργίαι· τὰς γὰρ ὅλας ὑπ' αὐτοῦ τελεσθείσας δυνάμεις ἀδύνατον ἦν γραφῆναι, διὰ τὸ μηδὲ τὸν κόσμον ὅλον δύνασθαι χωρεῖν καὶ αἰσθητῶς καὶ νοητῶς τὰ P. 318 γραφόμενα βιβλία κατὰ τὴν θεολόγου μαρτυρίαν. Λουκᾶς δὲ ὁ σοφώτατος ἐν μέρει ταῦτα σημαίνων οὕτω φησί· τὸ δὲ παιδίον ηὔξανε καὶ ἐκραταιοῦτο πνεύματι, πληρούμενον σοφίας, καὶ χάρις θεοῦ ἦν ἐπ' αὐτῷ, καὶ ἐπορεύοντο οἱ γονεῖς αὐτοῦ κατ' ἔτος εἰς Ἱερουσαλὴμ τῇ ἑορτῇ τοῦ πάσχα καὶ ὅτε ἐγένετο ἐτῶν ιβ', ἀναβαινόντων αὐτῶν εἰς Ἱεροσόλυμα, κατὰ τὸ ἔθος τῆς ἑορτῆς, καὶ τελειωσάντων τὰς ἡμέρας, ἐν τῷ ὑποστρέφειν αὐτούς, ἐπέμεινεν Ἰησοῦς ὁ παῖς ἐν Ἱερουσαλήμ. καὶ οὐκ ἔγνω Ἰωσὴφ καὶ ἡ μήτηρ αὐτοῦ. νομίσαντες δὲ αὐτὸν ἐν τῇ συνοδίᾳ εἶναι ἦλθον ἡμέρας ὁδόν, καὶ ἀνεζήτουν αὐτὸν ἐν τοῖς συγγενέσι καὶ B ἐν τοῖς γνωστοῖς, καὶ μὴ εὑρόντες αὐτὸν ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ ζητοῦντες αὐτόν. καὶ ἐγένετο μεθ' ἡμέρας τρεῖς εὗρον

2. Ἡρώδη G. 6. συγγέγραπται] γέγραπται G. μέχρι δώδεκα ἔτους χρόνου τῆς B. μέχρι τοῦ ιβ' ἔτους χρόνου τῆς A. μέχρι τοῦ ιβ' ἔτους τῆς G. 11. Λουκᾶς] Cap. 2. 14. ἐπ'] ἐν G. 20. ἀνεζήτων A. 22. ηὗρον A.

instituit; fratres autem eius quatuor, Herodem nimirum eiusdem cum patre nominis et cum avo Antipatrum Lysaniamque et Philippum, quadrumviros declaravit.

Sciendum conscripta fuisse diversa evangelia, e quibus quatuor duntaxat B. apostolis probata, quae publice in ecclesia legerentur. A nonnullis salvatoris infantia scriptis exarata, quibus patrata ad annum aetatis secundum carnem 12 salvatoris saeculorum opificis miracula memorantur. Edita namque cuncta virtutum eius opera humanarum virium non erat conscribere, quod neque mundus universus, teste theologo, pro sensus aut intellectus captu digesta de mirandis eius volumina continere possit. Ea vero Lucas ex parte delibans solerter dixit; „puer crescebat et confortabatur spiritu, plenus sapientia et gratia dei erat in illo." Eius porro parentes per annos singulos die paschatis festo Hierosolymam se conferebant. Cum vero annorum esset 12, adscendentibus illis Hierosolyma secundum diei festi consuetudinem, consummatis diebus, ut redirent, remansit puer Iesus in Hierusalem. Et non cognovit Ioseph vel mater eius. Eum vero in comitatu esse rati, diei unius itinere processerunt; et inter cognatos et notos requisito et non invento, in Hierusalem quaesituri reversi sunt. Diebus itaque tri-

*αὐτὸν ἐν τῷ ἱερῷ καθεζόμενον ἐν μέσῳ τῶν διδασκάλων καὶ ἀκούοντα αὐτῶν καὶ ἐπερωτῶντα αὐτούς. ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες αὐτοῦ ἐπὶ τῇ συνέσει καὶ ταῖς ἀποκρίσεσιν αὐτοῦ.*

## *ΚΟΣΜΟΥ ΕΤΗ ,εφιγ'.*

### *Τῆς θείας σαρκώσεως ἔτη ιγ'.*

### *Τὰ ὑπόλοιπα τῶν Ῥωμαίων Καίσαρος Σεβαστοῦ Ὀκταουίου, τοῦ καὶ Αὐγούστου.*

C *Ἐπὶ Καίσαρος Αὐγούστου φιλόσοφοι ἤκμαζον ἐπίσημοι οὗτοι, Βιργίλιος, Σαλούστιος, Λίβιος, Ὁρτένσιος, Τερέντιος, Ὁράτιος, Ἀθηνόδωρος Ταρσεὺς καὶ Σιτίων Ἀλεξανδρεύς.*

*Ἀθηναῖοι στασιάζειν ἀρξάμενοι κολασθέντες ἐπαύσαντο.*

*Αὔγουστος κρατήσας μετὰ Γάϊον Ἰούλιον Καίσαρα τῆς Ῥωμαίων ἀρχῆς τὰ πάντα ἔτη νϛ', μονοκράτωρ δὲ ἔτη μγ', ὡς δὲ ἕτεροι μη', τελευτᾷ τὸν βίον ἐν Ῥώμῃ, καθ' ὃν χρόνον ἔκλειψις ἡλιακὴ γέγονε, λιμός τε κατέσχε τὴν Ῥωμαίων ἰσχυρὰ, ὡς πολλῶν δηναρίων τὸν μόδιον τοῦ σίτου πραθῆναι.*

D *Ὁ αὐτὸς τοὺς οἰκήτορας Ῥώμης κατὰ πρόσωπον ἀριθμήσας εὗρεν οἰκοῦντας αὐτὴν ἀνδρῶν μυριάδας ιγ' καὶ ,αλζ'.*

*Τιβέριον δὲ τὸν αὐτοῦ πρόγονον υἱοθετησάμενος, περιφανῆ*

2\. *αὐτῶν*] *αὐτοὺς* G. 6. *καὶ Καίσαρος* m. 9. *βιργήλιος* B. 10. *Σιτίων*] *Σωτίων* Scaliger p. 76. ex Hieronymo. *Sition* etiam Eusebius p. 368. 14. *τοῦ βίου* G. 15. *ἡλιακὴ* B. *ἡλίου* G. 17. *τοὺς* om. B.

bus elapsis in templo medio doctorum consessu sedentem, illos audientem et interrogantem repererunt. Omnes porro qui eum audiebant, eius sapientia responsisque cognitis stupebant.

## ANNI MUNDI 5513.

### Divinae Incarnationis an. 13.

### Reliqua Romanorum et Caesaris Octavii Augusti gesta.

Augusto Caesare imperante Virgilius, Salustius, Livius, Hortensius, Terentius, Horatius, Athenodorus Tarsensis et Sition Alexandrinus philosophi clarebant.

Athenienses res novas moliti et castigati quieverunt.

Augustus post C. Iulium Caesarem imperium adeptus, annis in universum 56 solus annis 43, vel ut aliis placet 48 regnavit. Diem extremum Romae obit, quo tempore solis eclipsis contigit, famesque adeo valida Romanum imperium obtinuit, ut aere plurimo frumenti modius distraheretur.

Romae civibus viritim recensitis myriades hominum 13 et 1037 idem numeravit.

Tiberium privignum adoptatum imperii successorem illustrem et Roma-

τῆς ὅλης ἀρχῆς διάδοχον, καὶ Ῥωμαίων τρίτον ἀνέδειξεν αὐτοκράτορα, ὃς καὶ ἐβασίλευσεν ἔτη κβ'.

### Τὰ ὑπόλοιπα τοῦ δευτέρου ἀλλοφύλου Ἀρχελάου υἱοῦ Ἡρώδου.

Οὗτος μετὰ θ' τῆς ἀρχῆς ἔτη εἰς Βίενναν πόλιν Γαλατίας ὑπὸ Ῥωμαίων ἐξορίζεται.

Ἰουδαίων γ' ἀλλόφυλος Ἡρώδης, υἱὸς Ἡρώδου, ἀδελφὸς Ἀρ- P. 319
χελάου, ἔτη κδ'.

Οὗτος Ἰωάννην τὸν βαπτιστὴν ἀνεῖλε τῷ ἔτει τῆς αὐτοῦ ἀρ- V. 254
χῆς, ἐφ' οὗ καὶ ὁ κύριος ἡμῶν ἑκουσίως δι' ἡμᾶς τὸ σωτήριον πάθος ὑπέστη.

### ΚΟΣΜΟΥ ΕΤΗ ͵εφιε'.

### Τῆς θείας σαρκώσεως ἔτη ιε'.

Ῥωμαίων γ' μόναρχος Τιβέριος ἔτη κβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εφιε'.

Τῆς μικρᾶς Ἀσίας σεισμῷ ιγ' πόλεις κατεπτώθησαν, Ἔφεσος, B
Μαγνησία, Σάρδεις, Μοστηνή, Αἰγαί, Ἱεροκαισάρεια, Φιλαδέλφεια, Τμῶλος, Τῆμνος, Μύρινα, Κύμη, Ἀπολλωνία Δία, Ὑρκανία.

5. ἔτη τῆς ἀρχῆς G. Βίενναν] βίενναν AB. Βίαναν G. *Viennam* Eusebius p. 368. Γαλατίας] Vulgo Γαλιλαίας. Correxi ex Eusebio, ubi est *Galatarum*. Γαλλίας m. Similiter peccatum p. 331 a. 8. τοῦ δὲ κόσμου ͵εφιε' addit m. 13. ἔτη] ἔτος B. 14. μονάρχης G. 17. σάρδις AB. Vulgo Μοστίνη. *Mosthene* Eusebius p. 369. Αἰγαί] Vulgo Αἶγαι. Φιλαδελφία G. 18. Τῆμνος] τῖμος A. τίμος B. *Temnus* Eusebius. Vulgo Μυρῖνα. μυρίνα B. κυμὴ B.

norum Imperatorem tertium renunciavit, qui deinde annis viginti duobus rempublicam administravit.

### Reliqua Archelai filii Herodis regis alienigenae gesta.

Hic rerum summa annos novem potitus Viennam Galliae a Romanis in exsilium mittitur.

Iudaeorum rex 3 alienigena Herodes, Herodis alterius filius, Archelai frater, annis 24, mundi vero 5515.

Hic Ioannem baptistam occidit ipso regni accepti anno redeunte. Eo regnante spontaneam pro nobis passionem dominus subiit.

### ANNI MUNDI 5515.

### DIVINAE INCARNATIONIS AN. 15.

Romanorum monarcha 3 Tiberius tenuit imperium annis 22, mundi vero 5515.

Urbes minoris Asiae tredecim terrae motu corruunt: Ephesus, Magnesia, Sardes, Mostine, Aegae, Hierocaesaria, Philadelphia, Tmolus, Tymus, Myrina, Cumae, Apollonia Dia, Hyrcania.

## ΚΟΣΜΟΥ ΕΤΗ ͵εφκ'.

### Τῆς θείας σαρκώσεως ἔτη κ'.

Τὴν μὲν κατὰ σάρκα γέννησιν τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ δύο μόνοι τῶν εὐαγγελιστῶν ἱστόρησαν, Ματθαῖος τὸ βασιλικὸν ἐκ τοῦ Δαβὶδ κατὰ Σολομῶνα καὶ Λουκᾶς τὸ ἱερατικὸν ἐκ τοῦ αὐτοῦ Δαβὶδ, κατὰ Νάθαν υἱὸν αὐτοῦ. C τὴν δὲ ἄχρονον γέννησιν ἐκ τοῦ πατρὸς Ἰωάννης μόνος ὁ υἱὸς τῆς βροντῆς ἐθεολόγησε. τὸν μέντοι περὶ τοῦ βαπτίσματος λόγον οἱ τέσσαρες ὁμοφρόνως συνέγραψαν, εἰκότως. ἀλλ' οἱ μὲν τρεῖς ἀπροσδιορίστως, Λουκᾶς δὲ ὁ θεσπέσιος καὶ τὸν χρόνον ἠκρίβωσεν εἰπὼν οὕτως· ἐν ἔτει ιε' τῆς ἡγεμονίας Τιβερίου Καίσαρος, ἡγεμονεύοντος Ποντίου Πιλάτου τῆς Ἰουδαίας καὶ τετραρχοῦντος τῆς Γαλιλαίας Ἡρώδου, Φιλίππου δὲ τοῦ ἀδελφοῦ αὐτοῦ τετραρχοῦντος τῆς Ἰτουραίας καὶ Τραχωνίτιδος χώρας, καὶ Λυσανίου τῆς Ἀβιληνῆς, ἐπὶ ἀρχιερέως Ἄννα καὶ Καϊάφα, ἐγένετο D ῥῆμα θεοῦ ἐπὶ Ἰωάννην τὸν τοῦ Ζαχαρίου υἱὸν ἐν τῇ ἐρήμῳ. καὶ ἦλθεν εἰς πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν. ἄξιον μὲν οὖν θαυμάσαι τὴν θείαν τοῦ σοφωτάτου εὐαγγελιστοῦ συντομίαν, πῶς ἐν ὀλίγαις λέξεσι τὰ διὰ πολλῶν τοῖς πολλοῖς ἱστορούμενα διδάσκει τὸν χρόνον τοῦ κρατοῦντος, ἐπεὶ καὶ πᾶσα χρονικὴ ψῆφος ἢ ἐκ τῶν πάλαι γενεαρχῶν ἢ ἐκ τῶν ἔπειτα βασιλέων ἐπισήμων λαμβάνεται,

2. ἔτη] ἔτος AB. 5. κατὰ Σολομῶνα — Δαβὶδ om. B. 7. ὁ om. G. 9. ὁμοφώνως m. 10. δὲ om. G. 11. οὕτως] Cap. 3. 15. ἀβιλινῆς AB. 19. πῶς] ὡς G.

## ANNI MUNDI 5520.

### Divinae Incarnationis an. 20.

Domini et dei et salvatoris nostri Iesu Christi secundum carnem ortum evangelistae soli duo, Matthaeus quidem regio genere ex David per Salomonem, Lucas vero sacerdotali ex David per Nathan filium eius traducto natum fecerunt; quae vero aeterna et supra temporis mensuram ex patre nativitas a solo Ioanne tonitrui filio divino stilo conscripta est. Ac baptismi quidem historiam quatuor omnes exposuerunt et commode; verum ex illis tres, sine temporis nota vel characterе, divinus autem Lucas etiam tempus diligenter annotavit, hoc pacto dicens: „anno decimo quinto imperii Tiberii Caesaris, procurante Pontio Pilato Iudaeos, tetrarcha Galilaeae Herode, Philippo eius fratre tetrarcha Itureae et Trachonitidis regionis, Lysania vero Abylinae tetrarcha, sub pontificibus Anna et Caipha; factum est verbum domini super Ioannem Zachariae filium in deserto. Et venit in omnem regionem circa Iordanem praedicans baptismum poenitentiae in remissionem peccatorum." Eruditissimi evangelistae contracto sermone res a plerisque fusius expositas, principum videlicet singulorum tempus enarrantis miranda brevitas; ratio quippe temporum omnis aut ex antiquis familiarum auctoribus aut ex clarissimis deinceps regibus petitur.

τὸν ἡγεμόνα τῆς Ἰουδαίας Πιλᾶτον, Ἡρώδην καὶ τοὺς ἀδελφοὺς αὐτοῦ, μετὰ τῆς ἑκάστου τοπικῆς ἀρχῆς, τοὺς ἀρχιερατεύοντας, Ἄνναν καὶ Καϊάφαν. ἐπειδὴ δὲ πάντων ἔσχατον ἦν καὶ πρῶτον εἰπεῖν κατὰ ποῖον ἔτος τῆς δεσποτικῆς ἡλικίας ἦν, τὸ ιε' ἔτος Τι- P. 320
βερίου φράσας, πρότερον τὸν βαπτιστὴν καὶ τὸ εἶδος τοῦ βαπτίσματος, ὅσον ὑπόβαθρον τοῦ κατὰ Χριστὸν βαπτίσματος, ὥσπερ τινὰ στέφανον εἰσάγει, τὸν αὐτὸν χρόνον προσθεὶς καὶ τὴν κατὰ Νάθαν ἀπὸ Δαβὶδ γενεαλογίαν ἄλλῃ τάξει χρώμενος ἥ φησι.

## Τὰ ὑπόλοιπα τοῦ μονάρχου Καίσαρος Τιβερίου.

## ΚΟΣΜΟΥ ΕΤΗ ,εφκ'.

Τιβέριος Δροῦσον τῆς ἀρχῆς κοινωνὸν προσλαβόμενος μετὰ B
μικρὸν ὡς φαρμακὸν ἀνεῖλε.

Τὸ Πομπηίου θέατρον ἐπρήσθη.

*Ἐμπρησμὸς μέγας τὸ παλάτιον Ῥώμης καὶ τὴν οἰκίαν τῶν παρθένων καὶ ἄλλα πλεῖστα ἐνέπρησε.*

*Κόμοδος τοὺς ἐν γερουσίᾳ τιμίους ἀνελὼν, ἐν οἷς καὶ Ἰουλιανὸν νομοθέτην, καὶ Ἀντωνῖνον ἴδιον ἀδελφιδοῦν, ὑπὸ Ναρκίσσου τινὸς ἱπποδαμαστοῦ βασιλέως διαφθείρεται ἐν τοῖς βασιλείοις.*

*Ῥωμαίων ἐπίσκοπος ιδʹ Βίκτωρ ἔτη ιβʹ.*

C *Ἀντιοχείας ἕβδομος ἐπίσκοπος Μάξιμος ἔτη ιγʹ.*

*Ἀντιοχείας ὄγδοος ἐπίσκοπος Σεραπίων ἔτη κεʹ.*

*Ἀλεξανδρείας δέκατος ἐπίσκοπος Ἀγριππῖνος ἔτη ιβʹ.*

*Ἀλεξανδρείας ἑνδέκατος ἐπίσκοπος Ἰούλιος ἔτη ιʹ.*

*Ἀλεξανδρείας δωδέκατος ἐπίσκοπος Δημήτριος ἔτη μγʹ.*

*Ἱεροσολύμων εἰκοστὸς ἕβδομος ἐπίσκοπος Μάξιμος ἔτη δʹ.*

D *Ἱεροσολύμων εἰκοστὸς ὄγδοος ἐπίσκοπος Ἀντωνῖνος ἔτη εʹ.*

6. *Τὸν*] Vulgo *Τὸ*. Dativos restituit Scaliger p. 82. 9. *πλεῖστος* G. 11. *Ἀντωνῖνον* m. *Ἀντώνιον* G. 15. *ιγʹ* add. P. 21. *Ἱεροσολύμων*] *ἀλεξανδρείας* A.

Idem de Germanis profligatis triumphum egit.

Irenaeus Lugduni Galliarum civitatis episcopus divinis verbis et operibus praefulgebat.

Serapidis templum Alexandriae conflagravit.

Structas in Capitolio bibliothecas et alias aedes vicinas fulmen e caelo consumpsit.

Rhodio solis Colosso detracto capite Commodus proprium imposuit.

Romae Palatium, Vestaliumque virginum aedes et aliae fabricae incensae.

Commodus, senatus viris praestantioribus, inter quos Iulianus iuris consultus et Antoninus germanus consobrinus, occisis, a Narcisso Imp. quodam equisone in regia ipsa trucidatur.

Romae episcopus 14 Victor annis 12.

Antiochiae episcopus 7 Maximus annis 13.

Antiochiae episcopus 8 Serapion annis 25.

Alexandriae episcopus 10 Agrippinus annis 12.

Alexandriae episcopus 11 Iulius annis 10.

Alexandriae episcopus 12 Demetrius annis 43.

Hierosolymorum episcopus 27 Maximus annis 4.

Hierosolymorum episcopus 28 Antoninus annis 5.

Ἱεροσολύμων εἰκοστὸς ἔνατος ἐπίσκοπος Οὐάλης ἔτη γʹ.
Ἱεροσολύμων τριακοστὸς ἐπίσκοπος Νάρκισσος ἔτη δʹ.

## ΚΟΣΜΟΥ ΕΤΗ ͵εχπεʹ.

### Τῆς θείας σαρκώσεως ἔτη ρπεʹ.

Ῥωμαίων ἑκκαιδέκατος ἐβασίλευσεν Ἑλούιος Περτίναξ μῆνας ἕξ.
Ῥωμαίων ἑπτακαιδέκατος ἐβασίλευσε Σευῆρος ἔτη ιηʹ.

Περτίναξ ὑπὸ τῆς συγκλήτου καὶ τοῦ δήμου βασιλεὺς Ῥω- [P. 355] μαίων ἀνηγορεύθη ἄριστος ἀνήρ, σφόδρα τῶν στρατιωτικῶν προνοῶν, ὑπὸ στρατιωτῶν ἀναιρεῖται. διὰ τοῦτο, βασιλεύσας κατὰ μὲν Εὐσέβιον μῆνας ἕξ, κατὰ δὲ ἄλλους οὐδὲ τρεῖς ὅλους· μεθʼ ὃν βασιλεύσας Ἰουλιανὸς ὁ κληθεὶς Δίδιος, διὰ τὸ χρήμασι τὴν βασιλείαν ὠνήσασθαι, καθαιρεῖται τῆς ἀρχῆς μετὰ δύο μῆνας ὑπὸ τῶν φίλων Σευήρου.

Σευῆρος δὲ βασιλεύσας εὐθὺς τοὺς Περτίνακος φονευτὰς ἀνεῖλε.

Κλήμης ὁ Στρωματεὺς πρεσβύτερος Ἀλεξανδρείας ἄριστος διδάσκαλος ἐν τῇ κατὰ Χριστὸν φιλοσοφίᾳ συντάττων διέλαμπε.

Πάνταινος φιλόσοφος ἀπὸ στωϊκῶν ἐν τῷ θείῳ λόγῳ διέ- [B] πραττεν.

Ἀφρικανὸς ἱστορικὸς Χριστιανὸς ἤκμαζε. [V. 283]

Λεωνίδης Ὠριγένους πατὴρ ἐμαρτύρησε διωγμοῦ γεγονότος ἐν Ἀλεξανδρείᾳ.

6. Vulgo Ἐλύϊος. 7. τοῦ δήμου — ἀνηγορεύθη accesserunt ex P. 11. ὁ Ἰουλιανὸς ὁ G. 18. πένταινος A. 21. λεονίδης G.

Hierosolymorum episcopus 29 Valens annis 3.
Hierosolymorum episcopus 30 Narcissus annis 4.

## ANNUS MUNDI 5685.

### Divinae Incarnationis an. 185.

Romanorum Imperator 16 Helvius Pertinax mensibus 6.
Romanorum Imperator 17 Severus annis 18.

Pertinax, vir praestantissimus et in militaribus rebus providus, a senatu populoque Rom. vix Imperator salutatus, a militibus conficitur; quae causa est ut, Eusebio menses sex eius imperio assignante, alii etiam integros tres negent. Eo sublato Iulianus, cognomento Didius, comparata sibi pecuniis tyrannide, vita simul et imperio post menses duos a Severi amicis exuitur.

Severus arrepto principatu Pertinacis parricidas statim e medio tulit.

Clemens Stromaton auctor, Alexandrinae ecclesiae presbyter, doctor eximius, Christianae philosophiae scriptis clarebat.

Pantaenus Stoicus philosophus divino verbo exponendo vacabat.

Africanus historicus Christianus florebat.

Leonides, Origenis pater, orta Alexandriae persecutione, martyrio vitam finivit.

*Μουσιανὸς ἐκκλησιαστικὸς συγγραφεὺς ἐγνωρίζετο.*

*Ὠριγένης ὁ ματαιόφρων ἐν Ἀλεξανδρείᾳ κενοδοξῶν Ἑλληνικοῖς δόγμασιν ἐνεωτέριζε. τοῦτον Εὐσέβιος ὁ Παμφίλου ὡς ὁμόφρων ἐκθειάζων σὺν αὐτῷ λογισθείη.*

*Νίγερα στρατηγὸν ἐπαναστάντα τοῖς πράγμασι καὶ τὸ Βυζάν-* C *τιον χειρωσάμενον κατά τε Νικαίας μητροπόλεως Βιθυνίας Περσικὴν δύναμιν ἀθροίσαντα, καὶ Οὐλίγισσον τὸν Περσῶν βασιλέα καὶ ἄλλους βαρβάρους ὁ Σευῆρος ἀναιρεῖ διὰ τὸν ἑαυτοῦ στρατηγόν. τότε Βυζάντιον ἀναλαμβάνει πολιορκίᾳ, διαφθείρας τοὺς Νίγερος συνδρόμους. Σευῆρος πρὸς Οὐλίγισσον καὶ Πέρσας πολεμήσας φυγάδα τοῦτον τρεψάμενος κατέστησε, τήν τε Νίσιβιν ἀνέλαβε, πάλαι προδοθεῖσαν Πέρσαις.*

*Ῥώμης ιδʹ ἐπίσκοπος Βίκτωρ ἔτη ιβʹ.*

*Ῥώμης ιεʹ Ζεφυρῖνος ἔτη ιθʹ, κατὰ δὲ Εὐσέβιον ἔτη δώδεκα.*

D *Ἀντιοχείας ἐπίσκοπος Σεραπίων ἔτη κεʹ.*

*Ἀλεξανδρείας ἐπίσκοπος Δημήτριος ἔτη μγʹ.*

*Ἱεροσολύμων τριακοστὸς ἐπίσκοπος Νάρκισσος ἔτη δʹ.*

*Ἱεροσολύμων τριακοστὸς πρῶτος ἐπίσκοπος Δολιχιανὸς ἔτη ιβʹ.*

3. δ] τοῦ G. 4. *λογισθείη*] *καταγνωσθείη* G. 6. *χειρωσάμενος* A. *κατά τε* add. P. 7. *Οὐρλόγεσσον* m. 8. *τῶν ἑαυτοῦ στρατηγῶν* G. 9. *τοὺς*] *τοῦ* G. 10. *Σεύηρος* Scaliger p. 83. Vulgo *Σευήρου*. 13. *ιβʹ* addidit m ex p. 354 b. 14. *ιεʹ* add. P. *σεʹ* A. om. G. *Σεφυρῖνος* G. *Zephyrinus* Eusebius p. 389. 16. *Δημήτριος — μγʹ* add. P. 18. *δολιχσανὸς* A.

Musianus ecclesiasticis scriptis agnoscebatur.

Origenes ineptiis excogitandis addictus, Graecanicarum opinionum vane cupidus, Alexandriae novis intendebat. Eusebius Pamphili in sententiis cum eo concors, et summis ubique illum elevans praeconiis eadem una censura feriatur.

Nigrum ducem res novas molitum, Byzantio potientem, et in Nicaeam Bithyniae praecipuam urbem Persarum copias commoventem, Vologesumque Persarum regem et alios barbaros, misso militiae praefecto, Severus debellavit; Byzantium Nigri sociis interemptis obsidione recepit, versisque in Vologesum et Persas armis ipsos in fugam vertit; Nisibimque Persis prius traditam Romano imperio restituit.

Romae episcopus 14 Victor annis 12.

Romae episcopus 15 Zephyrinus annis 19, secundum Eusebium vero 12.

Antiochiae episcopus 8 Serapion annis 25.

Alexandriae episcopus 12 Demetrius annis 43.

Hierosolymorum episcopus 30 Narcissus annis 4.

Hierosolymorum episcopus 31 Dolichianus annis 12.

## ΚΟΣΜΟΥ ΕΤΗ ͵εχϟϛʹ. P. 356

### Τῆς θείας σαρκώσεως ἔτη ρϟϛʹ.

### Τὰ ὑπόλοιπα Ῥωμαίων.

Ῥωμαίων ιζʹ βασιλέως Σευήρου ἔτη ιηʹ.

Σευῆρος Οὐλιγίσσου Περσῶν βασιλέως φυγόντος πρὸς τὴν Νίσιβιν καὶ ἄλλας πόλεις Πέρσαις προδοθείσας, Ῥωμαίοις δὲ πρότερον ἀνηκούσας, παρεστήσατο.

Σευῆρος Ἀδιαβηνοὺς καὶ Ἄραβας συμμαχήσαντας τῷ Νίγερι B καθυπέταξεν.

Ὁ αὐτὸς Κολχικὴν ἤτοι Λαζικὴν παρεστήσατο.

Σευῆρος εἰς Ῥώμην ἐλθὼν Ἀλβῖνον τυραννήσαντα κατὰ Λουγδόνων πόλιν ἀνεῖλε.

Σευῆρος εἰς Βρεττανίαν ἐλθὼν νόσῳ πολεμίᾳ τελευτᾷ ἤγουν ἐπιληψίᾳ.

Ῥωμαίων ιεʹ ἐπίσκοπος Ζεφυρῖνος ἔτη θʹ ἢ ιβʹ.

Ἀντιοχείας ἐπίσκοπος Σεραπίων ἔτη . . . . . C

Ἀλεξανδρείας δωδέκατος ἐπίσκοπος Δημήτριος ἔτη . . . . . V. 284

Ἱεροσολύμων τριακοστὸς πρῶτος ἐπίσκοπος Δολιχιανὸς ἔτη ιβʹ.

Ἱεροσολύμων τριακοστὸς δεύτερος ἐπίσκοπος Δῖος ἔτη ηʹ.

## ΚΟΣΜΟΥ ΕΤΗ ͵εψʹ.

1. ἔτος A. 2. Aberat ἔτη. 4. ἑπτακαιδέκατος βασιλεὺς Σευῆρος G. 11. ἀλβήνων A. 15. ζεφυρῖνος P. Ζεφουρῖνος G. 16. „Vide superius posita." m. 18. ιβʹ add. P. 20. Vulgo ΕΤΟΣ.

## ANNI MUNDI 5696.

### Divinae Incarnationis an. 196.

### Romanorum reliqua gesta.

Romanorum Imperator 17 Severus annis 18.

Severus Vologeso Persarum rege Nisibin fugere coacto, civitates plures Romanis subiectas prius ac deinde Persis relictas, recepit.

Severus Adiabenos et Arabes Nigri partes sequutos subiugavit.

Idem Colchicam, id est Lazicam, provinciam acquisivit.

Severus Romam reversus Albinum tyrannidem sibi comparare meditantem ad Lugdunum Galliae urbem occidit.

Severus in Britanniam profectus militari adverso morbo, id est epilepsi, conflictatus moritur.

Romanorum episcopus 15 Zephyrinus annis 19 aut 12.

Antiochiae episcopus Serapion annis . . .

Alexandriae episcopus 12 Demetrius annis . . . . . .

Hierosolymorum episcopus 31 Dolichianus annis . . . .

Hierosolymorum episcopus 32 Dius annis 8.

## ANNI MUNDI 5700.

## ΚΟΣΜΟΥ ΕΤΗ ,εψα'.

### Τῆς θείας σαρκώσεως ἔτη σα'.

Ῥωμαίων ὀκτωκαιδέκατος ἐβασίλευσεν Ἀντωνῖνος ὁ ἐπικληθεὶς
D Καράκαλλος, υἱὸς ὢν Σευήρου, ἔτη ζ', σὺν ἀδελφῷ Γέτᾳ,
ὃν καὶ ἀνεῖλε, φονικώτερος γεγονὼς Κομόδου καὶ πολλοὺς
ἀνελὼν ἀδίκως.

Οὗτος ἐλθὼν εἰς Ἀλεξάνδρειαν τὸ ταύτης ἐπίσημον σὺν πολλῷ πλήθει διέφθειρε, διὰ στάσιν δημοτικὴν, ἀκόρεστος ὢν αἱμάτων καὶ μηδέν ποτε πράξας ἀξιόλογον.

Ὁ δ' αὐτὸς Ἀρταβάνῃ τῷ Περσῶν βασιλεῖ πολεμεῖν δοκιμάσας ἀναιρεῖται δόλῳ πρὸς Καρίαις καὶ Ἐδέσσῃ. πόλεις δ' αὗται τῆς Ὀσροηνῆς.

Μακρῖνος δὲ τούτου παῖς συνὼν αὐτῷ διεδέξατο τὴν ἀρχὴν
ἔτος ἓν ἄρξας καὶ μῆνας ἕξ, ὥς τινες, χρηστὸς καὶ περὶ πάντα
P. 357 σπουδαῖος φανεὶς, μάλιστα δὲ τὰ στρατιωτικὰ, τό τε ὑπήκοον
φυλάξας ἀνεπηρέαστον. οὗ χάριν τινὲς τῶν τῆς ἑώας στρατιωτῶν ἐπιβουλεύσαντες αὐτῷ Ἀντωνῖνον Αὐρήλιον ἀνηγόρευσαν βασιλέα Ἐδεσσηνόν. τούτῳ πολεμῆσαι πειραθεὶς ὁ Μακρῖνος ἐλαττοῦται, καὶ φεύγων περὶ τὸ Βυζάντιον ὡς αἰχμάλωτος περιενεχθεὶς διεφθάρη.

Ῥωμαίων ὀκτωκαιδέκατος ἐβασίλευσε Μακρῖνος ἔτος ἓν, ὡς δὲ
B ἄλλοι λέγουσι, καὶ μῆνας ἕξ. ἐσφάγη δὲ ἐν Ἀρχελαΐδι.

1. Vulgo ΕΤΟΣ. ,εψγ' m. 2. Aberat ἔτη. σγ' m. 5. καὶ om. G. 12 et p. 357 d. Vulgo Ὀσροϊνῆς. Correxit m.

## ANNI MUNDI 5703.

### Divinae Incarnationis an. 203.

Romanorum Imperator 18 Antoninus, cognomento Caracalla, filius Severi, annis 7 cum fratre Geta, quem, pluresque alios, caedibus patrandis Commodum exsuperans per summum nefas occidit.

Hic Alexandriam profectus, nec laude dignum aliquid molitus, imo sanguinis semper avidus, in popularis seditionis ultionem civitatis ornatum omnem evertit.

Artabani Persarum regi bello indicto, ad Carias et Edessam Osrhoënorum urbes, dolo necatur.

Macrinus eius (filius) domesticus, profectionis comes, suscepit imperium, regnavitque anno uno et, ut quidam volunt, mensibus sex, vir plane humanus et circa cuncta, maxime militiam sollicitus, cuius solitis molestiis et vexationibus subditum quemque immunem servari sat agebat; ex quo orientalium copiarum moti milites ex insidiis Antoninum Aurelium Edessenum Imperatorem acclamaverunt. Hunc armis repellere adorsus Macrinus superatur; Byzantiumque fugiens, huc illuc agitatus, vita mulctatur.

Romanorum Imperator 18 Macrinus anno uno, et ut asserunt nonnulli mensibus sex adiunctis.

Macrinus in Archelaide interemptus est.

### ΚΟΣΜΟΥ ΕΤΗ ,εψι'.

Κιρκισίοις Ἡφαιστίοις ἐκάη τὸ ἀμφιθέατρον ἐν Ῥώμῃ.

Ῥωμαίων ιε' ἐπίσκοπος Ζεφυρῖνος ἔτη ιθ'.

Ἀντιοχείας η' ἐπίσκοπος Σεραπίων ἔτη . . . . .

Ἀντιοχείας ἔνατος ἐπίσκοπος Ἀσκληπιάδης ἔτη θ'.

Ἀλεξανδρείας δωδέκατος ἐπίσκοπος Δημήτριος ἔτη . . . . .

Ἱεροσολύμων λβ' ἐπίσκοπος Δῖος ἔτη . . . . . C

Ἱεροσολύμων λγ' ἐπίσκοπος Γερμανίων ἔτη δ'.

### ΚΟΣΜΟΥ ΕΤΗ ,εψι'.

Τῆς θείας σαρκώσεως ἔτη σι'.

Ῥωμαίων ιθ' ἐβασίλευσεν Ἀντωνῖνος Αὐρήλιος ἔτη δ'.

Ἀντωνῖνος Αὐρήλιος Ἐδεσηνὸς μετὰ Μακρῖνον ἐβασίλευσεν ἔτη δ', ἀνὴρ θηλυδρίας ὅλος, ἐπὶ τὸ γυναικεῖον ἦθος τετραμμένος κοσμούμενος καὶ ἐργαζόμενος τὰ γυναικῶν, φονικώτατος D σφόδρα· διὸ καὶ ὑπὸ στρατιωτῶν ἀκοντισθεὶς ἀνῃρέθη κακῶς V. 285 σὺν τῇ μητρί. μεθ' ὃν βασιλεύει Ἀλέξανδρος ὁ Μαμμαίας υἱὸς ἀδελφιδοῦς αὐτοῦ ἐν Ἀρκαῖς γῆς παράλου τεχθεὶς Φοινίκης, ὑπαγόμενος Οὐλπιανοῦ τοῦ νομοθέτου τῇ γνώμῃ, σφόδρα τῆς στρατιωτικῆς εὐταξίας ἀντεχομένου. διὸ καὶ ἀνῃρέθη τοῦ βασιλέως

7 et 8. λβ' et λγ' m. Vulgo δωδέκατος et τρισκαιδέκατος. 9 et 10. ,εψια' et σια' m. 12. Ἐδεσηνὸς om. G. 14. κοσμούμενος om. G. 16. Μαμμαίας ex Eusebio p. 390. Vulgo Μαμμέας. 17. ἀδελφιδὸς A. παράλου Scaliger p. 83. Vulgo παρ' ἄλλον. 19. ἀταξίας G.

### ANNI MUNDI 5710.

Circensibus ludis in Vulcani honorem celebratis amphitheatrum Romae conflagravit.

Romae episcopus 15 Zephyrinus annis 19.

Antiochiae episcopus 8 Serapion annis . . .

Antiochiae episcopus 9 Asclepiades annis 9.

Alexandriae episcopus 12 Demetrius annis . . .

Hierosolymorum episcopus 32 Dius annis . . . . .

Hierosolymorum episcopus 33 Germanion annis 4.

### ANNI MUNDI 5711.

DIVINAE INCARNATIONIS AN. 211.

Romanorum Imperator 19 Antoninus Aurelius annis 4.

Antoninus Aurelius Macrino successit et imperavit annis quatuor. Vir femineae indolis, femineis educatus institutis, feminarum ornatui et exercitiis intentus, caedibus ac sanguine delectabatur; eam ob rem telis a militibus cum matre confossus misere interiit; post quem Alexander, Mammaeae filius, eius consobrinus imperium colligit, qui Arcae maritimae Phoeniciae natus Ulpiani iuridici consiliis et suasu sollicitatus militarem insolentiam reprimere studebat; quem ideo sub ipsius Imperatoris conspectum milites

ὁρῶντος ὑπὸ στρατιωτῶν. Οὐράνιος δέ τις ἐν Ἐδέσῃ τῆς Ὀσροηνῆς αὐτοκράτωρ ἀναγορευθεὶς καὶ κατὰ Ἀλεξάνδρου τυραννήσας διαφθείρεται ὑπ' αὐτοῦ, ἡνίκα καὶ Πέρσας καταδραμόντας Καππαδοκίαν καὶ Νίσιβιν πολιορκοῦντας Ἀλέξανδρος ἐξώθησεν. ἀλλ'
P. 358 εἰς Ῥώμην ἐπανελθὼν ἀναιρεῖται σὺν τῇ μητρὶ Μαμμαίᾳ ὑπὸ στρατιωτικοῦ θορύβου. Μάξιμος δέ τις Μυσὸς τὸ γένος στρατηγὸς Κελτικῆς ὑπὸ τῶν στρατευμάτων βασιλεὺς Ῥωμαίων ἀνηγορεύθη, κρατήσας τῆς βασιλείας Ῥωμαίων ἔτη γ'.

Ῥωμαίων ιϛ' ἐπίσκοπος Κάλλιστος ἔτη η'.

Ἀντιοχείας ἔνατος ἐπίσκοπος Ἀσκληπιάδης ἔτη θ'.

Ἱεροσολύμων τριακοστὸς τέταρτος ἐπίσκοπος Σαρδιανὸς ἔτη ε'.

B

## ΚΟΣΜΟΥ ΕΤΗ ,εψιε'.

### Τῆς θείας σαρκώσεως ἔτη σιε'.

Ῥωμαίων κ' ἐβασίλευσεν Ἀλέξανδρος ὁ Μαμμαίας υἱὸς ἔτη ιγ'.

Ἱππόλυτος ἱερὸς φιλόσοφος ἐπίσκοπος Πόρτου τοῦ κατὰ τὴν Ῥώμην σφόδρα διαπρεπῶς ἤνθει ἐν τῇ κατὰ Χριστὸν φιλοσοφίᾳ, πλεῖστα ψυχωφελῆ συντάττων ὑπομνήματα. εἴς τε γὰρ τὴν ἑξαήμερον καὶ εἰς τὰ μετὰ τὴν ἑξαήμερον, εἰς πολλά τε τῶν προφητῶν, μάλιστα Ἰεζεκιὴλ καὶ Δανιὴλ τῶν μεγάλων, ἔτι μὴν εἰς
C τὰ ᾄσματα καὶ εἰς ἄλλας παντοίας παλαιὰς καὶ νέας γραφάς, ἐν οἷς καὶ εἰς τὴν ἐν Πάτμῳ τοῦ θεολόγου ἀποκάλυψιν πρὸς Μαρ-

5. ἀναιρεῖται P. ἀνελεῖται G. 13. ἔτη om. A. 14. ιγ' m. γ' G.

trucidavere. Uranius vero quidam Edessae Osrhoënorum Imperator salutatus, arrepta in Alexandrum tyrannide, ab eo neci traditur. Persas autem in Cappadociam excurrentes et Nisibin obsidentes Alexander in fugam vertit. Romam demum reversus, orto militari tumultu, cum matre Mammaea iugulatur. Porro Maximus quidam Mysia natus, Celticarum copiarum dux, Romanorum Imperator a militibus acclamatur et Romano imperio potitur annis tribus.

Romanorum episcopus 16 Callistus annis 8.

Antiochiae episcopus 9 Asclepiades annis 9.

Hierosolymorum episcopus 34 Sardianus annis 5.

## ANNI MUNDI 5715.

### Divinae Incarnationis an. 215.

Romanorum Imperator 20 Alexander Mammaeae filius annis 13.

Hippolytus sacer philosophus, Portus Romani episcopus, Christiana philosophia praestans, pluribus iuvandae hominum saluti conscriptis libris celebrabatur. Editis quippe in sex dierum opus et in ea quae priores sex dies illos consequuta sunt, et in praecipuorum prophetarum Ezechielis maxime et Danielis vaticinia, nec non in cantica et veteres passim novasque scripturas, commentariis, quibus Ioannis theologi in Patmo revelatio-

*κίωνα καὶ τὰς λοιπὰς αἱρέσεις, καὶ τὸν ἑξκαιδεκαετηρικὸν τοῦ πάσχα κανόνα ἐξέθετο περιγράψας εἰς τὸ πρῶτον ἔτος Ἀλεξάνδρου τοῦ Μαμμαίας τούτου, καὶ συντόμως φάναι θεοφράδης ποταμὸς τῇ ἐκκλησίᾳ ζώντων ναμάτων γέγονε, τὸν μαρτυρικὸν περιθέμενος στέφανον πρὸς τῷ τέλει. ἐκ τούτου λαβὼν ἀφορμὰς Ὠριγένης ὁ τάλας ὑπερεμνημάτισε πολλῶν τῶν γραφῶν, Ἀμβροσίου παρορμῶντος αὐτὸν εἰς τοῦτο καὶ χορηγοῦντος ἀναγκαίας τε χρείας ἀφθόνως καὶ ταχυγράφους ἑπτὰ παριστῶντος ἀμείβοντας ἀλλήλους ὑπαγορεύοντι καὶ καλλιγράφους τελείους, ἅμα* D *κόραις ἠσκημέναις γράφειν, ἄφατόν τε προθυμίαν αὐτῷ παρέχοντος εἰς τὸ συντάττειν. ἀλλ' εἰς βάραθρον Ἑλληνικῆς τερατολογίας παρολισθήσας ἀποκατάστασιν καὶ προΰπαρξιν ἐδογμάτισεν, ἕτερά τε ἀνόσια δόγματα· καὶ διὰ τοῦτο τοῦ χοροῦ τῶν ἁγίων ἐξώσθη.*

*Μαμμαία τοῦ αὐτοκράτορος Ἀλεξάνδρου μήτηρ θεοσεβὴς ἦν σφόδρα. αὕτη λέγεται ὁμιλῆσαι τῷ Ὠριγένει ἐν Ἀντιοχείᾳ διατρίβουσα, μεταπεμψαμένη αὐτὸν ἐκ τοῦ Φάρου. ἣ δ' αὐτὴ καὶ πᾶσι τοῖς ὀνομαστοῖς τηνικαῦτα Χριστιανῶν διδασκάλοις προσέκειτο διὰ τὴν εἰς Χριστὸν πίστιν.*

*Καὶ Ἀλέξανδρος ὁ Μαμμαίας υἱὸς μετὰ τὴν ἀναίρεσιν Οὐ-* P. 359 *ρανίου τοῦ τυράννου καὶ τὴν κατὰ Περσῶν εὐδοκίμησιν ἐπανελθὼν ἐν Ῥώμῃ ἀναιρεῖται σὺν μητρὶ Μαμμαίᾳ ἐν Μογοντιακῷ στρατιωτικῷ ἐπαναστάσει.*

1. Vulgo *ἑξκαιδέκατον ἐτηρικόν*. 3. *μαμαίας* A et similiter infra.

nem in Marcionem et reliquas consurgentes haereses editam, et annorum sedecim paschalem regulam ad annum primum Alexandri Mammaeae fixo termino exposuit; et, ut verbo concludam, vivis divinorum eloquiorum fluentis ecclesiam irrigans, tandem martyrii corona redimitus est. Ex eius scriptis occasione sumpta infelix Origenes libros sacrae scripturae quam plures, (hortatore et sumptus necessarios notariosque septem, aliis post alios operae succedentibus, et viros accuratioris characteris peritos una cum puellis eadem pingendi arte praestantibus ex throno dictanti largiter subministrante Ambrosio, et quae ad scribendum cierent animum plena manu praebente), suis lucubrationibus illustravit. Verum in imum usque Graecanicarum fabularum coenum prolapsus, mundi ex integro reparationem, animorum praeexistentiam et impias quasdam nugas temere effutivit; qua de causa ex sanctorum albo expunctus est.

Mammaea Alexandri principis mater summam in deum pietatem exercuisse et cum Origene ex Pharo Aegypti advocato, ipsa Antiochiae moram trahens collocuta fertur. Eadem, ex ea quam in Christum habuit fide, cunctis eius temporis religionis Christianae magistris benevolam se exhibuit.

Alexander Mammaeae filius Uranio tyranno caeso, rebus adversus Persas prospere gestis, Romam reversus, militari tumultu Moguntiae exorto, una cum matre Mammaea neci traditur.

V. 286 ΠΕΡΣΩΝ πρῶτος Ἀρταξέρξης ἔτη πεντεκαίδεκα.

Ῥώμης ιζʹ ἐπίσκοπος Οὐρβανὸς ἔτη ζʹ.

Ἀντιοχείας ἐπίσκοπος ιʹ Φίλητος ἢ Φίλιππος ἔτη ηʹ.

Ἀντιοχείας ἑνδέκατος ἐπίσκοπος Ζέβεννος ἔτη ϛʹ.

B Ἱεροσολύμων λεʹ ἐπίσκοπος πάλιν Νάρκισσος ἔτη ιʹ.

Ἐμμαοὺς ἡ ἐν Παλαιστίνῃ κώμη, περὶ ἧς φέρεται ἐν τοῖς ἱεροῖς εὐαγγελίοις, Νικόπολις ἐτιμήθη καλεῖσθαι ὑπὸ Ἀλεξάνδρου τοῦ αὐτοκράτορος, Ἀφρικανοῦ πρεσβευσαμένου τὰς ἱστορίας ἐν πενταβίβλῳ συγγραψαμένου.

Ἀφρικανὸς τὴν ἐννεάβιβλον τῶν Κεστῶν ἐπιγεγραμμένην πραγματείαν ἰατρικῶν καὶ φυσικῶν καὶ γεωργικῶν καὶ χυμευτικῶν περιέχουσαν δυνάμεις Ἀλεξάνδρῳ τούτῳ προσφωνεῖ.

Ἀφρικανὸς Αὔγαρόν φησιν ἱερὸν ἄνδρα τοῦ πρώην Αὐγάρου ὁμώνυμον βασιλεύειν Ἐδέσης κατὰ τούτους τοὺς χρόνους.

C Ἐβασίλευσαν Ἀσσύριοι ἀπὸ Νίνου καὶ Σεμιράμεως μέχρι Βελεοῦν τοῦ Δελκετάδου. εἰς τοῦτον γὰρ τοῦ Σεμιράμεως γένους λήξαντος, Βελιταρᾶν κηπουργὸς ἐβασίλευσε καὶ τὸ ἐκείνου γένος ἑξῆς μέχρι Σαρδαναπάλλου, καθὰ Βίωνι καὶ Ἀλεξάνδρῳ δοκεῖ τῷ Πολυΐστορι. Σαρδανάπαλλον δὲ ἀνεῖλεν Ἀρβάκης Μῆδος καὶ Βελεοῦς ὁ Βαβυλώνιος, καὶ μετήγαγεν εἰς Μήδους τὴν βασι-

3. φίλητος P. Φίλιτος G. Solum *Philippi* nomen habet Eusebius p. 389. 7. ἱεροῖς] ἁγίοις A. 10. ἐννάβιβλον A. 13. αὔγαρον A. Ἄβγαρον G. 16. Βελεοῦν] Βέλεσιν m. Βέλεσυν est p. 205 d. Δεκελτάδου m. γὰρ Am. χρόνον G. 18. ἑξῆς] ἐξ ἧς A. Vulgo Σαρδαναπάλου et infra Σαρδανάπαλον. 19. ἀρβάκης A. Σαρβάκης G. 20. Βελεοῦς] Βέλεσις m.

Persarum rex primus Artaxerxes annis 15.

Romae episcopus 17 Urbanus annis 7.

Antiochiae episcopus 10 Philetus, sive Philippus, annis 8.

Antiochiae episcopus 11 Zebennus annis 6.

Hierosolymorum episcopus 35 Narcissus secundo annis 10.

Emmaus Palaestinae vicus, de quo in evangeliis sermo, Africano, qui libris quinque universam historiam digessit, legatione fungente, Nicopoleos titulo Alexandri Imperatoris placito ad urbium honorem adscendit.

Africanus libros novem Cestorum tractatus inscriptos, medicorum, naturalium, agriculturae, metallorumque vim omnem exponentes Alexandro isti dedicavit.

Abgarum quendam, eiusdem cum priore Abgaro nominis, virum sanctitate praecellentem, Edessae hac aetate regnavisse, narrat Africanus.

A Nino et Semirami ad Belesim usque Delcetadi filium regnum tenuerunt Assyrii; in eo quippe deficiente Semiramis genere Belitaran quispiam hortulanus eiusque posteri, prout Bioni et Alexandro Polyhistori placitum, Assyriorum imperium moderati sunt. Sardanapalum vero Arbaces Medus et Belesis Babylonius occiderunt et ad Medos regni summam transtule-

λείαν. ἐβασίλευσαν οὖν οἱ Ἀσσύριοι ἔτη ͵ατς΄. οὕτω γὰρ λέγοντι Κτησίᾳ καὶ Διόδωρος ὁ Σικελιώτης συμφθέγγεται. τῶν δὲ Μήδων λ΄ ἔτη βασιλευσάντων, τὸν ὕστατον βασιλέα Μήδων Ἀστυάγην Κῦρος καθεῖλεν ὁ Πέρσης καὶ εἰς Πέρσας τὴν ἡγεμονίαν D
μετήγαγεν. ἐβασίλευσαν δὲ οἱ Πέρσαι ἔτη σκη΄ μέχρις Δαρείου τοῦ Ἀρσάκου, ὃν νικήσας ὁ Φιλίππου Ἀλέξανδρος Μακεδόσι τὴν Περσῶν βασιλείαν ἀπέδωκεν. ἐκράτησαν δὲ τῆς Περσικῆς ἀρχῆς Μακεδόνες ἔτη σϟγ΄. οὓς ἐκβαλὼν Ἀρσάκης ὁ Παρθυαῖος Πάρθοις τὴν βασιλείαν Περσῶν παρέδωκεν· ἔνθεν καὶ Ἀρσακίδαι οἱ βασιλεῖς Περσῶν ὀνομάζονται. ἐβασίλευσαν δὲ Παρθυαῖοι ἀπὸ Ἀρσάκου ἀρξάμενοι μέχρις Ἀρταβάνου ἔτη σο΄. ἐβασίλευσε δὲ Ῥωμαίων ὁ Μαμμαίας Ἀλέξανδρος, ἡνίκα Ἀρτάβανος ὁ Πάρθος Περσῶν ἐβασίλευσε. μετὰ δὲ Ἀρτάβανον τὸ γένος Χοσρόου P. 360
βασιλεύειν ἤρξατο. ἤρξατο δὲ οὕτως· Ἀρταξέρξης Πέρσης ἀφανής τε καὶ ἄδοξος ἀθροίσας ἄνδρας ἀτάκτους ἀνεῖλεν Ἀρτάβανον καὶ περιέθετο κίδαριν, καὶ αὖθις Πέρσαις ἐπανήγαγε τὴν βασιλείαν. ἦν δὲ μάγος καὶ ἐξ ἐκείνου οἱ μάγοι γεγόνασι παρὰ Πέρσαις ἐπίδοξοι. λέγουσι δὲ τὴν τοῦ Ἀρταξέρξου μητέρα ἀνδρὶ συνοικεῖν Παμβεκῷ τοὔνομα σκυτοτόμῳ μὲν τὴν τέχνην, ἀστρολόγῳ δὲ καὶ περὶ ταῦτα σκοτισμοὺς ἢ χλευασμοὺς ἐνησχημένῳ. στρατιώτην δὲ ὀνόματι Σάνανον διὰ Βαδουσαίων πορευόμενον χώρας

1. ͵ατς΄] ͵ατξ΄ m. 6. Ἀρσάκου] Ἀρσάμου m. 7. ἐπέδωκεν G. 8. Παρθυαῖοι] παθρνοι A. Πανθυαῖοι G. 13. Χοσρόου] Ἀρταξέρξου m. 20. ἐσκοτισμοὺς ἢ χλεασμοὺς A. 21. Καδουσαίων m.

runt. Penes Assyrios itaque potestas stetit annos 1306, ita namque Ctesiae affirmanti Diodorus Siculus suffragatur. Medis annos triginta imperio potitis Medorum regem postremum, translatis ad Persas sceptris, Cyrus Persa sustulit. Hinc Persae ad Darium Arsami filium, quo deleto Persarum imperium Alexander Philippi Macedonibus tradidit, annis 228 regnavere. Inde Macedones annos 293 Persas subditos obtinuere; quibus eiectis Arsaces Parthus, a quo Persarum reges Arsacidae nuncupati, regnum in posteros transmisit; et ab Arsace ad Artabanum provecti per annos 270 Parthi prorogaverunt imperium. Porro Artabano Partho Persis imperante, Alexander Mammaeae filius Romanas res administrabat. Post Artabanum Artaxerxis posteri ad solium evecti sunt; cuius regni primordia fuerunt huiusmodi. Artaxerxes Persa vir obscuro et humili sanguine natus, tumultuaria sicariorum manu collecta Artabanum occidit ac regiam cidarim capiti circumposuit; atque ita Persis restituit imperium. Magus erat iste, a quo magorum nomen apud Persas celebre. Caeterum Artaxerxis matrem Pambeco cuidam nomine coriario in astrologiae tenebrosis diverticulis aut tricis potius apprime versato coniugem primum fuisse narrant. Eius vir Pambecus militem quendam, Sananus militi nomen erat, Cadusaeorum

B ὑποδεχθῆναι εἰς τὸν οἶκον Παμβεκῷ, καὶ προγνῶναι δῆθεν διὰ τῆς ἀστρολογίας τὸν Παμβεκὸν ὅτι δὴ ἡ τοῦ Σανάνου γονὴ ἐπὶ μέγα εὐδαιμονίας ἀρθήσεται. μὴ ἔχων δὲ θυγατέρα ἢ ἀδελφὴν ἢ ἄλλο πρὸς γένος συναπτόμενον γύναιον, συγκατέκλεισε τὴν V. 287 ἰδίαν γαμετὴν τῷ Σανάνῳ, καὶ συλλαβοῦσα ἔτεκε τὸν Ἀρταξέρξην. ἐξ ἐκείνου τοίνυν τοῦ Ἀρταξέρξου, τοῦ καὶ Ἀρταξάρου, τὸ Χοσρόου κατάγεται γένος. ἐβασίλευσαν δὲ οὕτως·

Ἀρταξάρης, ὁ καὶ Ἀρταξέρξης, ἔτη ιε'. τῷ τετάρτῳ ἔτει τῆς βασιλείας Ἀλεξάνδρου τοῦ Μαμμαίας.
Σαπώρης ἔτη λα'.
C Ὁρμίσδας ἔτος ἕν.
Οὐραράνης ἔτη γ'.
Οὐράκης ἔτη ιζ'.
Οὐραράνης ἄλλος μῆνας δ'.
Ναρσῆς ἔτη η'.
Ὁρμίσδας ἔτη ς'.
Σαβώρης ἔτη ο'. τούτῳ δέδωκεν Ἰοβιανὸς τὴν Νίσιβιν.
Ἀρταξὴρ ἔτη δ'.
Σαβὼρ υἱὸς Ἀρταξὴρ ἔτη ε'.

4. ἄλλο m. ἄλλῳ G. 6. τὸ] τοῦ G. 9. μαμαίας A. 13. Οὐράκης] Praecedenti ὁμώνυμος esse dicitur apud Agathiam p. 260, 11. ed. Niebuhr. Οὐραράκης est infra p. 385 b. 14. Οὐραράνης ἄλλος μῆνας δ' correxi ex Agathia. οὐραράνης ἔτος α' ἄλλος δ' A. Οὐραράνης ἔτος ἕν. Ἄλλος Οὐραράνης δ' G. 17. Vulgo Ἰουβιανός. τὴν Νίσιβιν ex Agathia p. 262, 22. dedi. τὸν τζίβιος A. τὸν Τζίβιον G.

regione iter agentem et Pambeci hospitio exceptum astrologiae regulis felicem fore praenovit, et eius prolem ad summum prosperitatis culmen provehendam. Pambeco filia, soror, vel alia sanguine coniuncta mulier nulla erat, quam Sanano traderet; quare propriam uxorem cum eo thalamis includere non est veritus. Illa concepit Artaxerxem; et ex Artaxerxe, sive Artaxare, Chosrois deductum genus. Hoc autem ordine regnaverunt.

Artaxares, qui et Artaxerxes, anno 4 imperii Alexandri Mammaeae filii, regnavit annis 15.
Sapores annis 31.
Ormisdas anno uno.
Uraranes annis 3.
Uraces annis 17.
Uraranes anno uno.
Alter Uraranes annis 4.
Narses annis 6.
Ormisdas annis 6.
Sabores annis 70. Huic Iovianus Nisibin reliquit.
Artaxer annis 4.
Sabor filius Artaxer annis 5.

Οὐραράνης ἔτη ια΄. D
Οὐραράνης ἄλλος ἔτη κ΄.
Ἰσδιγέρδης ἔτη κα΄.
Περόζης ἔτη κδ΄.
Ἰσδιγέρδης ἔτη ιζ΄.
Καβάδης ια΄, καὶ ἐξεβλήθη.
Οὐαλλᾶς ἔτη δ΄.
Καβάδης πάλιν ἔτη λ΄.
Ζαμάσπης ἔτη δ΄.
Ὁρμίσδας ἔτη ιε΄.
Χοσρόης υἱὸς Καβάδου ἔτη μη΄.
Χοσρόης ὁ μέγας, ὁ ἐπὶ Ἡρακλείου ἀναιρεθεὶς ὑπὸ Σιρόου υἱοῦ αὐτοῦ, ἔτη λθ΄.
Σιρόης ὁ υἱὸς Χοσρόου μῆνας ὀκτώ. P. 361
Ἀδεσὴρ μῆνας ζ΄.
Ὁρμίσδας ὁ διωχθεὶς ὑπὸ τῶν Σαρακηνῶν.

1. „In decem sequentibus magna perturbatio, sed non sine ordine quodam. XIVus enim XIIIum praecedit, XVIus XVum, XVIIIus XVIIum, XXus XIXum ac denique XXIIus XXIum, quod patet e collatione huius loci cum Theophane, Agathia, Eutychio Batricida, Abulfaraio. Profecto laterculum hoc ab aliquo Persico exemplari desumptum est, ubi decem isti combinati per quinque lineas erant; descriptorem Graecum decepit scribendi mos orientalis a dextra ad sinistram. Unde huic catalogo auctoritas ac reverentia conciliatur ob Persicam originem, nedum contemtus ob confusum ordinem." Anonymus. 3 et 5. *Ἰσδιγέρδης* G. 7. *Οὐαλλᾶς*] *Βάλας* Agathias p. 267, 2. ubi ex codice *Οὐάλας* restituendum. 11. *καββάδου* A. 12. *ἐπὶ* m, quod in A scriba ponere voluit. *ὑπὸ* G. *σιρόου* A. *Σειρόου* G.

Uraranes annis 11.
Uraranes alter annis 20.
Isdegerdes annis 21.
Perozes annis 24.
Isdegerdes annis 17.
Cabades annis 11. Hic regno eiectus est.
Vallas annis 4.
Cabades iterum annis 30.
Zamaspes annis 4.
Ormisdas annis 15.
Chosroes Cabadis filius annis 48.
Chosroes Magnus, qui sub Heraclio a Siroe filio sublatus est, annis 39.
Siroes Chosrois filius mensibus 8.
Adeser mensibus 7.
Ormisdas, qui a Saracenis regno pulsus est.

## ΚΟΣΜΟΥ ΕΤΗ ,εψκη'.

### Τῆς θείας σαρκώσεως ἔτη σκη'.

Ῥωμαίων εἰκοστὸς πρῶτος ἐβασίλευσε Μαξιμῖνος ἔτη γ'.

Μαξιμῖνος κατὰ Χριστιανῶν διωγμὸν ἐκίνησεν.

B Οὗτος τύραννός τις καὶ ἀγριώτατος ἦν, ὡς καὶ τὴν ἰδίαν γαμετὴν ἀνελεῖν.

Οὗτος ἀνῃρέθη κακῶς ὑπὸ τῶν στρατευμάτων ἐν Ἀκυληΐᾳ.

Θεμιστοκλῆς φιλόσοφος ἤκμαζεν, ᾧ τὸν Πύθιον Ἕλληνες μαρτυρῆσαι μυθεύονται τόδε ἔπος ἀνειπόντα

Ἐσθλὸς ἀνὴρ μακάρεσσι τετιμένος ὀλβιοδαίμων.

Πλωτῖνος φιλόσοφος ὁ τὰς ἐννεάδας γράψας ἤκμαζε.

Περσῶν β' ἐβασίλευσε Σαπώρης ἔτη λα'.

Ῥώμης ἐπίσκοπος ιη' Ἀντέρως μῆνα ἕνα.

C Ῥώμης ἐπίσκοπος ἐννεακαιδέκατος Ποντιανὸς ἔτη γ'. τινὲς Ποντιανὸν πρὸ τοῦ Ἀντέρωτός φασιν ἐπισκοπῆσαι Ῥώμης.

V. 288 Ἀντιοχείας ἐπίσκοπος ἑνδέκατος Ζέβεννος ἔτη ϛ'.

Ἀλεξανδρείας ἐπίσκοπος τρισκαιδέκατος Ἡρακλᾶς ἔτη ις'.

Ἱεροσολύμων ἐπίσκοπος τὸ δεύτερον λε' Νάρκισσος ἔτη ι'.

Ἱεροσολύμων ἐπίσκοπος λϛ' Ἀλέξανδρος ὁ μάρτυς ἔτη ιε'.

8. τὸν Scaliger p. 84. Vulgo τὸ. Πύθειον G. 9. μαρτυρῆσαι Ἕλληνες G. ἔπος Scaliger. ἔθος G. 10. τετιμένος Scaliger. τετιμημένος G. 12. λα'] λδ' P. 20. λϛ' addidit m.

## ANNI MUNDI 5728.

### Divinae Incarnationis an. 228.

Romanorum Imperator 21 Maximinus annis 3.

Maximinus persecutionem in Christianos movit.

Hic adeo moribus agrestis, ut tyrannice imperarit et propriam coniugem occiderit.

Hic militum manibus misere periit Aquileiae.

Themistocles philosophus cum laude vivebat; cui Pythium oraculum edito hoc versu testimonium exhibuisse fabulantur:

Vir frugi et felix quem dii coluere beati.

Plotinus philosophus Enneadum auctor celebrabatur.

Persarum rex 2 Sapores annis 31.

Romae episcopus 18 Anteros mense uno.

Romae episcopus 19 Pontianus annis 3. Pontianum Anteri praecessorem nonnulli constituunt.

Antiochiae episcopus 11 Zebennus annis 6.

Alexandriae episcopus 13 Heraclas annis 10.

Hierosolymorum episcopus 35 Narcissus secundo annis 6.

Hierosolymorum episcopus 36 Alexander Martyr annis 15.

Ὠριγένης ὁ ματαιόφρων ἀπὸ Ἀλεξάνδρου εἰς Καισάρειαν Παλαιστίνης μετέστη.

ΚΟΣΜΟΥ ΕΤΗ ͵εψλα΄. D

Τῆς θείας σαρκώσεως ἔτη σλα΄.

Ῥωμαίων εἰκοστὸς δεύτερος ἐβασίλευσε Γορδιανὸς ἔτη ϛ΄.

Οὗτος ἐξ Ἰταλίας εἰς Πάρθους ἐλθὼν καὶ Σαπώρην τὸν Ἀρταξέρξου υἱὸν Περσῶν βασιλέα πολεμήσας ἐτρέψατο καὶ Νίσιβιν καὶ Κάρας ἀρθείσας ὑπὸ Περσῶν ἐπὶ Μαξιμίνου τοῦ Μυσοῦ Ῥωμαίοις ὑπέταξεν. ἀλλὰ πρὸς Κτησιφῶντα γενόμενος ἀναιρεῖται ὑπὸ τῶν οἰκείων στρατιωτῶν ὑπάρχου Φιλίππου γνώμῃ τοῦ P. 362
μετ' αὐτὸν βασιλεύσαντος ἔτη ε΄, κατὰ δὲ τοὺς πολλοὺς ἔτη ζ΄.

Ῥώμης ἐπίσκοπος εἰκοστὸς Φλαβιανὸς μάρτυς ἔτη ιγ΄.

Ἀντιοχείας ιβ΄ ἐπίσκοπος Βαβυλᾶς μάρτυς ἔτη ιγ΄.

Ἀλεξανδρείας ιγ΄ ἐπίσκοπος Ἡρακλᾶς ἔτη ιϛ΄.

Ἱεροσολύμων λϛ΄ ἐπίσκοπος Ἀλέξανδρος μάρτυς ἔτη ιε΄.

ΚΟΣΜΟΥ ΕΤΗ ͵εψλζ΄. B

Τῆς θείας σαρκώσεως ἔτη σλζ΄.

Ῥωμαίων εἰκοστὸς τρίτος ἐβασίλευσε Φίλιππος ἔτη ζ΄.

Πλωτῖνος φιλόσοφος τῆς Πλατωνικῆς διατριβῆς καθηγούμενος.

1. Ἀλεξάνδρου] Ἀλεξανδρείας Maius ad Eusebium p. 390. 12. Φαβιανὸς m. 15. λϛ΄ om. A. 19. Vulgo Πλουτῖνος.

Origenes vane sapiens Caesaream Palaestinae, vocante Alexandro, profectus est.

ANNI MUNDI 5731.

DIVINAE INCARNATIONIS AN. 231.

Romanorum Imperator 22 Gordianus annis 6.

Hic expeditione in Parthos ex Italia suscepta, Artaxerxis filium Saporem Persarum regem armis collatis in fugam vertit; Nisibin et Caras Maximino Myso imperante a Persis captas iterum Romanis subiecit; belloque tandem in Ctesiphontem verso, Philippi praefecti, qui postmodum annis 5, vel iuxta nonnullos 7, imperavit, consiliis, a propriis militibus occisus est.

Romae episcopus 20 Fabianus martyr annis 13.

Antiochiae episcopus 12 Babylas martyr annis 13.

Alexandriae episcopus 13 Heraclas annis 16.

Hierosolymorum episcopus 36 Alexander martyr annis 15.

ANNI MUNDI 5737.

DIVINAE INCARNATIONIS AN. 237.

Romanorum Imperator 23 Philippus annis 7.

Plotinus philosophus Platonicorum dogmatum antesignanus.

*Τούτου Πορφύριος ἠκροάσατο.*

*Θεόπομπος φιλόσοφος ἐν Χαιρωνείᾳ ἤκμαζε.*

*Νικάτωρ ὁ σοφιστὴς Ἀθήνησιν ἤκμαζε.*

*Φίλιππος τοσοῦτον προσετέθη τῇ πίστει Χριστοῦ, ὡς καὶ τὰ ἡμαρτημένα προθύμως ἐξαγορεῦσαι καὶ τῶν ἐπὶ τῆς ἐκκλησίας* C *εὐχῶν κοινωνῆσαι τῷ πλήθει τῇ νυκτὶ τῆς ἑορτῆς τοῦ πάσχα. ἔνθεν τε πλέον παρρησιασθῆναι τὸν θεῖον λόγον.*

*Τότε καὶ Ὠριγένης ὁ ἄθλιος ἑξηκοστὸν ἄγων ἔτος διαλέξεις ἐποιεῖτο τῷ πλήθει ταχυγράφοις ἐκλαμβανομένας. ἐπέστελλε δὲ καὶ Φιλίππῳ τῷ βασιλεῖ, καὶ Σευήρᾳ τῇ τούτου γυναικὶ βασιλίδι.*

*Τότε κατὰ τὴν Ἀραβίαν τινὲς ἐδογμάτιζον ἀσεβῶς συνδιαφθείρεσθαι τῇ ψυχῇ τὸ σῶμα κατὰ τὴν τελευτὴν καὶ ἐν τῇ ἀναστάσει πάλιν συναναβιώσασθαι· σύνοδός τε κατ᾽ αὐτῶν συνεκροτήθη μεγάλη.*

*Ἔτι τε ἡ λεγομένη αἵρεσις τῶν Ἑλκεσαϊτῶν συνέστη, ἥτις πολλά τινα τῶν ἐν ταῖς θείαις γραφαῖς ἀθετεῖ· τέλεον δὲ τῶν* D *θείων ἀποστόλων ῥητοῖς τισι χρωμένη παροδικῶς ἐκ παλαιᾶς καὶ νέας. τὸ δὲ ἀρνεῖσθαι ἀδιάφορόν φησιν, ὅτι ὁ μὲν νοήσας τῷ στόματι ἐν ἀνάγκαις ἀρνήσεται, τῇ δὲ καρδίᾳ οὐχί. φέρουσιν* V. 289 *αὐτοὶ καὶ βίβλον ἐξ οὐρανοῦ μυθεύοντες πεπτωκέναι, ἧς ὁ ἀκηκοὼς ἄφεσιν λήψεται πταισμάτων ἄλλην παρ᾽ ἣν ὁ κύριος ἡμῶν ἐχαρίσατο ἡμῖν, τερατευόμενοι.*

10. *Σευήρᾳ τῇ* Scaliger p. 84. *Σευηρίτῃ* G. 16. *δὲ καὶ τῶν* G. 18. *νοήσας*] *ἀρνήσας* G. 19. *φέρουσι καὶ αὐτοὶ βίβλον* G.

Porphyrius eius auditor.

Theopompus philosophus Chaeroneae florebat.

Nicator sophista Athenis celebris.

Philippus adeo Christianae fidei addictus, ut sponte delicta publice confiteretur et paschalis festi pervigilio ecclesiasticarum precum cum fideli plebe consortium sumeret; ex quo divinum verbum magis ac magis divulgatum.

Eo tempore infelix Origenes annum agens sexagesimum dissertationes a notariis exceptas coram populo habebat; ad ipsum vero Imperatorem, Philippum et ad Severam eius coniugem litteras dedit.

Eadem tempestate animam mortis hora una simul cum corpore interire et in resurrectione utrumque reparari per Arabiam quidam impie censuerunt; qua de causa celebris in eos synodus coacta est.

Emersit etiam Elcesaitarum haeresis dicta, loca divinarum scripturarum quam plurima respuens, aliis licet nonnullis divinorum apostolorum sententiis ex vetere novoque testamento per transennam et strictim utatur. Fidei negationem nullo discrimine reputat; voce quippe duntaxat, non ita corde negat, qui necessitate ad id impellitur. Librum insuper, cuius audita lectione, aliam quam Christus peccatorum indulgentiam largitus fuerit, remissionem dari, de caelo decidisse fabulose comminiscuntur.

Φίλιππος οὖν κρατήσας Ῥωμαίων ἔτη ζ' μετὰ τὴν εἰς Σαπώρην τὸν Περσῶν βασιλέα σπονδὴν ἀναζεύγνυσιν ἐν Ῥώμῃ. καὶ πολεμεῖ πρὸς Δέκιον αὐτοκράτορα παρὰ τῶν στρατευμάτων ἀναρρηθέντα, ἡνίκα καὶ ἀναιρεῖται.

Δέκιος δὲ τὴν ἀρχὴν διαδεξάμενος δύο ἔτη, διὰ τὸ πρὸς P. 363 Φίλιππον ἔχθος, πικρὸν ἤγειρε κατὰ Χριστιανῶν διωγμὸν, ἐν ᾧ Φαβιανὸς ἐπὶ τῆς Ῥώμης ὁ ταύτης ἐπίσκοπος τὸν μαρτυρικὸν ἀνεδήσατο στέφανον, Βαβυλᾶς τε κατὰ τὴν Ἀντιόχειαν ἐπισκοπῶν, καὶ Ἱεροσολύμων Ἀλέξανδρος ἱερὸς τὸ δεύτερον παραστὰς ἡγεμονικοῖς βήμασιν ἐπὶ τῆς εἱρκτῆς τελευτᾷ.

Τότε καὶ Κυπριανὸς διαπρέπων ἔργοις καὶ λόγοις θεοσεβείας, ὁ μέγας Καρθαγένης ἐπίσκοπος, τῷ ὑπὲρ Χριστοῦ μαρτυρίῳ τελειοῦται.

Ἀντιοχείας ιβ' ἐπίσκοπος Βαβυλᾶς μάρτυς ἔτη ιγ'. B

Ἀλεξανδρείας ιγ' ἐπίσκοπος Ἡρακλᾶς ἔτη ις'.

Ἱεροσολύμων λς' ἐπίσκοπος Ἀλέξανδρος, ὁ καὶ μάρτυς, ἔτη ιε'.

## ΚΟΣΜΟΥ ΕΤΗ ,εψμδ'.

### Τῆς θείας σαρκώσεως ἔτη σμδ'.

Ῥωμαίων εἰκοστὸς τέταρτος ἐβασίλευσε Δέκιος ἔτη β'.

Ῥώμης ἐπίσκοπος κα' Κορνήλιος ἔτη γ'.

Ἀντιοχείας τρισκαιδέκατος ἐπίσκοπος Φλαβιανὸς ἔτη θ'. C

1. ἀπώρην A. 8. ἐπισκοπῶν] ἐπίσκοπος G. 16. ὁ καὶ μάρτυς] ὃς ἐμαρτύρησεν G. 20. κα' addidit m.

Philippus porro Romanorum imperio annis 7 potitus, pace cum Persarum rege Sapore inita, Romam regreditur; manusque cum Decio ab exercitibus Imperatore salutato conserit, a quo victus leto traditur.

Decius Philippi memoriae, imperio suscepto, infensus acerbam in Christianos persecutionem annis duobus excitavit; in qua Fabianus Romanae ecclesiae praesul martyrii corona redimitus est, nec non Babylas Antiochiae episcopus et sacer Hierosolymorum antistes Alexander iudicum tribunalibus pro fide secundo adstans, in carcere diem ultimum obit.

Eo tempore Cyprianus religiosis operibus et doctrina praestans, magnus Carthaginis pontifex, pro Christi nomine martyrio consummatur.

Antiochiae episcopus 12 Babylas martyr annis 13.

Alexandriae episcopus 13 Heraclas annis 16.

Hierosolymorum episcopus 36 Alexander, qui martyrium subiit, annis 15.

## ANNI MUNDI 5744.

### Divinae Incarnationis an. 244.

Romanorum Imperator 24 Decius annis 2.

Romae episcopus 21 Cornelius annis 3.

Antiochiae episcopus 13 Flavianus annis 9.

Ἀλεξανδρείας τεσσαρεσκαιδέκατος ἐπίσκοπος Διονύσιος ἔτη ιζ´.
Ἱεροσολύμων τριακοστὸς ἕβδομος ἐπίσκοπος Μαζαβάνης ἔτη κα´.

Δεκίου Φίλιππον ἀνελόντος ἅμα τοῖς παισὶ καὶ τὸν κατὰ Χριστιανῶν διωγμὸν ἐξάψαντος οἱ τῶν ἐπισήμων ἐκκλησιῶν τῆς οἰκουμένης, ὡς προεσήμανται, ἱεράρχαι τῷ ὑπὲρ Χριστοῦ μαρτυρίῳ κατεστέφθησαν, Φαβιανὸς μὲν τῆς Ῥωμαίων ἁγιωτάτης ἐκκλησίας, Βαβυλᾶς δὲ τῆς Ἀντιοχέων, καὶ ὁ Ἱεροσολύμων ἱερώ-
D τατος Ἀλέξανδρος δὶς παραστὰς τυραννικοῖς βήμασι καὶ τελευτήσας ἐν τῇ φρουρᾷ μετὰ πεπαρρησιασμένην καὶ ἀξιόθεον ὁμολογίαν. ἐπὶ τούτοις καὶ Κυπριανὸς ὁ μέγας Καρθαγένης ἐπίσκοπος πλείστοις ἱεροῖς λόγοις καὶ ἐπιστάλμασιν ὑπαλείψας πολλοὺς ἐν τῷ αὐτῷ κατὰ Δέκιον διωγμῷ καὶ μάρτυρας προθύμως πείσας γενέσθαι τῷ ὑπὲρ τοῦ κυρίου μαρτυρίῳ τελειοῦται, πολλὰ τῷ ἀρχεκάκῳ δράκοντι ἀντιπαλαίσας, ὡς ἡ κατ' αὐτὸν συγγραφὴ δηλοῖ, τῆς κατὰ Ἰουστίναν τὴν ἁγίαν καλλιπάρθενον δαιμονιώδους προσβολῆς δηλοῦσα τὸ ἀδρανὲς καὶ τῆς αὐτοῦ πρὸς θεὸν προφανοῦς ἐξαγορεύσεως τὸ ἀνυπόκριτον. πολλῶν δὲ καὶ ἄλλων
P. 364 τελειωθέντων ὑπὲρ Χριστοῦ ἐν τῷ αὐτῷ διωγμῷ, ὧν τὰ ὀνόματα μόνος ὁ μαρτυρηθεὶς ὑπ' αὐτῶν κύριος οἶδεν, Ὠριγένης αὐχῶν ἐπὶ λόγοις σεσοφισμένοις καὶ μύθοις Ἑλληνικοῖς ἀπελείφθη τοῦ
V. 290 τηλικούτου στεφάνου, οὐδὲν διὰ θείας χρηστότητος, ἀλλὰ δι'

7. φαβιανὸς P. Φλαβιανὸς G. 21. Ἑλληνικοῖς μύθοις G. τοῦ] καὶ G.

Alexandriae episcopus 14 Dionysius annis 17.
Hierosolymorum episcopus 37 Mazabanes annis 21.

Philippo una cum liberis a Decio sublato, accensis adversus Christianos persecutionis flammis, nobilissimarum orbis ecclesiarum pontifices, ut superius indicavimus, pro Christo martyrii laurea decorati sunt; Fabianus sanctissimae Romanae ecclesiae, Babylas Antiochenae, Hierosolymitanae Alexander tyrannorum tribunalibus secundo adstans, et libera deoque digna confessione praestita, in carcere vitam finivit. Ad hos accessit Cyprianus magnus Carthaginis episcopus, qui plures sacris verbis epistolarumque hortamentis quasi ad palaestram unctos, martyriumque subire persuasos ad Christum sub eadem Decii tyrannide praemittens, ipse cum dracone malorum omnium auctore pugna inita, martyrio coronatur, prout acta de eo conscripta testantur, in quibus irritus daemonum adversus Iustinam sanctam ac formosam puellam impetus et Cypriani confessionis omnium oculis expositae sinceritas manifestatur. His autem et quam plurimis aliis, quorum is solus cuius fuere testes, dominus nomina novit, in eadem persecutione vario leti genere perfectis, Origenes orationum suarum fucata subtilitate et Graecanicarum fabularum gloriola elatus, non adeo divinae gratiae, quam propriae superbiae sibique soli credulae temeritatis infirmitate,

ὑπερήφανον καὶ αὐτοπεποίθητον γνώμην. ἀλλὰ ταῦτα Εὐσεβίῳ τῷ Καισαρεῖ οὐ δοκεῖ, ὃς μείζω πάντων ἁγίων καὶ διδασκάλων αὐτὸν ἀποδεῖξαι σπουδάζων ἐν ἕκτῳ τῆς ἐκκλησιαστικῆς αὐτοῦ ἱστορίας λόγῳ ὁμοφρονῶν αὐτῷ, πολλοῖς ἐγκωμίοις αὐτὸν ἐνυβρίζει, μὴ εἰδὼς ἃ λέγει, ἢ περὶ ὧν διαβεβαιοῦται. πάνυ γὰρ B ὀλίγον περὶ τῶν κατὰ τούσδε τοὺς χρόνους ἱερῶν καὶ μακαρίων πατέρων ἐπιμνησθεὶς, Κλήμεντος λεγομένου Στρωματέως, Ἱππολύτου τοῦ ἱερομάρτυρος, Ἀφρικανοῦ τοῦ ἱστορικοῦ, Διονυσίου τοῦ μεγάλου Ἀλεξανδρείας, καὶ ἄλλων, μόνου τοῦ ματαιόφρονος Ὠριγένους τὴν ἐκ παιδὸς ἀναγωγὴν ἐκθειάζει μέχρι τῆς ἐν τῷ μαρτυρίῳ λειποτακτήσεως. Φαβιανοῦ τε γὰρ τοῦ λεχθέντος ἱερομάρτυρος καὶ ἐπισκόπου Ῥώμης πέρι καὶ Βαβυλᾶ Ἀντιοχέως καὶ Ἀλεξάνδρου Ἱεροσολύμων ἐν ὀλίγοις διεξῆλθε τοῖς ῥήμασιν, C ἐπὶ δὲ τὸν ὁμόφρονα ἐλθὼν Ὠριγένην πλεῖστα προεγκωμιάσας τὸν θεοκατάρατον ὧδέ που προστίθησι φήσας· τὰ μὲν οὖν Ὠριγένει κατὰ τὸν διωγμὸν ξυμβάντα οἷα καὶ ὅσα καὶ ὁποίας ἔτυχε τελευτῆς τοῦ πονηροῦ δαίμονος ἐφάμιλλος τῷ ἀνδρὶ πανστρατιᾷ παραταξαμένου πάσῃ τε μηχανῇ καὶ δυνάμει κατ' αὐτοῦ στρατηγήσαντος, παρὰ πάντας τε τοὺς τηνικάδε πολεμηθέντας διαφερόντως ἐπισκήψαντος αὐτῷ, οἷά τε καὶ ὅσα διὰ τὸν τοῦ Χριστοῦ

1. τῷ Εὐσεβίῳ τῷ G. 2. πάντων τῶν G. 7. λεγομένου] λέγω τοῦ? 9. μόνου] μόνον G. 11. φαβιανοῦ B. Φλαβιανοῦ G. 12. πέρι] Vulgo περί. καὶ βαβυλᾶ AP. τοῦ Βαβυλᾶ G. 15. φήσας] Histor. eccles. VI, 39. οὖν om. G. Vulgo Ὠριγένῃ. 16. ξυμβᾶν A. 17. ἐφαμίλλως G.

a simili laurea consequenda repulsus est; quamvis in contrariam sententiam abierit Eusebius Caesariensis, qui cum in sexto ecclesiasticae historiae sanctis omnibus doctoribusque praestantiorem eum demonstrare contendat, ceu consors eiusdem cum illo doctrinae, quid scribat, aut quorum se laudatorem exhibeat, ignarus, pluribus encomiis, ne dicam iniuriis, eum respergit. Perpaucis siquidem sanctorum beatorumque patrum temporibus illis fulgentium, Clementis, inquam, Stromatum auctoris, pontificis et martyris Hippolyti, Africani historici, Dionysii magni Alexandriae episcopi, et aliorum memoriam complexus, solius Origenis vanarum opinionum sectatoris, a pueritia ad eius usque in Christiano certamine defectionem, vivendi genus divinis laudibus prosequitur. Quin immo Fabiani martyris et pontificis Romani, Babylae Antiocheni, et Alexandri Hierosolymorum pontificum historia ieiune conscripta, converso ad Origenem orationis stilo, exosum hominem deo nullis laudum titulis non celebrandum ducit, his propemodum verbis usus. Iis quae Origeni in persecutione contigerunt, quae nimirum quantaque fuerint illa, quemve finem sit consequutus adversus malignum daemonem totius, ita dicam, exercitus viribus insurgentem, eumque fraudis ac violentiae modis omnibus impetentem, et longe maiori in eum quam in reliquos tunc temporis oppugnatos furore debacchantem colluctatus; quae et quanta pro Christi verbo vir strenuus

λόγον ὁ ἀνὴρ ὑπέμεινε δεσμὰ καὶ βασάνους, τὰς κατὰ τοῦ σώ-
D ματος τάς τε ὑπὸ σιδήρων καὶ μυχοῖς εἱρκτῆς τιμωρίας καὶ ὡς ἐπὶ πλείσταις ἡμέραις τοὺς πόδας ὑπὸ τέσσαρα τοῦ κολαστηρίου ξύλα παραταθεὶς στίγματά τε καὶ πυρὸς ἀπειλὰς καὶ ὅσα ἄλλα πρὸς τῶν ἐχθρῶν ἐπενεχθέντα καρτερῶς ἤνεγκεν, οἷόν τε τὰ κατ' αὐτὸν ἔτυχε τέλους, μηδαμῶς αὐτὸν ἀνελεῖν παντὶ σθένει τοῦ δικαστοῦ φιλονείκως ἐνστάντος, ὁποίας τε μετὰ ταῦτα καταλιπὼν φωνάς, καὶ αὐτὰς πλήρεις τοῖς ἀναλήψεως δεομένοις ὠφελείας, πλεῖσται ὅσαι τοῦ ἀνδρὸς ἐπιστολαὶ τἀληθὲς ὁμοῦ καὶ ἀκριβῶς περιέχουσαι. τούτοις Εὐσέβιος καὶ πλείστοις πρὸ τούτων ἄλλοις Ὠριγένους τοῦ δυσσεβοῦς ἐγκωμίοις χρησάμενος ἀμάρτυρον ἑαυτῷ καταλέλοιπε τὸ μαρτύριον καὶ τὸν δρόμον ἀτέλεστον·
P. 265 ὁ γὰρ ὑπομείνας εἰς τέλος, φησὶν ὁ κύριος, σωθήσεται, οὐχ ὁ πολλὰ παθὼν καὶ λειποτακτήσας. ἐπάγει δὲ καὶ περὶ τοῦ μακαρίου Διονυσίου ἐπισκόπου Ἀλεξανδρείας ἐκ τῆς πρὸς Γερμανὸν αὐτοῦ ἐπιστολῆς τὴν χρῆσιν προθεὶς ὁ αὐτὸς Καισαρεὺς Εὐσέβιος, Ὠριγένει καὶ τούτῳ καὶ τοῖς ὁμόφροσιν αὐτοῦ χαριζόμενος, ὡς ἂν μὴ μόνος φανῇ λειποτακτήσας, ἀλλὰ καὶ ἄλλους ἔχων ἐν τούτῳ συμμετόχους. ἔχει δὲ ἡ χρῆσις Διονυσίου πως ὧδε·

Ἐγὼ δὲ καὶ ἐνώπιον τοῦ θεοῦ λαλῶ, καὶ αὐτὸς οἶδεν ὅτι οὐ ψεύδομαι, οὐδεμίαν ἐπ' ἐμαυτῷ βαλλόμενος, οὐδὲ ἀθεεὶ πεποίημαι τὴν φυγήν. ἀλλὰ καὶ πρότερον τοῦ κατὰ Δέκιον προτε-

5. οἷον] οἷα G. 9. πλεῖσται] Vulgo πλήρεις. Correctum ex Eusebio. 16. Vulgo Ὠριγένῃ. 18. μόνος] μόνον G. 19. δὲ καὶ ἡ G. 20. δὲ καὶ] καὶ om. G.

vincula, membrorum omnium tormenta, ferreis compedibus carcerisque angustiis poenas exhaustas, ut pluribus diebus ad lignea equulei quatuor ramos pedibus applicatus, verbera flammasque intentatas, aliave a fidei adversariis illata supplicia fortiter sustinuerit, quemve finem illa fuerint sortita, iudice ne virum tolleret e vita totis viribus totaque industria contendente, quasque ille coram eo voces, quasque deiectis animo vires ac robur contulerit, plurimae summa veritate diligentiaque a viro conscriptae manifestant epistolae. His et aliis pluribus encomiis in impium Origenem praemissis usus, sine teste eius pro fide testimonium, et non emensum eiusdem cursum praetermisit Eusebius. Qui enim perseveraverit usque in finem, inquit dominus, salvabitur, non ita is, qui plura passus defecerit. Ac supra quidem adductis beati Dionysii Alexandrini episcopi ex eius ad Germanum epistola Origeni similisque sententiae consortibus gratiam facturus Eusebius idem Caesariensis dictum adiungit, ne solus ille militiae Christianae desertor, sed et alios eiusdem sensus participes habuisse videatur. In hunc autem modum scriptum reliquit Dionysius.

Ego vero teste deo loquor, et ipse me nulla tenus mentiri novit. Nullam mihimet imputo, aut sine divino nutu suscepi fugam. Verum perse-

θέντος διωγμοῦ Σαβῖνος αὐτῆς ὥρας Φρουμεντάριον ἔπεμψεν εἰς B ἀναζήτησίν μου. κἀγὼ μὲν τεσσάρων ἡμερῶν ἐπὶ τῆς οἰκίας ἔμεινα, τὴν ἄφιξιν μὲν τοῦ Φρουμενταρίου προσδοκῶν, ὁ δ' ἅπαντα μὲν περιῆλθεν ἀνερευνῶν, τὰς ὁδούς, τοὺς ποταμούς, τοὺς ἀγρούς. ἔνθα κρύπτεσθαί με ἢ βαδίζειν ὑπενόησεν. ἀορασίᾳ δὲ εἴχετο, μὴ εὑρίσκων τὴν οἰκίαν. οὐ γὰρ ἐπίστευον οἴκοι με διω- V. 291 κόμενον μένειν, καὶ μόλις μετὰ τὴν τετάρτην ἡμέραν κελεύσαντός μοι μεταστῆναι τοῦ θεοῦ καὶ παραδόξως ὁδοποιήσαντος ἐγώ τε καὶ οἱ παῖδες καὶ οἱ πολλοὶ τῶν ἀδελφῶν ἅμα συνεξήλθομεν. καὶ ὅτι τῆς τοῦ θεοῦ προνοίας ἔργον ἐκεῖνο γέγονε τὰ ἑξῆς ἐδήλωσεν, C ἐν οἷς τάχα τισὶ γεγόναμεν χρήσιμοι. εἶτά τινα μεταξὺ εἰπὼν τὰ μετὰ τὴν φυγὴν αὐτῷ συμβεβηκότα δηλοῖ ταῦτα ἐπάγων· ἐγὼ μὲν γὰρ περὶ ἡλίου δυσμὰς ἅμα τοῖς σὺν ἐμοὶ γενομένοις ὑπὸ τοῖς στρατιώταις εἰς Ταπόσιριν ἤχθην. ὅτι δὲ Τιμόθεος κατὰ τὴν τοῦ θεοῦ πρόνοιαν ἔτυχε μὴ παρὼν, μηδὲ καταληφθείς· ἐλθὼν δὲ ὕστερον εὗρε τὸν οἶκον ἔρημον καὶ φρουροῦντας αὐτὸν ὑπηρέτας, ἡμᾶς δὲ ἐξηνδραποδισμένους. καὶ μεθ' ἕτερά φησι· καὶ τίς ὁ τῆς θαυμαστῆς αὐτοῦ οἰκονομίας τρόπος; τὰ γὰρ ἀληθῆ λεχθήσεται. ἀπηντᾶτό τις τῶν χωριτῶν ὑποφεύγοντι τῷ Τιμοθέῳ καὶ D τεταραγμένῳ καὶ τὴν αἰτίαν τῆς ἐπείξεως ἐπύθετο, ὁ δὲ τἀληθὲς ἐξειπὼν, κἀκεῖνος ἀκούσας, ἀπῄει δ' εὐωχησόμενος γάμῳ, διαπαννυχίζειν γὰρ αὐτῷ ἐν ταῖς τοιαύταις συνόδοις ἔθος, εἰσελθὼν

3. ἅπαντι G. 5. ἢ βαδίζειν P. ἠδαφίζειν G. 12. ἐπάγει A. 13. γὰρ om. A. 15. καταλειφθεὶς A. 16. αὐτὸν] αὐτῷ G. 20. ἐπείξεως P cum Eusebio. ἐπιδείξεως G. 21. ἀπείη A. 22. εἰσελθὼν om. G.

verante a Decii iam temporibus exorta persecutione, Sabinus eo tempore Frumentarium me perquisiturum misit. Ego quidem quatuor dies adventum Frumentarii domi praestolatus mansi; ille vero loca circumcursans omnia, vias, fluvios, agros, quibus me recondi, vel incedere suspicabatur, pervestigabat; et non inventa domo mea, caecitate captum dixisses; non enim me perquisitum undequaque domi continere coniectabant. Quarto demum die, domino viae duce inopinato migrare iubente, ego et pueri, fratrumque plurimi commigravimus. Divinae vero providentiae hoc institutum fuisse sequentia, in quibus forsan nonnullis utiles fuimus, declaraverunt. Quibusdam deinde interpositis, quae post fugam contigerunt manifestat, verba subiungens huiusmodi. Ego quidem circa solis occubitum cum militibus viae comitibus Taposirim sum ductus. Timotheus autem absens, deo ita providente, non fuerat interceptus; domum autem profectus, desertam invenit et custodientes eam ministros, nos vero fuga salvatos. Ac quibusdam adiectis ait. Quis autem admirabilis adeo providentiae modus? Vera namque a nobis referentur. Incolarum non nemo fugienti Timotheo turbatumque animum praeferenti occurrit, celerisque gressus causam rogat. Illo verum confesso, qui audierat nuptiis conviva futurus, discessit, (huiusmodi vero conventibus totam noctem convivio traducere

ἀπήγγειλε τοῖς κατακειμένοις ἐν τῷ γάμῳ. οἱ δὲ ὁρμῇ μιᾷ πάντες ἐξανέστησαν, καὶ δρόμῳ φερόμενοι τάχιστα ἧκον ἐπισπεύδοντες ἡμῖν, καὶ ἠλάλαξαν καὶ φυγῆς εὐθέως τῶν φρουρούντων ἡμᾶς στρατιωτῶν γενομένης ἐπέστησαν ἡμῖν, ὡς εἴχομεν, ἐπὶ τῶν ἀστρώτων σκιμπόδων κατακείμενοι. κἀγὼ μὲν, οἶδεν ὁ Θεὸς, ὡς λῃστὰς εἶναι πρότερον ἡγούμενος ἐπὶ σύλησιν καὶ ἁρπαγὴν ἀφικομένους, μένων ἐπὶ τῆς εὐνῆς ἤμην ἐν τῷ λινῷ ἐσθήματι, τὴν
**dus accurate percenset; aliam insuper egregiam de poenitentia ad Cononem Hermopolitanum praesulem dedit, nec non ad Alexandrinos alteram in idem argumentum exhortatoriam, quibus eam, quae, ut ipse testatur, de martyrio inscribitur, ad Origenem addidit; sed et ad Laodicenos, quorum antistes erat Thelymidres, et tandem ad Armenios, quibus Meruzanes praeerat episcopus alias dedit. Caeterum Heleno Tarsi Ciliciae praesuli et opinionis eiusdem consciis Firmiliano Cappadociae et Theoctisto Palaestinae, ut ad ipsos Antiochiam profectus, quae de Novato sentienda forent, discuterent, litteris compellentibus; cum iam Fabius ecclesiae Antiochenae episcopus, cum quibusdam aliis nonnihil in schisma propenderet, acceptis a Cornelio Romae episcopo in Novatum aliis litteris, respondet ipse, et de solamine a viris talis obventuro reddit certiorem. Interim Fabio e vita migrante, Demetrianus Antiochiae praeficitur. Dionysius autem, qua scriptis litteris, qua sacris tractatibus editis ecclesiam Romanam a Novato concussam confirmare moliebatur, ac de poenitentia et concordia sermones passim habebat; in quibus epistolam de pace Diaconicam per Hippolytum ad Romanos scriptam, aliam item de poenitentia et ad confessores Novati sententia circumventos dedit privatam; eiusdem demum aliae duae ad confessores a Novato discedentes et ecclesiae denuo coniunctos circumferuntur.**

## ΚΟΣΜΟΥ ΕΤΗ ͵εψμϛ'.

### Τῆς θείας σαρκώσεως ἔτη σμϛ'.

Ῥωμαίων κε' ἐβασίλευσε Γάλλος καὶ Βουλουσιανός.
Ῥωμαίων εἰκοστὸς δεύτερος ἐπίσκοπος Κορνήλιος ἔτη γ'. D
Ῥωμαίων εἰκοστὸς τρίτος ἐπίσκοπος Λούκιος ἔτη β'.
Ναυᾶτος αἱρεσιάρχης πρεσβύτερος Ῥώμης ἐγνωρίζετο.
Ἀντιοχείας τρισκαιδέκατος ἐπίσκοπος Φαβιανὸς ἔτη θ'.
Ἀλεξανδρείας ιδ' ἐπίσκοπος Διονύσιος ἔτη ιζ'.
Ἱεροσολύμων λζ' ἐπίσκοπος Μαζαβάνης ἔτη κα'.

Σκύθαι περαιωθέντες οἱ λεγόμενοι Γότθοι τὸν Ἴστρον ποταμὸν (P. 376) ἐπὶ Δεκίου πλεῖστοι τὴν Ῥωμαίων ἐπικράτειαν κατενέμοντο. οὗτοι τοὺς Μυσοὺς φεύγοντας εἰς Νικόπολιν περιέσχον· Δέκιος δὲ ἐπελθὼν αὐτοῖς, ὡς Δέξιππος ἱστορεῖ, καὶ τρισμυρίους κτείνας ἐλαττοῦται κατὰ τὴν μάχην, ὡς καὶ τὴν Φιλιππούπολιν ἀπολέσαι ληφθεῖσαν ὑπ' αὐτῶν καὶ Θρᾷκας πολλοὺς ἀναιρεθῆναι. ἐπανιοῦσι δὲ Σκύθαις ἐπὶ τὰ σφέτερα ὁ αὐτὸς Δέκιος ἐπιθέμενος ἀναιρεῖται ἐν Ἀβρύτῳ, τῷ λεγομένῳ φόρῳ Θεμβρωνίῳ, σὺν τῷ παιδὶ διὰ νυκτὸς ὁ θεομάχος. οἵ τε Σκύθαι μετὰ πλείστων αἰχμαλώτων καὶ λαφύρων ἐπανέρχονται. καὶ τὰ στρατόπεδα βασιλέα (B) πάλαι τινὰ γενόμενον ὕπατον Γάλλον ἀναγορεύουσιν ἅμα Βουλουσιανῷ τῷ Δεκίου παιδί· οἳ καὶ βασιλεύουσι, κατὰ Δέξιππον, μῆ-

3. Βολλουσιανὸς G. 5. λούκιος AP. Λόγκιος G. 11. πλεῖστοι P. πλείστοις G. τὴν A. τῶν G. 14. φιλιππόπολιν G. 20. Vulgo Βουλουσιανοῦ. Correxit Scaliger p. 85. 21. τῷ] τοῦ G.

## ANNI MUNDI 5746.

### Divinae Incarnationis an. 246.

Romanorum Imperator 25 Gallus una cum Volusiano.
Romanorum episcopus 22 Cornelius annis 3.
Romanorum episcopus 23 Lucius annis 2.
Novatus presbyter haeresiarcha Romae agnoscebatur.
Antiochiae episcopus 13 Fabianus annis 9.
Alexandriae episcopus 14 Dionysius annis 17.
Hierosolymorum episcopus 37 Mazabanes annis 21.

Scythae, qui et Gotthi, Istro traiecto, Romanum imperium sub Decio depopulantur. Hi Mysos Nicopolin se recipientes obsident. Decius, ita referente Dexippo, illos ex improviso adortus ad tria millia prosternit, e praelio licet inferior Philippopoli capta exierit Thracesque plurimi in certamine perierint. Scythas porro in provinciam se referentes ad Abrytum urbem, Terebronii Forum dictam, dei hostis Decius insequens, una cum filio noctu trucidatur. Scythae captivis abductis, supellectilisque immensae copiae compotes facti lares patrios repetunt. Gallum quendam exconsulem et cum eo Volusianum Decii filium milites salutant Imperatorem. Isti, Dexippo teste, mensibus octodecim, iuxta nonnullos annis tribus, ex alio-

νας ιη΄, πράξαντες οὐδὲν ἀξιόλογον· κατὰ δὲ ἄλλους τινὰς ἔτη γ΄, καὶ καθ᾽ ἑτέρους ἔτη β΄. ἐσφάγησάν τε προδοθέντες ὑπὸ τῆς ἰδίας δυνάμεως ἐν ἀγορᾷ Φλαμενίου τῆς αὐτῆς κακοτροπίας ἐχόμενοι τῷ Δεκίῳ, ὥς πού φησιν ὁ μακάριος Ἀλεξανδρείας ἐπίσκοπος Διονύσιος Ἑρμαμμωνῇ γράφων περὶ τοῦ Γάλλου. ἀλλ᾽ οὐδὲ ἐκεῖνος ἔγνω τὸ Δεκίου κακὸν, οὐδὲ προεσκόπησε τί ποτε ἐκεῖνος
C ἔσφηλεν, ἀλλὰ πρὸς τὸν αὐτὸν πρὸ τῶν ὀφθαλμῶν αὐτοῦ γενόμενον ἔπταισε λίθον· ὃς εὐφραινομένης αὐτῷ τῆς βασιλείας καὶ κατὰ νοῦν χωρούντων τῶν πραγμάτων καὶ τοὺς ἱεροὺς ἄνδρας τοὺς περὶ τῆς εἰρήνης αὐτῷ καὶ τῆς ὑγιείας πρεσβεύοντας πρὸς τὸν θεὸν ἡμῶν ἤλασεν. οὐκοῦν σὺν ἐκείνοις ἐδίωξε καὶ τὰς ὑπὲρ αὐτοῦ προσευχάς.

Τούτοις τοῖς χρόνοις ὁ μέγας καὶ θαυματουργὸς Γρηγόριος ἐν τελειότητι τῆς κατὰ Χριστὸν φιλοσοφίας διέλαμπεν, οὗ μνήμην ἁρμόζουσαν ὁ Καισάριος Εὐσέβιος οὐκ οἶδα τίνος ἕνεκα, καίπερ Ὠριγένους τοῦ δυσσεβοῦς ἀλόγοις ἐνδιατρίψας ἐγκωμίοις, οὐ πεποίηται, τοῦ καθ᾽ ὅλης τῆς οἰκουμένης ἐξηχουμένου θείοις τε
D λόγοις καὶ τέρασιν ἐξαστράπτοντος, ὡς καὶ αὐτοῖς δαίμοσι προστάττειν οἷά τισιν ἀνδραπόδοις, διὰ πολλὴν πρὸς θεὸν παρρησίαν καὶ βίου καὶ λόγου καθαρότητα. νομίζω δὲ τὸν Εὐσέβιον τὸ τῆς θείας ἀρετῆς τοῦ θαυματουργοῦ καὶ θεοφόρου Γρηγορίου μέγεθος σιωπῆσαι διὰ τὸ πανταχοῦ τῶν δογμάτων ἀκέραιον καὶ ἀλλότριον τῶν Ὠριγένους λῃρημάτων καὶ τῶν Ἀρείου βλασφημιῶν, οἷς Εὐσέβιος ἐλελώβητο.

5. Διονύσιος om. G. 16. οὐδὲ ποιεῖται G.

rum calculis, duobus, nullo quod laudem sibi conciliet, facinore edito, simul imperarunt; quin immo iisdem, quibus Decius, flagitiis inhaerentes, a propriis copiis proditi in Foro Flaminii occiduntur, ut de Gallo ad Hermammonem beatus Dionysius Alexandriae praesul scriptum reliquit. Sed neque Decii fortunam adversam ipse perpendit, nec in quo peccarat, advertit; quin etiam in subiectum oculis lapidem eundem offendit; Romanae quippe rei publicae gratus et rerum successu laetus, sacros viros de pace et salute interpellantes ad deum transmisit et una cum illis pro se oblatas preces avertit.

Hac aetate magnus et miraculorum patrator Gregorius Christianae philosophiae perfectione splendebat, quo dignam memoriam Caesariensis Eusebius, (cuius tamen causa ignotum hactenus), putidis licet et a ratione alienis impii Origenis laudibus immoretur, nullam facit; eius, inquam, cuius nomen per orbem universum auditur, quique divinis verbis prodigiisque adeo claruit, ut ex ea quam habuit in deum fiducia, morumque ac sermonum puritate, daemonibus ipsis tanquam mancipiis imperarit. Eusebium autem Thaumaturgi deiferique patris Gregorii divinam virtutem silentio praeteriisse arbitror, propter incerta passim et a fide aversa Origenis deliria et Arii, qua Eusebius erat infectus, blasphemam sententiam.

Ὁ αὐτὸς Εὐσέβιος καὶ τὸ Κυπριανοῦ τοῦ μεγάλου Καρθα- V. 300
γένης τῆς κατὰ Λιβύην ἐπισκόπου καὶ μάρτυρος σεσίγηκε μαρ-
τύριον κατὰ Γάλλον καὶ Βουλουσιανὸν, εἰσάγων αὐτὸν περιεῖναι
τῷ βίῳ καὶ τὴν ἐν Καρθαγένῃ σύνοδον συστησάμενον κατὰ τῶν
μὴ δεχομένων τινὰς τῶν ἐξ αἱρέσεων ἀναβαπτίζεσθαι, παλαιοῦ,
φησὶν, ἔθους κεκρατηκότος ἐν τῇ ἐκκλησίᾳ μόνῃ τῇ διὰ τῶν
χειρῶν ἐπιθέσει τούτους καθαίρειν καὶ εὐχῇ. ὁ δέ γε θεολογικώ- P. 877
τατος Γρηγόριος ὁ Ναζιανζοῦ ἐν τῷ εἰς Κυπριανὸν λόγῳ κατὰ
Δέκιόν φησιν αὐτὸν τελειωθῆναι.

Κατὰ τὸν Γάλλου χρόνον ἑβδομηκοστὸν ἄγοντα ἔτος λέγει τεθνάναι τὸν Ὠριγένην Εὐσέβιος, προστεθεικότα δηλονότι τὸν ψυχικὸν θάνατον τοῖς ἀσεβείας δόγμασι.

Πρῶτον Κυπριανῷ δογματίσαντι διὰ λουτροῦ τινας τῶν ἐξ
αἱρέσεων ἐπιστρέφοντας ἀποκαθαίρεσθαι Στέφανος μετὰ Λού-
κιον τῶν Ῥωμαίων διέπων θρόνον ἀντέπεσεν, ὡς νεώτερόν τι
παρὰ τὴν κρατήσασαν καινοτομοῦντι συνήθειαν. Στεφάνῳ τού- B
τῳ Ῥώμης ἐπισκόπῳ τὴν πρώτην περὶ βαπτίσματος ὁ μέγας ἐπι-
στέλλει Διονύσιος, καὶ αὖθις περὶ τοῦ κατὰ Κυπριανὸν δόγμα-
τος παραινεῖ πλεῖστα γράφων, τῶν ἁπανταχοῦ ἐκκλησιῶν εἰρη-
νευουσῶν ἐκ τῆς Ναυάτου δυσχερείας, καὶ αὐτὸν εἰρηνεύειν, οὕ-
τως γράφων ἑξῆς.

1. Εὐσέβιος] Histor. eccles. VII, 8. τὸ P. τῷ G. τοῦ μεγάλου Κυπριανοῦ G. 2. μαρτύριον P. μυστήριον G. 5. τινὰς τῶν] τῶν om. G. 6. φησὶν om. G. 10. τὸν] τε m. 11. Εὐσέβιος] VII, 1. 12. τοῖς] τῆς G. 13. Πρῶτον] πρώτῳ Barber. 17. τῆς Ῥώμης G. 20. οὕτω G.

Eusebius idem magni Cypriani Carthaginensis in Africa episcopi et martyris, testimonium sub Gallo et Volusiano editum tacuit, diutiusque superstitem refert et Carthaginensem synodum adversus eos qui quosdam ex haeresi ad ecclesiam accedentes baptizari prohiberent, et retentam hactenus antiquam consuetudinem, qua non baptismi iteratione, sed sola manuum impositione et orationibus expiandos censerent, eius auctoritate convocatam asserit. Verum Gregorius Nazianzi praesul theologica scientia reliquos superans Decii aetate martyrio consummatum scribit edito de laudibus eius opusculo.

Origenem annum agentem septuagesimum sub Gallo diem ultimum obiisse ponit Eusebius, quo tempore animae mortem impietatis dogmatibus adiunxit.

Cypriano inter primos defendenti quosdam ex haeresi conversos sacro baptismi ritu lustrandos Stephanus post Lucium Romanam sedem moderandam consequutus, ceu praeter receptam ab antiquo consuetudinem novum aliquid inducere molienti constanter se opposuit. Eidem Stephano Romanae urbis episcopo magnus Dionysius primam de baptismo scribit epistolam; rursumque circa Cypriani sententiam, data post Novati procellas ecclesiis quibusdam pace, prolixius hortatus edisserit, ipsumque ut pacem agat, in hunc modum admonet.

**Ἐκ τῆς Διονυσίου ἐπιστολῆς περὶ βαπτίσματος πρὸς Στέφανον ἐπίσκοπον Ῥώμης παραινετική.**

C Ἴσθι οὖν ἀδελφὲ ὅτι ἥνωνται πᾶσαι αἱ πρότερον διεσχισμέναι κατά τε τὴν ἀνατολὴν ἐκκλησίαι καὶ ἔτι προσωτέρω, καὶ πάντες εἰσὶν ὁμόφρονες οἱ πανταχοῦ προεστῶτες, χαίροντες καθ' ὑπερβολὴν ἐπὶ τῇ παρὰ προσδοκίαν εἰρήνῃ γενομένῃ. Δημητριανὸς ἐν Ἀντιοχείᾳ, Θεόκτιστος ἐν Καισαρείᾳ, Μαζαβάνης ἐν Αἰλίᾳ, Μαρῖνος ἐν Τύρῳ κοιμηθέντος Ἀλεξάνδρου, Ἡλιόδωρος ἐν Λαοδικείᾳ ἀναπαυσαμένου Θηλυμίδρους, Ἕλενος ἐν Τάρσῳ, καὶ πᾶσαι αἱ τῆς Κιλικίας ἐκκλησίαι, Φιρμιλιανὸς καὶ πᾶσα Καππαδοκία· τοὺς γὰρ περιφανεστέρους μόνους τῶν ἐπισκόπων ὠνόμασα, ἵνα μήτε μῆκος τῇ ἐπιστολῇ μήτε βάρος ἄγω
D τῷ λόγῳ. αἱ μέντοι Συρίας ὅλαι καὶ ἡ Ἀραβία οἷς ἐπαρκεῖσθαι ἑκάστοτε καὶ οἷς ἐπεστείλατε τῇ Μεσοποταμίᾳ καὶ συνελόντι εἰπεῖν ἀγαλλιῶνται πᾶσαι πανταχοῦ τῇ ὁμονοίᾳ καὶ φιλαδελφίᾳ δοξάζοντες τὸν θεόν. ταῦτα μὲν ὁ Διονύσιος δυσὶν ἔτεσι προστάντι Στεφάνῳ τῆς ἐκκλησίας Ῥώμης καὶ τελευτήσαντι γράφει καὶ ἄλλα τούτοις ὅμοια κατευνάζων πρὸς εἰρήνην.

Ξύστῳ δὲ μετὰ Στέφανον τὸν θρόνον διαδεξαμένῳ δευτέραν ἐπιστολὴν ὁ αὐτὸς Διονύσιος γράφει, ἐν ᾗ τὴν γνώμην Στε-

3. Ἴσθι ex Eusebio VII, 5. Vulgo Ἡσθην. 4. προσωτέρω Barber. Vulgo περισσωτέρῳ. 8. μαρῖνος A. Μαριναῖος G. 9. Vulgo Θηλυμήδρους. 15. τῇ] τε A. 18. καταυνάζων A.

## Ex Dionysii epistola de baptismo ad Stephanum Romae episcopum exhortatio.

Scias insuper, frater, divisas hucusque ab invicem orientis ecclesias in concordiam rediisse; eoque laetitia crescit amplior, quo cuncti ecclesiarum praefecti unanimes esse dignoscuntur et data praeter exspectationem pace supra modum gratulari. In his sunt Demetrianus Antiochiae, Theoctistus Caesareae, Mazabanes Aeliae, Marinus post Alexandri obitum Tyri, Heliodorus translato Thelymidre Laodiceae, Helenus Tarsi episcopi; omnes pariter Ciliciae ecclesiae, Firmilianus et Cappadocia cuncta, (solos namque illustriores episcoporum nominatos volui, ne litteris prolixitatem vel addam sermonibus molestiam), Syriae deinde civitates cunctae et Arabia, quas quotidie studio vestro fovetis et ad quas litteras etiam dedistis; Mesopotamia quoque, Pontus et Bithynia et, ut verbo complectar, omnes ubique summo gaudio collaetantur et pro reparata concordiae fraternae dilectione gloriam deo reddunt. Haec sane et his similia Dionysius pacem suasurus ad Stephanum annis iam duobus Romanam ecclesiam moderantem et deinde passione coronatum scripsit.

Ad Xystum autem post Stephani obitum praesulis dignitatem assequutum secundam Dionysius idem misit epistolam, qua non Stephani modo

φάνου καὶ τῶν λοιπῶν ἐπισκόπων περὶ τῆς αὐτοῦ Στεφάνου γνώμης ἐπίκρισιν δηλοῖ λέγων·

### Τοῦ αὐτοῦ Διονυσίου ἐπισκόπου Ἀλεξανδρείας ἐκ τῆς πρὸς Ξύστον δευτέρας ἐπιστολῆς περὶ βαπτίσματος. P. 378 V. 301

Ἐπιστάλκει μὲν οὖν πρότερον καὶ περὶ Ἑλένου καὶ περὶ Φιρμιλιανοῦ καὶ πάντων τῶν τε ἀπὸ Κιλικίας καὶ Καππαδοκίας καὶ δηλονότι Γαλατίας καὶ πάντων τῶν ἑξῆς ὁμορρούντων, ὡς οὐδὲ ἐκείνοις κοινωνήσων διὰ τὴν αὐτὴν ταύτην αἰτίαν, ἐπειδὴ τοὺς αἱρετικοὺς, φησὶν, ἀναβαπτίζουσι. καὶ σκόπει τὸ μέγεθος τοῦ πράγματος. ὄντως γὰρ δόγματα περὶ τούτου γέγονεν ἐν ταῖς μεγίσταις τῶν ἐπισκόπων συνόδοις, ὡς πυνθάνομαι, ὥστε τοὺς B προσιόντας ἐξ αἱρέσεων προκατηχηθέντας, εἶτα ἀπολούεσθαι καὶ ἀνακαθαίρεσθαι τὸν τῆς παλαιᾶς καὶ ἀκαθάρτου ζύμης ῥύπον. καὶ περὶ τοῦ Ναυάτου πάντων δεόμενος ἐπέστειλα· καὶ μεθ' ἕτερα· καὶ τοῖς ἀγαπητοῖς δὲ ἡμῶν καὶ συμπρεσβυτέροις Διονυσίῳ καὶ Φιλήμονι συμψήφοις πρότερον Στεφάνῳ γενομένοις, καὶ περὶ τῶν αὐτῶν μοι γράφουσι, πρότερον μὲν ὀλίγα, καὶ νῦν δὲ διὰ πλειόνων ἐπέστειλα. τούτοις ἐπάγει καὶ περὶ τῶν κατὰ Σαβέλλιον τὸν κατὰ Λιβύην αἱρετικὸν ταῦτα. περὶ τοῦ νῦν κινηθέντος ἐν τῇ Πτολεμαΐδι τῆς Πενταπόλεως δόγματος οὕτως ἀσε-

5. ἐπιστάλκη A. πρότερον καὶ] καὶ om. G. 7. ὁμορρούντων A, ὁμοφρονούντων G. 10. ὄντως P. οὕτω G. 15. καὶ τοῖς συμπρεσβυτέροις G. 17. καὶ νῦν δὲ] καὶ om. G.

sensum, verum etiam reliquorum episcoporum de Stephano iudicium manifestat, dicens.

### Ex Dionysii eiusdem Alexandrini episcopi epistola secunda de baptismate ad Xystum.

De Heleno, deque Firmiliano, tum de aliis Ciliciae, Cappadociae, adde et Galatiae episcopis et aliis cunctis sententiam istam deinceps sectatis iam scripserat, qua de causa nullam se cum eis communionem habere, qui ex haeresi conversos denuo baptizent, testatur. Rei vero magnitudinem attendas velim. In celebrioribus enim episcoporum conciliis, prout mihi nunciatum est, edita decreta percepi; uti qui abiecta haereseos impietate ad nos accedunt, Christianis fidei rudimentis primum imbuantur, tum baptismi aquis loti veteris et immundi fermenti sordibus expientur. Et Novati quidem occasione precibus aeque ac scriptis cunctos sollicitavi. Praemissis adiungit. Sane ad dilectos nostros compresbyteros Dionysium et Philemonem Stephano primitus assentientes, et paucis primum, nunc vero prolixius scripto mecum tractantes, litteras dedi. De Sabellio deinde novas opiniones circa Libyae regionem disseminante subnectit. De recentiore sententia Ptolemaide Pentapoleos suborta, impia penitus, blasphe-

C βοῦς καὶ βλασφημίαν πολλὴν ἔχοντος, περί τε τοῦ παντοκράτορος θεοῦ πατρὸς καὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀπιστίαν τε πολλὴν περὶ τοῦ μονογενοῦς παιδὸς αὐτοῦ καὶ πρωτοτόκου πάσης κτίσεως τοῦ ἐνανθρωπήσαντος λόγου, εἰς ἀναισθησίαν δὲ τοῦ ἁγίου πνεύματος, ἐλθόντων ἑκατέρωθεν πρὸς ἐμοῦ καὶ τῶν γραμμάτων καὶ τῶν διαλεξομένων ἐπέστειλά τινα, ὡς ἠδυνήθην παρασχόντος τοῦ θεοῦ διδασκαλικώτερον ὑφηγούμενος, ὧν τὰ ἀντίγραφα ἔπεμψά σοι. ταῦτα ἐν τῷ δευτέρῳ διεξελθὼν περὶ βαπτίσματος λόγῳ πρὸς Ξύστον ὁ θεῖος Διονύσιος θαυμαστήν τινα θεοπτίαν ἐν τῷ τρίτῳ περὶ βαπτίσματος διέξεισι, πρὸς Φιλήμονα πρεσβύτερον Ῥώμης γράφων.

D **Ἐκ τοῦ πρὸς Φιλήμονα πρεσβύτερον Ῥώμης τρίτου λόγου περὶ βαπτίσματος Διονυσίου Ἀλεξανδρέως καὶ τῆς κατ' αὐτὸν ὁράσεως.**

Ἐγὼ δὲ καὶ τοῖς συντάγμασι καὶ ταῖς παραδόσεσι τῶν αἱρετικῶν ἐνέτυχον, χραίνων μέν μου πρὸς ὀλίγον τὴν ψυχὴν ταῖς παμμιάροις αὐτῶν ἐνθυμήσεσιν, ὄνησιν δὲ ταύτην ἀπ' αὐτῶν λαμβάνων, τὸ ἐξελέγχειν αὐτοὺς παρ' ἐμαυτῷ καὶ πολλῷ πλέον
P. 379 βδελύττεσθαι. καὶ δή τινος ἀδελφοῦ πρεσβυτέρων ἀπείργοντος καὶ δεδιττομένου συμφύρεσθαι τῷ τῆς πονηρίας αὐτῶν βορβόρῳ, λυμανεῖται γάρ τὴν ψυχὴν τὴν ἐμαυτοῦ, καὶ ἀληθῆ λέγοντος ὡς ᾐσθόμην, ὅραμα θεόπεμπτον προσελθὸν ἐπέρρωσέ με, καὶ

4. ἀνθρωπήσαντος G. εἰς om. G. 12. τοῦ m. τῆς G.

miarumque agmen in domini nostri Iesu Christi patrem et deum omnipotentem evomente, et in unigenitum eius filium et creaturae omnis primogenitum verbum carnem factum defectum omnem, in sanctum vero spiritum sensum fidei nullum depromente, confluentibus ad me cum scripto, tum viva voce dissertaturis fratribus, quam potui, deusque largitus est doctrinam in epistolis aperui, quarum exemplaria fideliter exscripta misi. Haec tractatu secundo de baptismo ad Xystum sacer Dionysius; miram porro circa baptismum visionem tertio ad Philemonem Romanum presbyterum misso narrat.

## Ex Dionysii Alexandrini tractatu tertio de baptismo ad Philemonem Romae presbyterum.

### De visione circa illum habita.

Ego quidem libros ab haereticis editos, doctrinamque ab eis traditam evolvebam et ad breve tempus licet scelestissimis eorum opinionibus animam inquinaverim, ea nihilo secius utilitatis accessio mihi facta est, ut iam a me ipso facile refellam et animosius longe respuam. Certe ex presbyteris frater quidam prohibebat, et ne perversitatis illorum coeno foedarer, deterrebat. Virus namque animam sensim pervadere, eumque vera enunciasse iam experto, visio caelitus missa vacillantem animum firmavit et

λόγος πρός με γενόμενος προσέταξε διαρρήδην λέγων· πᾶσιν ἐντύγχανε οἷς ἂν εἰς χεῖρας λάβοις. διευθύνειν γὰρ ἕκαστα καὶ δοκιμάζειν ἱκανὸς εἶ καὶ σοὶ γέγονε τοῦτο ἐξ ἀρχῆς καὶ τῆς πίστεως αἴτιον. ἀπεδεξάμην τὸ ὅραμα, ὡς ἀποστολικῇ φωνῇ συντρέχον τῇ λεγούσῃ πρὸς τοὺς δυνατωτέρους· γίνεσθε δόκιμοι τραπεζῖται. πρὸς τούτους εἰπὼν περὶ πασῶν αἱρέσεων ἐπάγει· τοῦτον ἐγὼ τὸν κανόνα καὶ τὸν τύπον παρὰ τοῦ μακαρίου πάππα ἡμῶν B Ἡρακλᾶ παρέλαβον. τοὺς γὰρ προσιόντας ἀπὸ τῶν αἱρέσεων καὶ V. 302 τῆς ἐκκλησίας ἀποστάντας, μᾶλλον δὲ οὐδ' ἀποστάντας, ἀλλὰ συνάγεσθαι μὲν δοκοῦντας, καταμηνυθέντας δὲ ὡς προσφοιτῶντάς τινι τῶν ἑτεροδιδασκαλούντων ἀπελάσας τῆς ἐκκλησίας, δεομένους οὐ προσήκατο, ἕως δημοσίᾳ πάντα ὅσα ἀκηκόασι παρὰ τοῖς ἀντιθεμένοις ἐξέφρασαν, καὶ τότε συνήγαγεν αὐτούς, οὐ δεηθεὶς ἑτέρου βαπτίσματος ἐπ' αὐτῶν. τοῦ ἁγίου γὰρ πρότερον παρ' αὐτοῦ τετυχήκεισαν. εἶτα λεπτῶς περὶ τοῦδε τοῦ δόγματος διεξελθὼν ἐπιφέρει βεβαιῶν αὐτῷ· μεμάθηκα καὶ τοῦτο ὅτι μὴ νῦν οἱ ἐν Ἀφρικῇ τοῦτο μόνον παρεισήγαγον, ἀλλὰ καὶ πρὸ πολλοῦ κατὰ τοὺς πρὸ ἡμῶν ἐπισκόπους ἐν ταῖς πολυανθρωποτά- C ταις ἐκκλησίαις καὶ ταῖς συνόδοις τῶν ἀδελφῶν, ἐν Ἰκονίῳ καὶ Συνάδοις καὶ παρὰ πολλοῖς τοῦτο ἔδοξεν, ὧν τὰς βουλὰς ἀνατρέπων εἰς ἔριν αὐτοὺς καὶ φιλονεικίαν ἐμβάλλειν οὐχ ὑπομένων· οὐ γὰρ μετακινήσεις, φησίν, ὅρια τοῦ πλησίον σου, ἃ ἔθεντο

1. λόγος ex Eusebio. Vulgo λόγοις. ἐντύγχανε P. ἐτύγχανεν G. 3. εἶ] ἢ A. 4. συντρέχων A. 11. τοὺς δεομένους G. 15. παρ'] ἀπ' G. τοῦ om. G. 16. καὶ] δὲ G. 21. ὑπομένω G.

vox ad aures delapsa verbis istis manifesto loquuta est. Libros omnes manibus obvios perlege. Eo namque sensu praeditus es, ut singula examinare et corrigere queas; ipsum enim est quod tuae ad fidem vocationis prima fuit origo. Visionem, ceu apostolicae voci consentientem excepi, ubi firmiores alloquitur. Probati Trapezitae estote. De cunctis in universum haeresibus haec subiungit. Hanc ego regulam et institutum a beatae memoriae papa nostro Heracla ipso dictante accepi, ecclesiae nimirum desertores, ad eam reversos, maxime autem qui ecclesiae communionem semper tenuisse iactarent, at certe alienae a nobis doctrinae auctoribus adhaesisse delatos ab ecclesia depulit, nec admitti precantes prius admisit, quam cuncta ab adversariis audita eiurarent; quo ab eis praestito, aliud baptisma necessarium non esse ratus, quod eius id manibus suscepissent, eos ecclesiae restituit. Cunctis porro dogmatis istius articulis sigillatim perpensis, priora confirmaturus subinfert. Hoc sane didici, quod non Africae modo praesules ritum istiusmodi induxerint, verum etiam aetate nostra paulo superiore in ecclesiis copiosa plebe refertis, in fratrum conventibus, Iconii et Sinadis et apud plerosque hoc fuisse decretum, quorum sententiam repulsurus ad disputationum disputationumque conflictus provocare non fert animus. Non enim, inquit, proximi tui terminos a maio-

οἱ πατέρες σου. ταῦτα καὶ ἐν τῇ τρίτῃ περὶ βαπτίσματος ἐπιστολῇ ἣν Διονυσίῳ πρεσβυτέρῳ Ῥώμης ἐπιστέλλει τῷ καὶ τὸν θρόνον μετὰ βραχὺ διαδεξαμένῳ ἀνδρὶ λογίῳ καὶ θαυμαστῷ ταῦτά φησιν·

D Ἐκ τῆς Διονυσίου Ἀλεξανδρείας ἐπισκόπου τετάρτης ἐπιστολῆς περὶ βαπτίσματος γραφείσης Διονυσίῳ πρεσβυτέρῳ Ῥώμης.

Ναυατιανῷ μὲν γὰρ εὐλόγως ἀπεχθανόμεθα διακόψαντι τὴν ἐκκλησίαν, καί τινας τῶν ἀδελφῶν εἰς ἀσεβείας καὶ βλασφημίας ἑλκύσαντι, καὶ περὶ θεοῦ διδασκαλίαν ἀνοσιωτάτην ἐπικλύσαντι, καὶ τῷ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ὡς ἀνηλεῆ συκοφαντοῦντι· ἐπὶ πᾶσι δὲ τούτοις καὶ τὸ λουτρὸν ἀθετοῦντι τὸ ἅγιον καὶ τήν τε πρὸ αὐτοῦ πίστιν καὶ ὁμολογίαν ἀνατρέποντι,
P. 380 τό τε πνεῦμα ἅγιον ἐξ αὐτῶν, ἢ καὶ τίσιν ἐλπίσιν τοῦ παραμεῖναι, ἢ καὶ ἐπανελθεῖν πρὸς αὐτούς, παντελῶς φυγαδεύοντι.

Καὶ ἡ πέμπτη δὲ αὐτῷ πρὸς τὸν Ῥωμαίων ἐπίσκοπον Ξύστον ἐγέγραπτο, ἐν ᾗ πολλὰ κατὰ τῶν αἱρετικῶν εἰπὼν τοιοῦτόν τι κατ' αὐτὸν γεγονὸς ἐκτίθεται λέγων· καὶ γὰρ ὄντως, ἀδελφέ, καὶ συμβουλῆς δέομαι καὶ γνῶσιν αἰτῶ παρά σοῦ, τοιούτου τινός μοι προσελθόντος πράγματος, δεδιὼς μὴ παρασφάλλωμεν. τῶν γὰρ συναγομένων ἀδελφῶν πιστὸς νομιζόμενος ἀρχαῖος καὶ

10. καὶ περὶ — διδασκαλίαν ex Eusebio VII, 8. Vulgo καὶ ταῖς περὶ — διδασκαλίαις. ἀνοσιωτάτην A. ἀνοσιωτάτως G. 11. ἀνηλεῆ Eusebius. Vulgo ἀνελεεῖ. 13. τήν τε] τήνδε G.

ribus tuis positos transferes. Epistola vero de baptismo tertia ad Dionysium Romae presbyterum, virum eruditione et virtute conspicuum pontificiam sedem postmodum brevi adeptum, haec totidem verbis scribit.

Ex Dionysii Alexandriae episcopi epistola quarta de baptismo ad Dionysium Romae presbyterum.

Novatiano certe iure succensemus, qui discidit ecclesiam et fratrum nonnullos scelestissima de deo opinione imbutos in impiam blasphemamque sententiam induxit, qui dominum nostrum Iesum Christum velut inclementem calumniatur et sacrum insuper lavacrum irritat, qui fidem fideique professionem aliquot iam retro saeculis superiorem evertit, qui sanctum denique spiritum fiduciam licet eius in sese praesentiae ac morae et eiusdem in se regressus concipiant spem, longe tamen depellit et fugat.

Epistola eius quinta ad Xystum Romanum antistitem scripta est, qua multis adversus haereticos enunciatis, rem suo tempore gestam in hunc modum narrat. Vere, frater, consilio tuo opus mihi est, iudicium tuum expeto, et tanti momenti ad me delato negotio, vereor ne fraudem patiar. Ad fratrum enim ecclesiae adlectorum senex quidam pertinere existimatus,

πρὸ τῆς ἐμῆς χειροτονίας, οἶμαι δὲ καὶ τῆς τοῦ μακαρίου Ἡρακλᾶ καταστάσεως τῆς συναγωγῆς ὑπόγυον βαπτιζόμενος περιτυχών, καὶ τῶν ἐπερωτήσεων καὶ τῶν ἀποκρίσεων ἐπακούσας, προσ- B ῆλθέ μοι κλαίων καὶ καταθρηνῶν ἑαυτόν· καὶ πίπτων πρὸ ποδῶν μου ἐξομολογούμενος μὲν καὶ ἐξομνύμενος τὸ βάπτισμα, ὃ παρὰ τοῖς αἱρετικοῖς βεβαπτίσθαι μὴ τοιοῦτον εἶναι, μηδὲ ὅλως ἔχειν τι ἐπᾶραι τοῖς ὀφθαλμοῖς πρὸς τὸν θεὸν ἀπὸ τῶν ἀνόμων ἐκείνων ῥημάτων καὶ πραγμάτων ὁρμώμενος· καὶ διὰ τοῦτο δεόμενος τῆς εἰλικρινεστάτης ταύτης καθάρσεως καὶ παραδοχῆς καὶ χάριτος τυχεῖν· ὅπερ ἐγὼ μὲν οὐκ ἐτόλμησα ποιῆσαι, φήσας αὐταρκῆ τὴν πολυχρόνιον αὐτῷ κοινωνίαν εἰς τοῦτο γεγονέναι. εὐχαριστίας γὰρ ὑπακούσαντα καὶ συνεπιφθεγξάμενον τὸ ἀμὴν καὶ τραπέζῃ παραστάντα καὶ χεῖρας εἰς ὑποδοχὴν τῆς ἁγίας τροφῆς ἐκτείναντα C καὶ ταύτην καταδεξάμενον καὶ τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ V. 303 κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετασχόντα ἱκανὸν χρόνον οὐκ ἂν ἐξ ὑπαρχῆς ἀνασκευάζειν ἐπιτολμήσαιμι. θαρσεῖν δὲ ἐκέλευον καὶ μετὰ βεβαίας πίστεως καὶ ἀγαθῆς ἐλπίδος τῇ μετοχῇ τῶν ἁγίων προσιέναι. ὁ δὲ οὔτε πενθῶν παύεται πέφρικέ τε τῇ τραπέζῃ προσιέναι καὶ μόλις παρακαλούμενος συνεστάναι ταῖς προσευχαῖς ἀνέχεται. ἐπὶ ταῖς προειρημέναις φέρεταί τις ἄλλη τοῦ αὐτοῦ περὶ βαπτίσματος ἐπιστολὴ ἐξ αὐτοῦ καὶ ἧς ἡγεῖτο παροικίας Ξύστῳ καὶ τῇ κατὰ Ῥώμην ἐκκλησίᾳ προσπεφωνημένη, ἐν ᾗ

4. τῶν κοδῶν G. 6. βεβάπτισται G. 9. καὶ χάριτος ex Eusebio. Vulgo ἐν χάριτος. 18. οὔτε] οὐδὲ G. 22. Ξύστῳ Eusebius. Vulgo Ξύστος.

et iam ante promotionis meae tempus, reor etiam ante B. Heraclam institutum communi societati adscriptus, cum forte lustrandorum ritibus adforet et interrogatorum responsionumque vicibus attentius aurem praeberet, flens ubertim, et sortem propriam deplorans ad pedes meos procumbit, et ex animo confessus, quo ab haereticis initiatus erat, baptismum exsecratur; mysterium, quod vidit, in se non observasse, neque vero nunc habeat, quo in caelum oculos cum fiducia sustollat, a sacrilegis illis ritibus et verbis primum erumpere sibi visus; quare purissimam illam baptismi expiationem, iteratamque ad ecclesiam unionem nova gratia consequi postulare. Petitis annuere non quidem ausus sum, qui annosam illam cum ecclesia communionem sufficere affirmarem. Nam qui grates deo referri audiyisset, qui, amen, respondisset, sacrae mensae adstitisset et ad caelestis cibi susceptionem extendisset manus et eo sumpto corporis et sanguinis domini nostri Iesu Christi diutino tempore consortium iniisset, eum ex integro renovare non praesumebam; quare bono animo esse iussum cum indubia fide et certa spe ad sacrorum perceptionem hortabar accedere. Ille modo luctibus non posito, ad mensam accedere exhorruit et in ecclesia vix inter precandum etiam rogatus consistere sustinuit. Praeter memoratas alia de baptismo eiusdem epistola ab eo pariter et ab ecclesia quam regebat Xysto Romanaeque ecclesiae nuncupata circumfertur; qua de subiecta

D διὰ μακρᾶς ἀποδείξεως τὸν περὶ τοῦ ὑποκειμένου ζητήματος παρατείνει λόγον. καὶ ἄλλη δέ τις αὐτοῦ μετὰ ταῦτα φέρεται πρὸς τὸν κατὰ Ῥώμην Διονύσιον ἡ περὶ Λουκιανοῦ. καὶ περὶ μὲν τούτων τοσαῦτα.

### ΚΟΣΜΟΥ ΕΤΗ ͵εψμη΄.

### Τῆς θείας σαρκώσεως ἔτη σμη΄.

Ῥωμαίων κϛ΄ ἐβασίλευσεν Οὐαλεριανὸς καὶ Γαλιηνὸς ἔτη ιε΄.
Περσῶν γ΄ ἐβασίλευσεν Ὁρμίσδας ἔτος ἕν.
Περσῶν δ΄ ἐβασίλευσεν Οὐαραράνης ἔτη γ΄.
P. 381 Ῥώμης ἐπίσκοπος κδ΄ Στέφανος ἔτη β΄.
Ῥώμης ἐπίσκοπος κε΄ Ξύστος ἔτη θ΄.
Ῥώμης ἐπίσκοπος κϛ΄ Διονύσιος ἔτη η΄.
Ἀντιοχείας τεσσαρεσκαιδέκατος ἐπίσκοπος Δημητριανὸς ἔτη δ΄.
Ἀντιοχείας ιε΄ ἐπίσκοπος Παῦλος ὁ Σαμοσατεὺς ἔτη η΄.
Οὗτος ἐξώσθη θείᾳ ψήφῳ καὶ κρίσει πατέρων ἁγίων τὴν Ἀρτέμωνος ἀνανεωσάμενος αἵρεσιν.
B Ἀντιοχείας ἑκκαιδέκατος ἐπίσκοπος Δομνῖνος ἔτη γ΄.
Ἀλεξανδρείας τεσσαρεσκαιδέκατος ἐπίσκοπος Διονύσιος ἔτη ιζ΄.
Ἀλεξανδρείας πεντεκαιδέκατος ἐπίσκοπος Μάξιμος ἔτη η΄.
Ἱεροσολύμων τριακοστὸς ἕβδομος ἐπίσκοπος Μαζαβάνης ἔτη κα΄.

2. μετὰ] κατὰ G. 6. Vulgo ἔτος. 7. οὐαλλεριανὸς A. Vulgo Γαλινός. 15. τῶν πατέρων G.

quaestione longum instituit tractatum. Alia quoque in idem argumentum ad Dionysium Romanum habetur epistola, cui titulus est: de Luciano. Verum de his dicta sufficiant.

### ANNI MUNDI 5748.

### Divinae Incarnationis an. 248.

Romanorum Imperator 26 Valerianus cum Gallieno annis 15.
Persarum rex 3 Ormisdas anno uno.
Persarum rex 4 Vararanes annis 3.
Romae episcopus 24 Stephanus annis 2.
Romae episcopus 25 Xystus annis 9.
Romae episcopus 26 Dionysius annis 8.
Antiochiae episcopus 14 Demetrianus annis 4.
Antiochiae episcopus 15 Paulus Samosatenus annis 8.
Hic Artemonis renovata haeresi, divino iudicio, sanctorumque patrum sententia sede motus est.
Antiochiae episcopus 16 Domninus annis 3.
Alexandriae episcopus 14 Dionysius annis 17.
Alexandriae episcopus 15 Maximus annis 8.
Hierosolymorum episcopus 37 Mazabanes annis 21.

Μετὰ Γάλλον καὶ Βουλουσιανὸν τὸν Δεκίου παῖδα διαδέχεται τὴν Ῥωμαίων ἀρχὴν κατὰ μὲν τοὺς πλείστους Οὐαλεριανὸς καὶ Γαλιηνὸς παῖς αὐτοῦ. τούτων ἀναιρεθέντων προδοσίᾳ καὶ τῆς οἰκείας δυνάμεως, ὡς προείρηται, κρατοῦσι τῆς αὐτῆς ἀρχῆς ἔτη ιε', κατὰ δέ τινας Αἰμιλιανὸς τριετῆ προΐσταται χρόνον, C καὶ τούτου κατὰ γνώμην ἀναιρεθέντος Οὐαλεριανοῦ ὁ αὐτὸς Οὐαλεριανὸς Ῥωμαίων βασιλεὺς ἀνεδείχθη.

Ἐπὶ Οὐαλεριανοῦ δὲ καὶ Γαλιηνοῦ πάλιν οἱ Σκύθαι διαβάντες τὸν Ἴστρον ποταμὸν τήν τε Θρᾴκην ἐλῄισαν καὶ Θεσσαλονίκην ἐπολιόρκησαν τὴν Ἰλλυρίδα πόλιν, οὐδὲν ἄριστον ἐπ' αὐτῇ δράσαντες τῇ τῶν φυλάκων ἀνδρείᾳ. διὰ τοῦτο ταραχθέντες Ἕλληνες τὰς Θερμοπύλας ἐφρούρησαν· τότε τεῖχος Ἀθηναῖοι ἀνῳκοδόμησαν καθαιρεθὲν ἀπὸ τῶν Σύλλου χρόνων, Πελοποννήσιοι δὲ ἀπὸ θαλάσσης εἰς θάλασσαν τὸν Ἰσθμὸν διετείχισαν, οἱ δὲ Σκύθαι μετὰ πολλῶν λαφύρων εἰς τὰ ἴδια ἦλθον.

Ἐπὶ τούτοις καὶ Σαπώρης ὁ τῶν Περσῶν βασιλεὺς καταδραμὼν Συρίαν ἦλθεν εἰς Ἀντιόχειαν καὶ πᾶσαν Καππαδοκίαν ἐδῄωσε. D τοῦ δὲ Ῥωμαϊκοῦ στρατοῦ λιμώξαντος ἐν Ἐδέσῃ, καὶ διὰ V. 304 τοῦτο ταραχθέντος Οὐαλεριανὸς πτοηθεὶς καὶ σχηματισάμενος ἐπὶ δευτέραν ἰέναι μάχην ἑαυτὸν προὔδωκε τῷ Περσῶν βασιλεῖ Σαπώρῃ, συνθέμενος καὶ τὴν τοῦ πλήθους προδοσίαν, ἣν αἰσθόμενοι Ῥωμαῖοι μόλις διέφυγον ὀλίγων ἀναιρεθέντων. οὓς κα-

3. Vulgo Γαλινὸς et infra Γαλινοῦ. 16. καὶ] καὶ ὁ G. 17. Vulgo ἐδίωσεν. Correxit Scaliger p. 85. 19. ταραχθέντας A. 20. τῷ] τῶν A. 21. τοῦ πλήθους προδοσίαν P. αὐτοῦ στρατείαν προδόσει G.

Post Gallum et Volusianum Decii filium, Valerianus, ut pluribus placet, cum filio Gallieno suscepit imperium. Illis, ut praemisimus, proprii exercitus proditione sublatis, isti potestatem eandem consequuntur annis quindecim. Aemilianum tamen triennali imperio eos praecessisse affirmant; quo ex Valeriani consensu neci tradito, ipse Valerianus Romanorum Imperator proclamatus est.

Valeriano et Gallieho imperantibus Scythae traiecto flumine Istro Thraciam rursum praedati Thessalonicam Illyriorum urbem obsederunt; nullo tamen virtutis edito specimine, eorum, qui tuebantur urbem, robore repulsi sunt. Graeci metu perculsi Thermopylas missa custodia tutati sunt, Athenienses murum a Syllae temporibus dirutum restauraverunt, Peloponnesii a mari ad mare Isthmum muro constructo muniverunt; Scythae vero spoliis onusti domos se receperunt.

His Imperatoribus Sapores Persarum rex Syria excursionibus vastata appulit Antiochiam, et ex omni Cappadocia praedas egit. Romano vero exercitu ad Edessam fame oppresso et tumultuante, Valerianus secundum certamen inire veritus, habitu mutato regis Persarum Saporis potestati se committit, reliquum etiam exercitum prodere pollicitus. Consilii istiusmodi

ταδιώκων ὁ Περσῶν βασιλεὺς Σαπώρης τήν τε μεγάλην Ἀντιό-
χειαν αἱρεῖ καὶ τὴν Κιλίκων Ταρσὸν καὶ τὴν Καππαδόκων Και-
P. 332 σάρειαν. τότε Πέρσαι διασπαρέντες ἀπὸ πλεονεξίας ἄλλοι ἀλλα-
χοῦ, καὶ τὴν πρὸς θάλασσαν Πομπηιούπολιν αἱρεῖν μέλλοντες,
Λυκαονίαν τε πορθοῦντες, ἀναιροῦνται πλεῖστοι, Καλλίστου
τούτοις ἐπελθόντος ἀδοκήτως ναυσὶ μετὰ δυνάμεως τοῦ Ῥωμαίων
στρατηγοῦ, ὃν φυγόντες προεστήσαντο ἑαυτοῖς. οὗτος καὶ τὰς
Σαπώρου παλλακίδας σὺν πολλῷ πλούτῳ λαβὼν εἰς Σεβαστὴν
καὶ Κώρυκον μετέστη σὺν τῷ στόλῳ, ἔνθα τρισχιλίους Περσῶν
ἀνεῖλε. τούτοις Σαπώρης περιαλγήσας μετὰ σπουδῆς ἀναστρέφει
καὶ φόβου· καὶ Οὐαλεριανὸς μένει παρὰ Πέρσαις ἕως τέλους
ζωῆς. Ὠδέναθος δὲ Παλμυρηνὸς ἀνὴρ στρατηγικὸς συμμαχῶν
B Ῥωμαίοις πολλοὺς διέφθειρε Περσῶν ἀναστρέφοντας κατὰ τὴν
Εὐφρατησίαν ἐπιθέμενος χώραν, ὃς καὶ στρατηγὸς τῆς ἑῴας
ὑπὸ Γαλιηνοῦ διὰ τοῦτο τετίμηται, διαφθείρας καί τινας τῶν
ἐπαναστάντων αὐτῷ Ῥωμαίων κατὰ Φοινίκην. τότε πάλιν οἱ Σκύ-
θαι καὶ Γότθοι λεγόμενοι ἐπιχωρίως διὰ τῆς Ποντικῆς θαλάσσης
ἐλθόντες εἰς Βιθυνίαν καὶ πᾶσαν Ἀσίαν καὶ Λυδίαν χωρήσαντες
τήν τε Νικομήδειαν Βιθυνίας πόλιν μεγάλην ἔλαβον καὶ τὰς Ἰω-
νίδας πόλεις διέφθειραν, τὰς μὲν ἀτειχίστους, τὰς δὲ μερικῶς
ὀχυρωθείσας καταλαβόντες, οὐ μὴν ἀλλὰ καὶ Φρυγίας ἥψαντο,
Τροίαν πορθήσαντες, Καππαδοκίαν καὶ Γαλατίαν. ἀλλὰ πά-
C λιν Ὠδέναθος κατὰ Περσῶν ἀριστεύσας καὶ Κτησιφῶντα πολιορ-

16. αὐτῷ P. αὐτὸν G. 19. Post Νικο ex A excidit folium unum, quod pertinuit usque ad ,ϛφο' p. 385 d. 22. Τροίαν m. Τρύαν G.

conscii Romani vix suorum nonnullis amissis effugere periculum; quos Sapores insequutus magnam Antiochiam, Tarsum Cilicum urbem et Caesaream Cappadociae in potestatem mittit. Persae alii praedandi cupidine dispersi Pompeiopolin ad mare sitam tollere meditati, Lycaonia vastata magna ex parte delentur, Callisto Romanorum duce a fugientibus instituto cum militaribus copiis in eos inopinato irruente. Hic Saporis pellicibus et exercitus apparatu copioso captis, ad Sebasten et Coricum classe reducta, Persarum tria millia prostravit; quibus Sapores tristatus festinans et trepidus revertitur, Valeriano ad vitae exitum penes Persas manente. Odenatus porro Palmyrenus vir bellicis rebus praestans Romanorum socius Persarum manum non exiguam redire tentantem ad Euphratesiam oppugnatam fudit; ex quo orientis dux a Gallieno creatus, Romanorum nonnullos in Phoenicia tumultuantes ad officium reduxit. Eodem tempore Scythae, quibus Gotthis patria voce nomen, Ponticum mare transfretantes in Bithyniam descenderunt, Asiamque omnem et Lydiam excurrentes Nicomediam Bithyniae urbem coeperunt, Ioniasque pariter civitates, has quidem moenibus nudatas, alias aliqua tenus munitas invaserunt; sed nec vastitate quaqua versus illata Phrygiam, Cappadociam et Galatiam reliquerunt. Verum Odenatus victoriis in Persas clarus post Ctesiphontem obsidione receptam, communi totius Asiae clade

κίᾳ παραστησάμενος, ἀκούσας τῆς Ἀσίας τὰς συμφορὰς σπουδαίως ἐπὶ τὴν Ποντικὴν Ἡράκλειαν ἔρχεται διὰ Καππαδοκίας σὺν ταῖς δυνάμεσί τισι Σκύθας καταληψόμενος αὐτόθι δολοφονεῖται ὑπό τινος Ὠδενάθου τοὔνομα καὶ αὐτοῦ. οἱ δὲ Σκύθαι πρὶν αὐτὸν ἐλθεῖν ἐπανῆλθον εἰς τὰ ἴδια διὰ τοῦ αὐτοῦ Πόντου, καὶ διαφθείρουσιν Ὠδέναθον τοῦ Ὠδενάθου φονευτὴν οἱ τούτου δορυφόροι, Ζηνοβίᾳ δὲ τῇ γαμετῇ αὐτοῦ τὴν ἀρχὴν τῆς ἑῴας ἐγχειρίζουσι.

Τότε καὶ Αἴρουλοι πεντακοσίαις ναυσὶ διὰ τῆς Μαιωτίδος λίμνης ἐπὶ τὸν Πόντον διαπλεύσαντες τὸ Βυζάντιον καὶ Χρυσόπολιν κατέλαβον. ἔνθα συμβαλόντες μάχην καὶ μικρὸν ὑποτρέψαντες D πρὸς τὸ στόμιον τοῦ Εὐξείνου Πόντου τὸ λεγόμενον ἱερὸν τῇ ἑξῆς αἰσίῳ καταπλεύσαντες πνεύματι τὸν πορθμίον Κυζίκου μὲν πρῶτον μεγίστης πόλεως Βιθυνίας προσάγουσιν, εἶτα καὶ τὰς νήσους Λῆμνον καὶ Σκῦρον δῃοῦσι. καὶ εἰς τὴν Ἀττικὴν φθάσαντες ἐμπιπρῶσι τὰς Ἀθήνας Κόρινθόν τε καὶ Σπάρτην καὶ τὸ Ἄργος καὶ τὴν ὅλην Ἀχαΐαν κατέδραμον ἕως Ἀθηναῖοι κατά τινας δυσχωρίας ἐνεδρεύσαντες αὐτοὺς πλείστους ἀνεῖλον, συνδραμόντος καὶ Γαλιηνοῦ τοῦ βασιλέως, καὶ τρισχιλίους ἀνελόντες παρὰ τὸν Νέσσον. τότε Ναυλοβάτος ὁ τῶν Αἰρούλων ἡγούμενος Γαλιηνῷ τῷ βασιλεῖ δοὺς ἑαυτὸν ἔκδοτον ὑπατικῆς ἠξιώθη τιμῆς παρ' αὐτοῦ. Αὐρίολος δέ τις Ῥωμαίων στρατηγὸς Κελτικὸς P. 333 τὸν Γαλιηνὸν δολοφονεῖ. καὶ ταῦτα μὲν περὶ Οὐαλεριανοῦ καὶ Γαλιηνοῦ τῶν βασιλέων.

5. αὐτὸν m. αὐτῷ G. 15. Vulgo δηΐουσι. 18. Vulgo δυσχωρείας.

cognita, itinere per Cappadociam facto ad Ponticam Heracleam festinus evolat; iamque in Scythas ex improviso irrupturus a quodam, cui nomen etiam Odenatus, dolis occiditur. Scythae eius adventum haud exspectandum rati per Pontum proprios sibi lares repetunt. Odenatum alterius Odenati parricidam proprii satellites conficiunt et Zenobiae eius coniugi orientis imperium committunt.

Eodem tempore Aeruli quingentis navibus vecti, Maeotide palude traiecta, in Pontum feruntur et Byzantium Chrysopolinque occupant; ibi consertis manibus nonnihil retrocedere coacti ad fauces usque Ponti Euxini, Hieron vulgo nuncupatas, postero vero die prosperis venti flatibus ad Cyzici Bithyniae insignis civitatis fretum primum escendunt, Lemnum deinde et Scyrum insulas depopulantur; tum in Atticam facta irruptione, Athenas, Corinthum, Spartam, Argos Achaiamque universam incendio et vastitate foedant; donec positis per loca difficiliora insidiis, auxiliisque a Gallieno missis, plurimos eorum Athenienses occiderunt et ad Nessum alios ter mille prostraverunt. Sub id tempus Naulobatus Aerulorum dux Gallieno Imperatori deditione facta consularis dignitatis honorem accepit. Aureolus autem Celta Romanorum dux Gallienum paratis insidiis interfecit. Et haec quidem de Valeriano et Gallieno Imperatoribus satis.

*Ἄξιον δὲ καὶ Διονυσίου τοῦ μεγάλου ἐπισκόπου Ἀλεξανδρείας παραθέσθαι τὰς χρήσεις περὶ τῶν αὐτῶν βασιλέων καὶ τοῦ κατ' αὐτοὺς διωγμοῦ καὶ τῆς οἰκείας ἐν Χριστῷ σπουδῆς καὶ ὁμολογίας.*

V. 305 *Διονυσίου ἐπισκόπου Ἀλεξανδρείας ἐκ τῆς πρὸς Ἑρμάμμωνα ἐπιστολῆς.*

B *Καὶ τῷ Ἰωάννῃ δὲ ἀποκαλύπτεται διὰ τούτων. ἐδόθη γάρ αὐτῷ, φησὶ, στόμα λαλοῦν μεγάλα καὶ βλάσφημα· καὶ ἐδόθη αὐτῷ ἐξουσία καὶ μῆνες τεσσαράκοντα δύο. ἀμφότερα δέ ἐστιν ἐπὶ Οὐαλεριανοῦ θαυμάσαι, καὶ τούτων μάλιστα τὰ πρὸ αὐτοῦ· ὡς οὕτως ἔσχε συννοεῖν, ὡς μὲν ἤπιος καὶ φιλόφρων ἦν πρὸς τοὺς ἀνθρώπους καὶ δεξιῶς πρὸς αὐτοὺς διετέθη. οὐδ' οἱ λεχθέντες ἀναφανδὸν Χριστιανοὶ γεγονέναι ὡς ἐκεῖνοι. οἰκειότατα ἐξ ἀρχῆς καὶ προσφιλέστατα φανερῶς ἦν αὐτοὺς ὑποδεχόμενος καὶ πᾶς τε ὁ οἶκος αὐτοῦ θεοσεβῶν πεπλήρωτο καὶ ἦν ἐκκλησία θεοῦ. ἀποσκευάσασθαι δὲ παρέπεισεν αὐτὸν ὁ διδάσκαλος καὶ*
C *τῶν ἀπ' Αἰγύπτου μάγων ὁ ἀρχισυνάγωγος, τοὺς μὲν καθαροὺς καὶ ὁσίους ἄνδρας κτιννύναι κελεύων ὡς ἀντιπάλους καὶ κωλυτὰς τῶν παμμιάρων καὶ βδελυκτῶν ἐπαοιδῶν ὑπάρχοντας· καὶ γάρ εἰσι καὶ ἦσαν ἱκανοὶ παρόντες καὶ ὁρώμενοι καὶ μόνον*

5. Ex Eusebii Histor. eccles. VII, 9. 7. Ἰωάννῃ] Apoc. I, 2. 11. „πρὸς τοὺς ἀνθρώπους τοῦ θεοῦ. οὐδὲ γὰρ ἄλλος οὕτω τῶν πρὸ αὐτοῦ βασιλέων εὐμενῶς καὶ δεξιῶς Barber." Goar. 18. Vulgo τιννῦναι.

Nunc quae de Imperatoribus iisdem et de mota sub eorum auspiciis persecutione, nec non de proprio suo in Christum studio et confessione Dionysius magnus Alexandriae antistes scriptis consignavit operae pretium est adiungere.

Ex Dionysii Alexandrini episcopi ad Hermammonem epistola.

Haec quidem Ioanni revelatione praecognita. Et datum est ei, inquit, os loquens magna et blasphemias. Et data est ei potestas et menses duo et quadraginta. Utraque haec circa Valerianum et quae tempore priores licet admirari; qua nimirum ratione praenoscere et clare penetrare potuerit, eum humano, miti et philosophicum omne moderamen redolente erga dei homines affectum fuisse animo, adeo ut neque ipsi, qui se Christianos publice professi sunt tam familiariter et amice a principio eos receperint; unde et eius domus religiosis viris referta ecclesiae dei specimen referebat. In deterius autem cuncta haec vertere nequitiae magister magorumque coetus per Aegyptum praeses suasit; adeo ut innoxios sanctosque viros, ceu scelestarum et exsecrandarum incantationum hostes et oppugnatores crudeliter mulctari iusserit, (sunt enim nunc, prout tunc quoque nonnulli eius virtutis fuere, ut praesentes et conspicui solummodo facti,

ἐμπνέοντες καὶ φθεγγόμενοι διασκεδάσαι τὰς τῶν ἀλιτηρίων δαιμόνων ἐπιβουλάς· τελετάς τε ἀνάγνους καὶ μαγγανείας ἐξαγίστους καὶ ἱερουργίας ἀκαλλιερήτους ἐπιτελεῖν ὑποθέμενος παῖδας ἀθλίους ἀποσφάττει, καὶ τέκνα δυστήνων πατέρων καταθύει, καὶ σπλάγχνα νεογενῆ διαιρεῖ, καὶ τὰ τοῦ θεοῦ κατακόπτειν καὶ καταχορδεύειν πλάσματα, ὡς ἐκ τούτων εὐδαιμονή- D σοντα.

Τούτοις ἐπιφέρεται λέγων· καλὰ γοῦν αὐτοῖς Μακρῖνος τῆς ἐλπιζομένης βασιλείας προσήνεγκε χαριστήρια. πρῶτον μὲν ἐπὶ τὸν καθ' ὅλου λόγον λεγόμενος εἶναι βασιλέως, οὐδὲν εὔλογον οὐδὲ καθολικὸν ἐφρόνησεν, ἀλλ' ὑποπέπτωκεν ἀρᾷ προφητικῇ τῇ λεγούσῃ· οὐαὶ τοῖς προφητεύουσιν ἀπὸ τῆς καρδίας αὐτῶν καὶ τὸ καθόλου μὴ βλέπουσιν. οὐ γὰρ συνῆκε τὴν καθόλου πρόνοιαν, οὐδὲ τὴν κρίσιν ὑπείδετο τοῦ πρὸ πάντων καὶ ἐν πᾶσι. διὸ καὶ τῆς μὲν καθολικῆς ἐκκλησίας αὐτοῦ γέγονε πολέμιος· ἠλ- P. 384 λοτρίωσε δὲ καὶ ἀπεξέωσεν ἑαυτὸν τοῦ ἐλέους τοῦ θεοῦ, καὶ ὡς πορρωτάτω ἑαυτοῦ σωτηρίας ἐφυγάδευσεν, ἐν τούτῳ τὸ ἴδιον ἐπαληθεύων ὄνομα.

Καὶ πάλιν μεθ' ἕτερά φησιν· ὁ μὲν Οὐαλεριανὸς εἰς ταῦτα ὑπὸ θεοῦ προαχθεὶς εἰς ὕβρεις καὶ ὀνειδισμοὺς ἐκδοθείς, κατὰ τὸ ῥηθὲν πρὸς Ἡσαΐαν· καὶ οὗτοι ἐξελέξαντο τὰς ὁδοὺς αὐτῶν καὶ τὰ βδελύγματα αὐτῶν, ἃ ἡ ψυχὴ αὐτῶν ἠθέλησε· κἀγὼ ἐκ-

3. καλιερήτους vulgo. Correctum ex Eusebio. 16. ἐλέους ex Eusebio. Vulgo δὲ λέγει. 21. Ἡσαΐαν] LXVI, 4.

soloque flatu, vel verbo prolato, detestabilium daemonum insidias dissipent), eiusdemque deinceps hortatibus ritus impuros, profanas praestigias, exsecrandaque sacra obivit, misellos puerulos mactavit, infelicium parentum prolem aris devovit, recens natorum divisit exta, dei denique creaturas funibus distendere et dissecare, quasi fortunam sibi prosperam conciliaturus didicit.

Istis haec alia subinfert. Imperium itaque iuxta spem consequutus grates egregias Macrinus refert. Qui prius quidem quaestor, sive aerarii regii rationum curam gerens, nil quod officii rationem vel bonum publicum respiceret, sibi proposuit; quin immo prophetico maledicto obnoxius repertus est; vae iis qui prophetant ex corde suo; et nil omnino conspiciunt. Communem enim circa universa dei providentiam, vel eius, qui ante omnia et in omnibus est iudicium non percepit; nil mirum idcirco si totius ecclesiae hostem se communem exhibuerit, et a deo alienus, ab eius clementia dissitum omnino ostenderit et a salutis via longe positus proprii nominis veritatem comprobavit.

Aliis rursum sequentia subnectit. Valerianus dei placito in eam lapsus calamitatem iniuriis hominum et opprobriis, iuxta dei ad Esaiam effatum, expositus fuit. Illi vias suas elegerunt et abominationes quas eorum anima

λέξομαι τὰ ἐμπλέγματα αὐτῶν καὶ τὰς ἁμαρτίας ἀνταποδώσω αὐτοῖς. οὗτος δὲ τῇ βασιλείᾳ παρὰ τὴν ἀξίαν παραμανεὶς καὶ τὸν βασίλειον ἀποδῦναι κόσμον ἀδυνατῶν ἀναπήρῳ τῷ σώματι τοὺς
B δύο παῖδας τὰς πατρῴας ἀναδεξαμένους ἁμαρτίας προεστήσατο. ἐναργὴς γὰρ ἐπὶ τούτων ἡ πρόρρησις, ἣν εἶπεν ὁ θεὸς ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα ἕως τρίτης καὶ τετάρτης γενεᾶς τοῖς μισοῦσί με. τὰς γὰρ ἰδίας πονηρὰς ἐπιθυμίας ὧν ἠτύχει ταῖς τῶν υἱῶν κεφαλαῖς ἐπιβαλὼν εἰς ἐκείνους τὴν ἑαυτοῦ κακίαν καὶ τὸ πρὸς θεὸν μῖσος ἐξεμόρξατο. καὶ περὶ μὲν τοῦ Οὐαλεριανοῦ, οὐ μὴν δὲ καὶ Μακρίνου ταῦτα ὁ μέγας λέγω Διονύσιος.

V. 306 ΚΟΣΜΟΥ ΕΤΗ ,εψξγ′.

Τῆς θείας σαρκώσεως ἔτη σξγ′.

C Ῥώμης εἰκοστὸς ἕβδομος ἐβασίλευσε Κλαύδιος ἔτος ἕν.

Κλαύδιος κρατήσας ἔτος ἕν.

Πράττουσι δὲ καὶ ἐπὶ τούτου δυστυχῶς Αἴρουλοι πάλιν εἰσβαλόντες ναυτικὸν πλῆθος κατὰ διαφόρους τόπους τῆς Ῥωμαίων χώρας. καὶ ποτὲ μὲν ναυμαχίαις, ποτὲ δὲ καὶ χειμῶσι, ποτὲ δὲ καὶ λιμῷ πιεσθέντες, ὑφ' οὗ καὶ κατασχεθεὶς ὁ αὐτὸς Κλαύδιος τελευτᾷ τὸν βίον. μεθ' ὃν Κεντίλιος κατέσχεν ὅλας ἡμέρας ιζ′ καὶ ἀπέθανε.

12. Addidi ἔτη. 16. ναυτικῷ πλείστῳ m. 17. καὶ ποτὲ] Vulgo καὶ τότε.

concupivit. Ego quoque illusiones eorum eligam; et crimina eorum eis retribuam. Ille igitur cum praeter meritum imperium assequutus, regiae dignitatis symbola vitiato corpore nollet deponere, filios duos paternorum criminum haeredes reliquit. Dei quippe vaticinium poenas patribus debitas ad tertiam et ad quartam generationem laesa maiestate prorogantis manifestum est. Nefaria enim consilia, a quibus exsequendis excidit, in filiorum capita propriis criminibus expressis et insito in deum odio, refudit. Et haec quidem de Valeriano, nec non de Macrino magnus Dionysius testatur.

ANNI MUNDI 5763.

DIVINAE INCARNATIONIS AN. 263.

Romanorum Imperator 27 Claudius anno uno.

Anno unico Claudius imperavit.

Eo imperante Aeruli altera classe instructi per varia Romanae ditionis loca fortunam adversam experti sunt. Et nunc quidem praeliis navalibus attriti, nunc tempestatibus agitati, nonnunquam etiam fame oppressi perierunt.

Ea calamitate Claudius ipse percussus vita fungitur; cui Quintilianus solis diebus 17 suffectus tenuit imperium et mortuus est.

## ΚΟΣΜΟΥ ΕΤΗ ͵εψξδ'. D

### Τῆς θείας σαρκώσεως ἔτη σξδ'.

Ῥώμης κη' ἐβασίλευσεν Αὐρηλιανὸς ἔτη ϛ'.

Αὐρηλιανὸς τοὺς Παλμυρηνοὺς ἐχειρώσατο καὶ Γαλλίαν ὑπέταξεν, ἐφ' οὗ φασι Φιλόστρατον τὸν Ἀθηναῖον ἱστοριογράφον καὶ Λογγῖνον ἀκμάσαι.

Τότε Ζηνοβία κατὰ Ῥωμαίων ἐπαίρεται, δύναμιν ἀθροίσασα πλείστην, καὶ Αἰγύπτου κρατεῖ, Πρόβον ἀνελοῦσα τὸν ἐκεῖ τότε στρατηγοῦντα Ῥωμαίων. ταύτην τὴν ἀκοὴν Αὐρηλιανὸς οὐκ ἐνεγκὼν ἔρχεται μετὰ στρατιᾶς καὶ πλησίον Ἀντιοχείας P. 385 τῆς κατὰ Συρίαν ἐν Ἴμμαις καλουμένῳ χωρίῳ, τοὺς μὲν Παλμυρηνοὺς διαφθείρει, Ζηνοβίαν δὲ χειρωσάμενος εἰς Ῥώμην ἤγαγε καὶ φιλανθρωπίᾳ χρησάμενος πολλῇ συνάπτει ταύτην ἐνδόξως ἀνδρὶ τῶν ἐν γερουσίᾳ.

Κρατεῖ δὲ καὶ Γάλλων κινηθέντων τότε.

Ὁρμήσας δὲ καὶ ἐπὶ Σκύθας ὑπὸ τῆς ἰδίας στρατιᾶς ἀναιρεῖται στάσει περιπεσὼν μεταξὺ Βυζαντίου καὶ Ἡρακλείας ἐν τῷ καινῷ λεγομένῳ φρουρίῳ τῶν Θρᾳκῶν, μέλλων τινὰ κατὰ Χριστιανῶν κινεῖν διωγμόν.

Ὁ δ' αὐτὸς καὶ Ἡλίου ναὸν ἐν Ῥώμῃ κατεσκεύασε χρυσῷ καὶ λίθοις ἀξιάγαστον.

Τὴν Τραϊανοῦ δὲ Δακίαν βαρβάροις ἀφεὶς ἄνδρας καὶ γυ- B

2. Addidi ἔτη. 3. κη' Barber. εἰκοστὸς ἕβδομος G. 7. Vulgo ἀθροίσας.

## ANNI MUNDI 5764.

### DIVINAE INCARNATIONIS AN. 264.

Romanorum Imperator 29 Aurelianus annis 6.

Aurelianus Palmyrenos subiugavit et Galliam sibi subiecit; cuius etiam tempore Philostratum Atheniensem historiarum scriptorem et Longinum floruisse narrant.

Sub id quoque tempus Zenobia collecto ingenti exercitu in Romanos insurgit, et perempto Romanorum duce Probo, Aegyptum sibi vindicat. Auditam cladem non ferens Aurelianus, educto exercitu in eam proficiscitur, et ad Antiochiam Syriae, loco cui nomen Immae, Palmyrenos profligat, Zenobiam bello captam Romam adducit; clementiaque plurima in eam usus senatorii ordinis viro honorato coniugio eandem locat.

Gallos eo tempore motos armis Aurelianus obtinet.

Profectione quoque in Scythas suscepta, ab exercitu proprio in ipsum tumultuante interficitur, loco cuius praesidium novum nomen est, Byzantium inter et Heracleam, cum persecutionem in Christianos movere meditaretur.

Idem solis templum auro lapidibusque ornatum Romae construxit.

Dacia porro Traiani nomine barbaris relicta, viros ac mulieres sinum

ναΐκας εἰς τὸ μεσαίτατον τῆς Μυσίας στήσας ἑκατέρωθεν, Δακίαν δὲ μέσην νομίζεσθαι.

Περσῶν πέμπτος Οὐραράκης ἐβασίλευσεν ἔτη ιζ΄.
Ῥώμης κς΄ Διονύσιος ἐπίσκοπος ἔτη η΄.
Ἀντιοχείας ἑκκαιδέκατος ἐπίσκοπος Δόμνος ἔτη γ΄.
Ἀντιοχείας ἐπίσκοπος ιζ΄ Κύριλλος ἔτη ιε΄.
C Ἀλεξανδρείας πεντεκαιδέκατος ἐπίσκοπος Μάξιμος ἔτη η΄.
Ἱεροσολύμων τριακοστὸς ἕβδομος Μαζαβάνης ἔτη κα΄.

V. 307 ## ΚΟΣΜΟΥ ΕΤΗ ,εψξε΄.

### Τῆς θείας σαρκώσεως ἔτη σξε΄.

Ῥωμαίων κθ΄ βασιλεὺς Αὐρηλιανὸς ὁ προγεγραμμένος ἔτη ς΄.
Τῷ ς΄ αὐτοῦ ἔτει Αὐρηλιανὸς μέλλων διωγμὸν κινεῖν κατὰ Χριστιανῶν θείῳ κεραυνῷ διακωλύεται. συσκευῆς δὲ γενομένης
D περὶ αὐτοῦ ἐκ τῶν κατ᾽ αὐτὸν ἐδολοφονήθη ἐν καινῷ φρουρίῳ.
Μεθ᾽ ὃν βασιλεύει Τάκητος μῆνας ς΄.
Οὗ σφαγέντος ἐν Πόντῳ βασιλεὺς Φλωριανὸς ἡμέρας πη΄.
Οὗ σφαγέντος ἐν Ταρσῷ βασιλεύει Πρόβος ἔτη ς΄, μῆνας δ΄.
Ὁμοῦ γίνονται ἔτη ζ΄.

6. ιζ΄ addidit m. 15. μῆνας P cum Eusebio p. 393. Vulgo ἔτη. 16. Φλωριανὸς Eusebius p. 393. Vulgo Φιλοριανός. 18. γίνονται m. γινόμεναι G.

Mysiae medium iussit incolere, Mysis nimirum eos hinc inde ambientibus, spatioque medio recenti dictione Dacia vocato.
Persarum rex 5 Uraraces regnavit annis 17.
Romae episcopus 26 Dionysius annis 8.
Antiochiae episcopus 16 Domnus annis 3.
Antiochiae episcopus 17 Cyrillus annis 15.
Alexandriae episcopus 15 Maximus annis 8.
Hierosolymorum episcopus 37 Mazabanes annis 21.

## ANNI MUNDI 5765.

### Divinae Incarnationis an. 265.

Romanorum Imperator 29 Aurelianus supra memoratus annis 6.
Anno imperii sexto Aurelianus in Christianos persecutionem moturus fulmine caelitus misso cohibetur; insidiis deinde domesticorum ad praesidium novum occiditur.
Post eum Tacitus mensibus 6 imperat.
Tacito in Ponto occiso Florianus Imperator constituitur diebus 88.
Eo Tarsi interfecto regnat Probus annis 6, mensibus 4.
Summa est annorum 7.

## *ΚΟΣΜΟΥ ΕΤΗ ,εψο'.*

*Τῆς θείας σαρκώσεως ἔτη σο'.*

*Τῷ τρίτῳ ἔτει Πρόβου Ἀνατόλιος ὁ Λαοδικείας ἐπίσκοπος* P. 386 *φιλοσόφοις μαθήμασι διαπρέπων ἐγνωρίζετο.*

*Τῷ δ' ἔτει Πρόβου ἡ τῶν μανέντων Μανιχαίων πανώλεθρος ἀπώλεια τῷ τῶν ἀνθρώπων παρεισήχθη βίῳ.*

*Τῷ ς' ἔτει Πρόβου Σατορνῖνος στρατοπεδάρχης τὴν καινὴν Ἀντιόχειαν ἤρξατο κτίζειν, ὃς ὕστερον ἐπαναστὰς τῇ Ῥωμαίων ἀρχῇ ἐσφάγη ἐν Ἀπαμείᾳ ὑπὸ τῶν ἰδίων. Πρόβος ἐσφάγη ἐν Σιρμείῳ.*

*Ῥωμαίων βασιλεὺς λβ' Κᾶρος σὺν τοῖς παισὶ Καρίνῳ καὶ Νουμεριανῷ ἔτη β'.*

## *ΚΟΣΜΟΥ ΕΤΗ ,εψοε'.* B

*Τῆς θείας σαρκώσεως ἔτη σοε'.*

*Τῷ πρώτῳ ἔτει Καρίνου ἐλθόντος Νουμεριανοῦ ἐν Ἀντιοχείᾳ, καὶ θελήσαντος εἰσελθεῖν ἐν τῇ ἐκκλησίᾳ καὶ κατασκοπῆσαι τὰ τῶν Χριστιανῶν μυστήρια, ὁ ἅγιος Βαβυλᾶς ἐκώλυσεν αὐτὸν λέγων· οὐκ ἔξεστί σοι ἰδεῖν τὰ τῶν Χριστιανῶν μυστήρια μεμολυσμένῳ ὄντι ἐκ τῶν εἰδωλικῶν θυσιῶν. καὶ ἀγανακτήσας Νουμεριανὸς ἐφόνευσεν αὐτόν.*

2. *ἔτη* addidi. 5. *Τῷ δὲ δ'* G. 7. *Σατουρνῖνος* G. 9. *ὑπὸ — ἐσφάγη* addidi ex P. 10. *σιρμείῳ* P. *Σαρμίῳ* G. 11. *βασιλεῖς* A. *λβ'*] *λδ'* m. 13 et 14. *,εψοζ'* et *σοζ'* m.

## ANNI MUNDI 5770.

DIVINAE INCARNATIONIS AN. 270.

Anno Probi tertio Anatolius Laodiceae episcopus philosophicis disciplinis illustris agnoscebatur.

Anno vero Probi eiusdem quarto insanientium Manichaeorum noxia pernicies in hominum notitiam invecta est.

Anno Probi sexto Saturninus magister exercitus novam Antiochiam condere adorsus est; qui demum imperium occupare molitus, Apameae necatus est.

Probus Sirmii occiditur.

Romanorum Imperator 34 Carus cum filiis Carino et Numeriano annis 2.

## ANNI MUNDI 5777.

DIVINAE INCARNATIONIS AN. 277.

Anno Carini primo, Numeriano Antiochiam profecto, ecclesiamque, ut Christianorum sacra perspiceret, ingredi volenti sanctus Babylas obstitit, dicens: tibi idolorum victimis contaminato Christianorum mysteria non licet intueri; ex quo indignatus Numerianus eum occidit.

Ῥωμαίων κζʹ ἐπίσκοπος Φῆλιξ ἔτη εʹ.

C Τῆς Ῥωμαίων ἐκκλησίας μετὰ Φήλικα γέγονεν Εὐτυχιανὸς μῆνας ηʹ.

Μεθ᾽ ὃν Γάϊος κθʹ ἐπίσκοπος ἔτη ιεʹ.

Ἀντιοχείας ιδʹ ἐπίσκοπος Κύριλλος ἔτη ιεʹ.

Ἀλεξανδρείας πεντεκαιδέκατος Μάξιμος ἔτη ιηʹ.

Ἀλεξανδρείας ἑκκαιδέκατος ἐπίσκοπος Θεωνᾶς ἔτη ιηʹ.

Ἱεροσολύμων τριακοστὸς ὄγδοος ἐπίσκοπος Ὑμέναιος ἔτη ιβʹ.

## ΚΟΣΜΟΥ ΕΤΗ ͵εψοςʹ.

D V. 308 Τῆς θείας σαρκώσεως ἔτη σοςʹ.

### Τὰ ὑπόλοιπα τοῦ Ῥωμαίων βασιλέως Κάρου.

Τῷ βʹ αὐτοῦ ἔτει Κᾶρος ἀνὴρ Γαλάτης ἀνδρεῖος ὑπάρχων ἐχειρώσατο Σαρμάτας ἐπαναστάντας. πολεμήσας δὲ καὶ Πέρσας παρέλαβε Κτησιφῶντα, ὃς παρὰ τῷ ποταμῷ Τίγριδι διαστρατοπεδευόμενος κεραυνοῦ κατασκήψαντος ἀθρόως ἅμα τῇ σκηνῇ 15 διαφθείρεται.

Μεθ᾽ ὃν ὁ Νουμεριανὸς υἱὸς αὐτοῦ βασιλεύει λʹ μόνας ἡμέρας. ἐπανιὼν γὰρ ἐκ Περσῶν καὶ ὀφθαλμιάσας ὑπὸ τοῦ ἰδίου πενθεροῦ φονεύεται, τὴν μὲν προσηγορίαν Ἄπερος, ἐξάρχου δὲ

1. Φῆλιξ m. Φίλιξ G. 2. Vulgo Φίλικα. 4. κθʹ m. κηʹ G. ἔτη m. ἐν ἔτει G. 5. ιδʹ] ιζʹ m. ἐπίσκοπος om. G. 6. πεντεκαιδέκατος] ἐπίσκοπος add. G. 7. ιηʹ] ιθʹ A. 8. ὑμέναιος P. Ύμενος G. 9 et 10 ͵εψοηʹ et σοηʹ m. 12. Τῷ αὐτῷ ἔτει G. 13. δὲ καὶ] δὲ om. G.

Romae episcopus 27 Felix annis 5.
Romanorum ecclesiae post Felicem pontifex fuit Eutychianus mensibus 8.
Post quem Caius episcopus 29 annis 15.
Antiochiae episcopus 17 Cyrillus annis 15.
Alexandriae episcopus 15 Maximus annis 18.
Alexandriae episcopus 16 Theonas annis 18.
Hierosolymorum episcopus 38 Hymenaeus annis 12.

## ANNI MUNDI 5778.

DIVINAE INCARNATIONIS AN. 278.

### Cari Romanorum Imperatoris reliqua gesta.

Eodem anno Carus in Gallia natus virtute praestans Sarmatas rebelles edomuit; belloque in Persas moto Ctesiphontem recepit, et ad Tigris fluvium castra metatus, subito fulminis ictu in tentorio exstinguitur.

Post eum Numerianus filius solis diebus triginta imperat. E Persia quippe reversus oculorum morbo laborans, a proprio socero, erat ei nomen

κατὰ τὸ στρατόπεδον ὄντος καὶ βασιλεῦσαι σπουδάσαντος, πλὴν P. 387 ἀλλὰ τῆς ἐλπίδος ἀποτυχόντος, ἡ στρατεία γὰρ πᾶσα Διοκλητιανὸν ἀνηγόρευσε βασιλέα συστρατευσάμενον τῷ Κάρῳ, τότε καὶ πολλὴν ἀνδρείαν ἐπιδειξάμενον, Δαλμάτην τὸ γένος, καὶ τῆς συγκλήτου βουλῆς μετέχοντα ἐν ὑπατείαις ἠξιωμένον. ἦν δὲ τότε κατὰ τὴν Ῥώμην Καρῖνος ὁ Κάρου παῖς ὑπὸ τοῦ πατρὸς ἐκεῖ καταλειφθεὶς, ἡνίκα ἐπὶ Πέρσας ἐστράτευσε, χαλεπὸς τοῖς Ῥωμαίοις φανείς. Διοκλητιανὸς δὲ παραλαβὼν τὴν ἀρχὴν τὸν μὲν ὕπαρχον Ἄπερα τὸν τοῦ Νουμεριανοῦ σφαγέα παραχρῆμα φονεύει, τὸν δὲ Καρῖνον ἀδίκως τῇ ἀρχῇ χρώμενον ἀναζεύξας εἰς Ῥώμην ἀναιρεῖ. καὶ ἄριστος κατὰ πᾶσαν τὴν ἡγεμονίαν φα- B νεὶς τοῖς Ῥωμαίοις ἐβασίλευσεν κ' χρόνους.

Ῥώμης ἐπίσκοπος κη' Γάϊος ἔτη ιε'.
Ἀντιοχείας ἐπίσκοπος ιθ' Κύριλλος ἔτη ιε'.
Ἀλεξανδρείας ις' ἐπίσκοπος Θεωνᾶς ἔτη ιθ'.
Ἱεροσολύμων λη' ἐπίσκοπος Ὑμέναιος ἔτη δώδεκα.

### Ἐκ τῆς ἐκκλησιαστικῆς συγγραφῆς Εὐσεβίου τοῦ Παμφίλου C περὶ Παύλου τοῦ Σαμοσατῶν καὶ τῆς κακίας αὐτοῦ.

Ἐν τούτῳ δὲ καὶ Δημητριανοῦ κατὰ Ἀντιόχειαν τὸν βίον μεταλλάξαντος τὴν ἐπισκοπὴν Παῦλος ὁ Σαμοσατῶν παραλαμβά-

3. Κάρῳ m. Καιρῷ G. 5. μετέχοντα om. G. ἐξ ὑπατείας P. 6. ὁ Καρῖνος ὁ G. 7. καταληφθεὶς G. 9. ὕπαρχον] Ἔπαρχον G. τοῦ om. G. 14. ιθ'] ις' m. 16. Vulgo Τμένεος. 17. Εὐσεβίου] Histor. eccles. VII, 27. 20. τῆς ἐπισκοπῆς G.

Aper, exercitus totius legato tyrannidem affectante vita imperioque privatur; verum infelice successu. Diocletianum enim Dalmatia oriundum, Cari castra diutius sequutum, robore praestantem virum et senatorum ordini adlectum, ac consulari quoque dignitate conspicuum exercitus Imperatorem praeficit. Ea tempestate Carinus Cari filius a patre in Persas bellum moturo Romae relictus agrestis omnino et intolerandam potestatem in Romanos exercens morabatur. Diocletianus porro imperium adeptus, Apro Numeriani interfectori mortem infert, Romamque regressus, Carinum nequissimis moribus imperio abutentem tollit e medio; optimusque quamdiu vixit iudicatus Romanis annis 20 imperavit.

Romae episcopus 28 Caius annis 15.
Antiochiae episcopus 17 Cyrillus annis 15.
Alexandriae episcopus 16 Theonas annis 19.
Hierosolymorum episcopus 38 Hymenaeus annis 12.

### Ex Eusebii Pamphili ecclesiastica historia de Paulo Samosatensi et eius nequitia.

Interim Demetriano vita functo Paulus Samosatensis pontificatum susci-

νει. τούτου δὲ ταπεινὰ καὶ χαμαιπετῆ περὶ τοῦ Χριστοῦ παρὰ τὴν ἐκκλησιαστικὴν διδασκαλίαν φρονήσαντος, ὡς κοινοῦ τῆς φύσεως ἀνθρώπου γενομένου, ὁ μὲν κατὰ Ἀλεξάνδρειαν Διονύσιος παρακληθεὶς, ὡς ἂν ἐπὶ τὴν σύνοδον ἀφίκοιτο, γῆρας ὁμοῦ καὶ ἀσθένειαν τοῦ σώματος αἰτιασάμενος ἀνατίθεται τὴν παρου-
D σίαν δι' ἐπιστολῆς τὴν αὐτοῦ γνώμην ἣν ἔχει περὶ τοῦ ζητουμένου παραστήσας. οἱ δὲ λοιποὶ τῶν ἐκκλησιῶν ποιμένες ἄλλος ἄλλοθεν ὡς ἐπὶ λυμεῶνα τῆς Χριστοῦ ποιμνῆς συνῄεσαν οἱ πάντες ἐπὶ τὴν Ἀντιόχειαν σπεύδοντες. τούτων οἱ μάλιστα διέπρεπον Φιρμιλιανὸς μὲν τῆς Καππαδοκῶν Καισαρείας ἐπίσκοπος ἦν, Γρηγόριος δὲ καὶ Ἀθηνόδωρος ἀδελφοὶ τῶν κατὰ Πόντον παροικιῶν ποιμένες, καὶ ἐπὶ τούτοις Ἕλενος τῆς ἐν Ταρσῷ παροικίας καὶ Νικομᾶς τῆς ἐν Ἰκονίῳ, οὐ μὴν ἀλλὰ τῆς ἐν Ἱεροσολύμοις ἐκκλησίας Ὑμέναιος, τῆς ὁμόρου ταύτης Καισαρείας Μάξιμος ἔτι πρὸς τούτοις, τῶν κατὰ Βῶστραν δὲ καὶ οὗτος ἀδελφῶν δια-
V. 809 πρεπῶς ἡγεῖτο· μυρίους τε ἄλλους οὐκ ἂν ἀπορήσαι τις ἅμα
P. 388 πρεσβυτέροις καὶ διακόνοις τῆς αὐτῆς ἕνεκεν αἰτίας ἐν τῇ προειρημένῃ πόλει συγκροτηθέντας ἀπαριθμούμενος· ἀλλὰ τούτων γε οἱ μάλιστα ἐπιφανεῖς οἵδε ἦσαν. πάντων οὖν κατὰ καιροὺς διαφόρως καὶ πολλάκις ἐπὶ ταὐτὸ συνιόντων λόγοι καὶ ζητήσεις καθ' ἑκάστην ἀνεκινοῦντο σύνοδον, τῶν μὲν ἀμφὶ τὸν Σαμοσατέα τῆς κακοδοξίας ἐπικρύπτειν ἔτι καὶ παρακαλύπτεσθαι πειρωμένων,

2. κοινοῦ] κοινῆς G. 4. ἐπὶ] εἰς G. ἀφίκοιτο P. ἀφίκοιτο G. 8. συνίεσαν G. 14. ὑμένεος A. Ὑμένεως G. 15. δὲ om. G. 16. Vulgo ἀποῤῥῆσαι. 19. διαφόρως om. G.

pit. Hic vili nimium et terram redolente sententia, ac si cum hominibus reliquis una fuerit ei communisque natura praeter receptam ecclesiae doctrinam de Christo dogma protulerat. Quare ut ad synodum convenerit rogatus Alexandriae praesul Dionysius senectutem viresque corporis infirmas causatus adventum differt, scripto vero propriam de re quaesitam opinionem exponit; pastores ecclesiae reliqui, alius aliunde, velut ad communem a Christi caula luem depellendam festinantes cuncti Antiochiam confluunt. Inter hos maxime praestabant Firmilianus Caesareae Cappadocum antistes, Gregorius et Athenodorus fratres ecclesiarum, quae sunt in Ponto pastores, quibus Helenus ecclesiae Tarsensis, et Nicomas Iconiensis episcopi adiuncti, Hymenaeus quoque Hierosolymorum, nec non Caesareae ei finitimae Theotecnus et Maximus insuper fratribus Bostrae civitatis insigniter praefectus; at licet aliorum, qui ad praedictam civitatem cum presbyteris et diaconis convenerunt multitudinem immensam vix emetiri dicendo quispiam possit; prae reliquis tamen hi maxime fuere conspicui. Cunctis igitur statuto tempore, redeuntibusque comitiis in locum eundem convocatis, dubia quaestionesque per conventus singulos agitabantur; et Samosatensis quidem sequaces depravatam eius vesaniam pro viribus tegere et oc-

τῶν δὲ ἀπογυμνούντων καὶ εἰς φανερὸν ἄγειν τὴν αἵρεσιν καὶ τὴν εἰς Χριστὸν βλασφημίαν αὐτοῦ διὰ σπουδῆς ποιουμένων. ἐν τούτῳ δὲ Διονύσιος τελευτᾷ κατὰ τὸ ιβ' τῆς Γαλιηνοῦ βασιλείας πρὸς τὰς τῆς κατὰ Ἀλεξάνδρειαν ἐπισκοπῆς ἔτεσι ιζ'. διαδέχεται δ' αὐτὸν Μάξιμος. Γαλιηνοῦ δὲ ἐφ' ὅλοις ἐνιαυτοῖς πεντεκαίδεκα B τὴν ἀρχὴν κεκρατηκότος Κλαύδιος κατέστη διάδοχος. δεύτερον οὗτος διελθὼν ἔτος Αὐρηλιανῷ μεταδίδωσι τὴν ἡγεμονίαν.

Καθ' ὃν τελευταίας συγκροτηθείσης πλείστων ὅσων ἐπισκόπων συνόδου, φωραθεὶς καὶ πρὸς ἁπάντων ἤδη σαφῶς καταγνωσθεὶς ἑτεροδοξίαν ὁ τῆς κατὰ Ἀντιόχειαν αἱρέσεων ἀρχηγὸς, ἐκ τῆς ὑπὸ τῶν οὐρανῶν καθολικῆς ἐκκλησίας ἀποκηρύττεται. μάλιστα δ' αὐτὸν εὐθύνας ἐπικρυπτόμενον διήλεγξε Μαλχίων, ἀνὴρ τά τε ἄλλα λόγιος καὶ σοφίας ἀνάπλεως, τοῦ τῶν ἐπ' Ἀντιοχείας Ἑλληνικῶν παιδευτηρίου προεστὼς, οὐ μὴν ἀλλὰ καὶ C δι' ὑπερβάλλουσαν τῆς εἰς Χριστὸν πίστεως γνησιότητα πρεσβυτερίου τῆς αὐτόθι παροικίας ἠξιωμένος. οὗτός γέ τοι ἐπισημειωμένων ταχυγράφων ζήτησιν πρὸς αὐτὸν ἐνστησάμενος, ἣν καὶ εἰς δεῦρο φερομένην ἴσμεν, μόνος ἴσχυσε τῶν ἄλλων κρυψίνουν ὄντα καὶ ἀπατηλὸν φωρᾶσαι τὸν ἄνθρωπον. μίαν δὴ οὖν ἐκ κοινῆς γνώμης οἱ ἐπὶ τὸ αὐτὸ συγκεκροτημένοι ποιμένες διαχαράξαντες

3. κατὰ τὸ Eusebius. Vulgo κατὰ τῷ. Vulgo Γαλιήνου et sic infra. 5. ὅλοις Eusebius. Vulgo ὅλοις τοῦ. 11. Ἀντιοχείας G. 13. εὐθύνων G. Vulgo ἐπικρυπτούμενον. 16. πρεσβυτερίου Eusebius. πρεσβυτέρου A. πρεσβύτερον G. 17. γέ τοι om. G.

cultam tenere conabantur; in adversum alii eius haeresin et in Christum blasphemiam denudare et ad lumen exponere studiosius contendebant. Interim Gallieni anno duodecimo Dionysius ecclesiam Alexandrinam annis septemdecim moderatus excedit e vita et Maximus successor subrogatur; Gallienum annis quindecim totis imperio potitum Claudius princeps excipit, qui anno secundo potestatem tenens eam Aureliano tradit.

Cuius temporibus postrema, qui convenire potuerint, episcoporum synodo coacta, suspectus ac iam manifesti erroris signifer et auctor convictus Antiochiae praesul, ab universa, quae sub caelo est, ecclesia condemnatur. Eum fallaciis quantumvis se integentem et involutum Malchion vir, cum alia scientia clarus, tum divina maxime sapientia illustris, qui ea tempestate Graecanicarum sive humaniorum litterarum scholam regebat, ac propter eximiam in Christum fidei suae sinceritatem presbyteri dignitatem obtinebat, summa sagacia arguit. Ille notariis excipientibus, quam ad haec usque tempora scriptis consignatam tenemus disputationem instituit et hostem licet argutum et veteratorem prae reliquis deprehendit. In unam itaque pastores ecclesiarum sententiam conspirantes, ad Dionysium

ἐπιστολὴν, εἰς πρόσωπον τοῦ τε Ῥωμαίων ἐπισκόπου Διονυσίου καὶ Μαξίμου τοῦ κατὰ Ἀλεξάνδρειαν ἐπὶ πάσας τε διαπέμποντες τὰς ἐπαρχίας, τὴν αὐτῶν μὲν σπουδὴν τοῖς πᾶσι φανερὰν καθιστῶντες, καὶ τοῦ Παύλου δὲ τὴν διάστροφον ἑτεροδοξίαν ἐλέγχους τε καὶ ἐρωτήσεις ἃς πρὸς αὐτὸν ἀνακεκινήκασι, καὶ ἔτι τὸν
D πάντα βίον τε καὶ τρόπον τοῦ ἀνδρὸς διηγούμενοι. ἐξ ὧν μνήμης ἕνεκεν καλῶς ἂν ἔχοι ταύτας αὐτῶν ἐπὶ τοῦ παρόντος διελθεῖν τὰς φωνάς. Διονυσίῳ καὶ Μαξίμῳ καὶ τοῖς κατὰ τὴν οἰκουμένην πᾶσι συλλειτουργοῖς ἡμῶν ἐπισκόποις καὶ πρεσβυτέροις καὶ διακόνοις καὶ πάσῃ τῇ ὑπὸ τὸν οὐρανὸν καθολικῇ ἐκκλησίᾳ· Ἕλενος καὶ Ὑμέναιος καὶ Θεόφιλος καὶ Θεότεκνος καὶ Μάξιμος καὶ Πρόκλος, Νικομᾶς καὶ Αἰλιανὸς καὶ Παῦλος καὶ Βωλανὸς, Πρωτογένης καὶ Ἱέραξ καὶ Εὐτυχὴς καὶ Θεόδωρος καὶ Μαλχίων καὶ Λούκιος καὶ οἱ λοιποὶ πάντες οἱ σὺν ἡμῖν παροικοῦντες τὰς ἐγγὺς πόλεις καὶ ἔθνη ἐπίσκοποι καὶ πρεσβύτεροι καὶ διάκονοι καὶ αἱ
P. 389 ἐκκλησίαι τοῦ θεοῦ, ἀγαπητοῖς ἀδελφοῖς ἐν κυρίῳ χαίρειν. τούτοις μετὰ βραχέα ἐπιλέγουσι ταῦτα. ἐπιστέλλομεν δὲ ἅμα καὶ παρακαλοῦμεν καὶ πολλοὺς καὶ τῶν μακρὰν ἐπισκόπων ἐπὶ τὴν θεραπείαν τῆς θανατηφόρου διδασκαλίας, ὥσπερ καὶ Διονύσιον τὸν ἐπὶ τῆς Ἀλεξανδρείας καὶ Φιρμιλιανὸν τὸν ἀπὸ τῆς Καππαδοκῶν τοὺς μακαρίτας, ὧν ὁ μὲν καὶ ἐπέστειλεν εἰς τὴν Ἀντιόχειαν τὸν ἡγεμόνα τῆς πλάνης οὐδὲ προσρήσεως ἀξιώσας οὐδὲ

4. ἐλέγχους P. ἐλέγχου G. 11. Vulgo Ύμένεος. 20. Καππαδοκιῶν G. 21. μὲν καὶ] καὶ om. G. εἰς τὴν] εἰς τὴν αὐτὴν G.

episcopum Romanum privatim, et ad Alexandriae Maximum, tum ad provincias reliquas litteras dedere communes, quibus studium in fidem suum, et aversam ab ea Pauli opinionem fraudulentam aperuere; et insimul argumenta, interrogationesque in eum motas, ad haec hominis mores et vitae institutum palam manifestum fecere; ex quibus voces istas posterorum memoriae commendandas praesenti loco percurrere iuvabit. Dionysio et Maximo et cunctis per orbem universum collegis, episcopis, presbyteris, diaconis, et universae, quae sub caelo est, ecclesiae, Helenus et Hymenaeus et Theophilus et Theotecnus et Maximus et Proclus et Nicomas et Aelianus et Paulus et Bolanus et Protogenes et Hierax et Eutyches et Theodorus et Malchion et Lucius et reliqui omnes, qui finitimas civitates et nationes incolunt episcopi et presbyteri et diaconi et ecclesiae dei; dilectis fratribus in domino: salutem. Paucis mox praemissis subiungunt ista. Una cuncti scribimus et episcoporum a nobis dissitorum plures remedio pestiferae huiuscemodi doctrinae ferendo precibus sollicitavimus, inter quos Dionysium Alexandriae et Firmilianum Cappadociae praesules B. memoria dignos recensemus; quorum ille quidem litteras Antiochiam misit, ne salute quidem erroris auctori impertita, vel aliis ad eum privatim datis,

πρὸς πρόσωπον γράψας αὐτῷ, ἀλλὰ τῇ παροικίᾳ πάσῃ, ἧς τὸ
ἀντίγραφον ὑπετάξαμεν. ὁ δὲ Φιρμιλιανὸς καὶ δὶς ἀφικόμενος
κατέγνω μὲν τῶν ὑπ' ἐκείνου καινοτομουμένων, ὡς ἴσμεν καὶ
μαρτυροῦμεν οἱ παραγενόμενοι καὶ ἄλλοι πολλοὶ συνίσασιν, ἐπαγ- V. 310
γειλαμένου δὲ μεταθήσεσθαι, πιστεύσας καὶ ἐλπίσας ἄνευ τινὸς B
περὶ τὸν λόγον λοιδορίας τὸ πρᾶγμα εἰς δέον καταστήσασθαι ἀνε-
βάλλετο, παρακρουσθεὶς ὑπὸ τοῦ καὶ τὸν θεὸν τὸν ἑαυτοῦ καὶ
κύριον ἀρνουμένου καὶ τὴν πίστιν ἣν καὶ αὐτὸς πρότερον εἶχε μὴ
φυλάξαντος. ἔμελλε δὲ νῦν ὁ Φιρμιλιανὸς εἰς τὴν Ἀντιόχειαν
διαβήσεσθαι, καὶ μέχρι γε Ταρσὸν ἧκεν, ἅτε τῆς ἀρνησι-
θέου κακίας πεῖραν εἰληφώς. ἀλλὰ γὰρ μεταξὺ συνεληλυθότων
καὶ καλούντων καὶ ἀναμενόντων, ἄχρις ἂν ἔλθῃ, τέλος ἔσχε τοῦ
βίου.

Μεθ' ἕτερα δ' αὖθις τὸν βίον αὐτοῦ οἵας ἐτύγχανεν ἀγω-
γῆς διαγράφουσιν ἐν τούτοις. ὅπου δὲ ἀποστὰς τοῦ κανόνος ἐπὶ
κίβδηλα καὶ νόθα διδάγματα μετελήλυθεν οὐδὲν δεῖ τοῦ ἔξω ὄν- C
τος τὰς πράξεις κρίνειν, οὐδ' ὅτι πρότερον πένης ὢν καὶ πτωχὸς
καὶ μήτε παρὰ πατέρων παραλαβὼν μηδεμίαν εὐπορίαν, μηδὲ
ἐκ τέχνης ἢ τινος ἐπιτηδεύματος κτησάμενος, νῦν εἰς ὑπερβάλ-
λοντα πλοῦτον ἐλήλακεν, ἐξ ἀνομιῶν καὶ ἱεροσυλιῶν καὶ ὧν αἰτεῖ
καὶ σείει τοὺς ἀδελφοὺς καταβραβεύων τοὺς ἀδικουμένους, καὶ
ὑπισχνούμενος βοηθήσειν μισθοῦ, ψευδόμενος δὲ καὶ τούτοις καὶ

6. καταστήσεσθαι G. 11. κακίας] αὐτοῦ κακίας G. 15. ὅπου Eusebius. Vulgo οὔπω.

sed ecclesiae duntaxat toti scripsit, quarum exemplar inferius subiecimus. Alter autem, nempe Firmilianus bis huc accessit, et ficta eius opinata (quemadmodum nos qui aderamus et alii plures nobiscum testantur) proscripsit, Paulo vero a sententia defectionem pollicenti fidem praebens, remque omnem controversam absque ullis contumeliis componendam ratus, differebat iudicium; et hoc pacto ab eo, qui deum suum et dominum negaverat et fidem prius acceptam deseruerat, deceptus est. Firmilianus Antiochiam venturus erat, et usque Tarsum iam profectus, perduellis in deum et fidei desertoris perfidiam expertus est. Eo loci dum convenimus, advocamus, et adventum eius praestolamur, excessit e vita.

Et aliis rursum interiectis, Pauli vitam quibus institutus deturpata fuerit, describunt. Quo vero pacto desertis ecclesiae regulis ad falsa et adulterina commenta tuenda diverterit, cum iam ecclesiae sit exsors, nil referre attinet, neque quod in angusta re familiari, nullas a parentibus facultates nactus, nullius etiam artis vel industriae peritus rerum omnium copia nunc abundet, ut rapinis et sacrilegiis, vel a fratribus nonnihil exigens, vel eorum crumenas excutiens ditescat, et oppressorum vindicem et opem pretio interposito laturum pollicitus, cunctos deludit mendaciis;

μάτην καρπούμενος τὴν τῶν ἐν πράγμασιν ὄντων ἑτοιμότητα πρὸς τὸ διδόναι ὑπὲρ ἀπαλλαγῆς τῶν ἐνοχλούντων πορισμὸν ἡγούμενος D τὴν θεοσέβειαν, οὔτε ὡς ὑψηλὰ φρονεῖ καὶ ὑπερῆρται κοσμικὰ ἀξιώματα ὑποδυόμενος, καὶ δουκηνάριος μᾶλλον ἢ ἐπίσκοπος θέλων καλεῖσθαι, καὶ σοβῶν κατὰ τὰς ἀγορὰς καὶ ἐπιστολὰς ἀναγινώσκων καὶ ὑπαγορεύων· ἅμα βαδίζων δημοσίᾳ καὶ δορυφορούμενος, τῶν μὲν προπορευομένων, τῶν δ' ἑπομένων πολλῶν τὸν ἀριθμὸν, ὡς καὶ τὴν πίστιν φθονεῖσθαι, μισεῖσθαί τε διὰ τὸν ὄγκον αὐτοῦ καὶ τὴν ὑπερηφανίαν τῆς καρδίας, οὔτε τὴν ἐν ταῖς ἐκκλησιαστικαῖς συνόδοις τερθρείαν ἣν μηχανᾶται δοξοκοπῶν καὶ φαντασιοκοπῶν καὶ τὰς τῶν ἀκεραιοτέρων ψυχὰς τοῖς τοιούτοις ἐκπλήττων, P. 390 βῆμα μὲν καὶ θρόνον ὑψηλὸν ἑαυτῷ κατασκευασάμενος οὐχ ὡς Χριστοῦ μαθητὴς, ἀλλ' ὡς Ἀντιχρίστου πρόδρομος καὶ μιμητὴς, σέκρετον δὲ ὥσπερ οἱ τοῦ κόσμου ἄρχοντις ἔχων τε καὶ ὀνομάζων· παίων τε τῇ χειρὶ τὸν μηρὸν καὶ τὸ βῆμα ἀγάττων τοῖς ποσὶ καὶ τοῖς μὴ ἐπαινοῦσι μηδὲ ὥσπερ ἐν τοῖς θεάτροις κατασείουσι ταῖς ὀθόναις, μηδὲ ἐκβοῶσί τε καὶ ἀναπηδῶσι κατὰ τὰ αὐτὰ τοῖς ἀμφ' αὐτὸν στασιώταις ἀνδράσι τε καὶ γυναίοις ἀκόσμως οὕτως ἀκροωμένοις, τοῖς δ' οὖν ὡς ἐν οἴκῳ

2. ὑπεραπαλλαγεὶς A. πορισμῶν A. 8. ὑπερήρτηται G. 8. καὶ μισεῖσθαι P. μιμεῖσθαί τε G. 9. τὴν om. G. 12. ἑαυτῷ om. G. 13. οὐχ ὡς — πρόδρομος addidi ex A. Priora οὐχ — μαθητὴς etiam ex P enotata sunt. 14. ἔχοντες P. 15. τῇ om. G. 16. ἐπαινοῦσι AP. ἐπινοοῦσι G. 17. ἐκβοῶσι P. ἐκ τῶν βοῶσι G. τε om. G.

multaque nummorum accessione sibi facta, ex dandi facilitate, qua qui negotiis occupantur ferri se sentiunt, ipse molestiis eorum (ita pietatem lucrum arbitratur) solerter se expedit, vel quantum insolescat et mundi dignitates affectet et ducenarius potius ambiat, quam episcopus vocari, ut per fora plateasque vagetur, hic legat litteras, ibi responsa iubeat, utque procedens in publicum adeo copioso cum praeviorum tum sequentium satellitio stipetur, ut propter eius arrogantiam et cordis elationem in invidiam trahatur fidei nostrae sinceritas, nihil opus est commemorare. Ad haec onerosum est dicendo persequi praestigias omnes, et excogitatas illecebras, quibus sola gloriola vanaque laudis imagine sibi proposita simpliciorum captat et devincit animos. Tribunal quidem et excelsum thronum, non in Christiani discipuli morem, quin immo ad terrenorum magistratuum instar secretum etiam ab eo nuncupatum, paravit; et nunc quidem femore manu percusso, nunc tribunali pedibus pulsato, eos qui dicenti non applauserint ac velut in theatro agitatis sudariolis non acclamaverint, vel qui una cum factionariis homuncionibus et mulierculis eius latera incomposite stipantibus non exsilierint, eos, inquam, qui modeste

θεοῦ σεμνοπρεπῶς καὶ εὐτάκτως ἀκούουσιν ἐπιτιμῶν καὶ ἐνυβρίζων, καὶ εἰς τοὺς ἀπελθόντας ἐκ τοῦ βίου τούτου παραινῶν ἐξηγητὰς τοῦ λόγου, φορτικῶς ἐν τῷ κοινῷ καὶ μεγαλορημονῶν περὶ αὐτοῦ καθάπερ οὐκ ἐπίσκοπος, ἀλλὰ σοφιστὴς καὶ γόης· B ψαλμοὺς μὲν τοὺς εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν παύσας, ὡς δὴ νεωτέρους καὶ νεωτέρων ἀνδρῶν συγγράμματα εἰς ἑαυτὸν δὲ ἐν μέσῃ τῇ ἐκκλησίᾳ τῇ μεγάλῃ τοῦ πάσχα ἡμέρᾳ ψαλμῳδεῖν γυναῖκας παρασκευάζων, ὧν καὶ ἀκούσας ἄν τις φρίξειεν, οἷα καὶ τοὺς θωπεύοντας αὐτὸν ἐπισκόπους τῶν ὁμόρων ἀγρῶν τε καὶ πόλεων καὶ πρεσβυτέρους ἐν ταῖς πρὸς τὸν λαὸν ὁμιλίαις καθίησι διαλέγεσθαι. τὸν μὲν γὰρ υἱὸν οὐ βούλεται συνομολογεῖν ἐξ οὐρανοῦ κατεληλυθέναι, (ἵνα τι προλαβόντες τῶν μελλόντων γραφήσεσθαι θῶμεν, καὶ τοῦτο οὐ λόγῳ ψιλῷ ῥηθήσεται, ἀλλ' V. 311 ἐξ ὧν ἐπέμψαμεν ὑπομνημάτων δείκνυται πολλαχόθεν, οὐχ C ἥκιστα δὲ ὅπου λέγει Ἰησοῦν Χριστὸν κάτωθεν) οἱ δὲ εἰς αὐτὸν ψάλλοντες καὶ ἐγκωμιάζοντες ἐν τῷ λαῷ ἄγγελον τὸν ἀσεβῆ διδάσκαλον ἑαυτῶν ἐξ οὐρανοῦ κατεληλυθέναι λέγουσι, καὶ ταῦτα οὐ κωλύει, ἀλλὰ καὶ λεγομένοις πάρεστιν ὁ ὑπερήφανος. τὰς δὲ συνεισάκτους αὐτῷ γυναῖκας, ὡς Ἀντιοχεῖς ὀνομάζουσι, καὶ τῶν περὶ αὐτὸν πρεσβυτέρων καὶ διακόνων, οἷς καὶ τοῦτο καὶ

2. τούτου P. τοῦτο G. παροινῶν G. 7. δὲ A. καὶ G. 14. δείκνυται P. δεινοί τε G. 15. δὲ om. G. 16. ἄγγελον P. ἄγγελοι G.

et cum ordine, prout in dei templum convenientes decet, aures praebuerint, probris et contumeliis onerat. Ecquid in divini verbi expositores vita iam functos petulanter effutiit, quantum in se publice laudando onerosus, quantum nomini proprio extollendo, non ut episcopus, sed ut circulator frequens sit et ingerat fastidii, referemus? Psalmis in domini nostri Iesu Christi res gestas collimantibus repudiatis, quasi nupere inventis vel nupero stilo conscriptis, ipse in ecclesiae coetu, ipso solemni paschatis die, leves in proprium nomen cantilenas, (quas si quis audiat, perhorrescit), mulierculas praecepit modulari; et quaedam alia de industria composita finitimorum agrorum et urbium episcopos et presbyteros sibi abblandientes habitis ad populum concionibus recitari permisit. Porro filium dei a caelis descendisse nobiscum fateri renuit, (proferamus enim etiam num quod uberius expositum sumus, quamvis fidem non nudis solum verbis, sed ex monumentis, quae iam misimus, quasi copioso argumentorum agmine confirmemus, ubi maxime ab istis infimis Christum originem duxisse opinatur), ex adverso vero qui cantibus audiente populo laudes eius personant, impium doctrinae propriae magistrum velut angelum e caelo delapsum praedicant. Haec porro tantum abfuit, ut prohiberet, quin immo ex gloriolae cupidine recitata praesens approbavit. Quas autem ad cohabitandum mulieres, Inductas Antiocheni nuncupant, aliasque in presbyterorum et dia-

τὰ ἄλλα ἁμαρτήματα ἀνίατα ὄντα συγκρύπτει συνειδὼς καὶ ἐλέγξας, ὅπως αὐτοὺς ὑπόχρεως ἔχει, περὶ ὧν λόγοις καὶ ἔρ-
D γοις ἀδικεῖ, μὴ τολμῶντας κατηγορεῖν τῷ καθ' ἑαυτοὺς φόβῳ, ἀλλὰ καὶ πλουσίους ἀπέφηνεν, ἐφ' ὃ πρὸς ταῦτα ζηλούντων φιλεῖται καὶ θαυμάζεται, τί ἂν ταῦτα γράφοιμεν; ἐπιστάμεθα δὲ, ἀγαπητοὶ, ὅτι τὸν ἐπίσκοπον καὶ τὸ ἱερατεῖον ἅπαν παράδειγμα εἶναι δεῖ τῷ πλήθει πάντων τῶν καλῶν ἔργων, καὶ οὐδὲ ἐκεῖνο ἀγνοοῦμεν ὅσοι ὑπὸ τοῦ συνεισάγειν ἑαυτοῖς γυναῖκας ἐξέπεσον, οἱ δὲ ὑπωπτεύθησαν, ὥστε εἰ καὶ δοίη τις αὐτῷ τὸ μηδὲν ἀσελγὲς ποιεῖν, ἀλλὰ τήν γε ὑπόνοιαν τὴν ἐκ τοῦ
P. 391 τοιούτου πράγματος φυομένην ἐχρῆν εὐλαβηθῆναι μή τινας σκανδαλίσῃ, τοὺς δὲ καὶ μιμεῖσθαι προτρέψῃ. πῶς γὰρ ἂν ἐπιπλήξειεν ἢ νουθετήσειεν ἕτερον μὴ συγκαταβαίνειν ἐπιπλέον εἰς ταὐτὸν γυναικὶ μὴ ὀλίσθῃ φυλαττόμενον, ὡς γέγραπται, ὅστις μίαν μὲν ἀπέστησεν ἤδη, δύο δὲ ἀκμαζούσας καὶ εὐπρεπεῖς τὴν ὄψιν ἔχει μεθ' ἑαυτοῦ, κἂν ἀπίῃ που, συμπεριφέρει; καὶ ταῦτα τρυφῶν καὶ ὑπερεμπιπλάμενος, ὧν ἕνεκα στενάζουσι μὲν καὶ ὀδύρονται πάντες καθ' αὑτούς· οὕτω δὲ τὴν τυραννίδα καὶ δυναστείαν αὐτοῦ πεφόβηνται ὥστε κατηγορεῖν μὴ τολμᾶν, ἀλλὰ ταῦτα μὲν, ὡς προειρήκαμεν, εὔθυνεν ἂν

4. ἐφ' ὃ] ἐξ ὧν G. 14. Vulgo ὀλίσθῃ. ὠλίσθη A. ὡς accessit ex P. 16. ἀπίῃ Eusebius. ἀπείῃ P. ἀπῇν G. 18. ὀδύρωνται A. πάντες add. P. 20. εὔθυνεν Eusebius. Vulgo εὐθύνειν.

conorum contuberniis retentas, quorum criminum vel aliorum a medela certe longe positorum ipse conscius, alios in delictis, quae gestis verbisque perpetrat, deprehensos nulla tenus redarguit, (sed neque ipsi poenae sibi impendentis metu episcopum accusare ausi sunt), imo ut muneribus delinivit, ita vicissim apud horum sectatores in pretio est et admiratione, quid verbis referre necesse est? Hoc certe, dilecti, constat, episcopum et sacrum omnem coetum bonorum omnium operum exemplar populo propositum; neque nos latet aliquos ex tali mulierum societate lapsos, alios in criminis suspicionem venisse; quare quivis licet concedat, nihil eum impuritatis contrahere, suspicionem nihilo secius ex huiusmodi consortio natam, ne quosdam in ruinam impelleret, revereri; alios, ut virtutem imitarentur exemplis hortari necesse fuit. Qua namque fronte reprehendet alium vel admonebit, ne familiari cum muliere utatur convictu, ut iuxta scripturam etiam sibi cavens non labatur, qui nimirum unam legitimam ablegat, alias tamen duas aetate floridas, facie liberales adsciscit? Si eam abesse domo contingat, secum circumducit? Et haec quidem fastu plenus et iactabundus exerceat, quorum causa secreto gemunt cuncti; adeo vero hominis potentiam et atrocitatem pertimescunt, ut nullus in eum causam dicere audeat. Et haec quidem, ex praemissis, viro mentem habenti catholicam

τις ἄνδρα τὸ γοῦν φρόνημα καθολικὸν ἔχοντα καὶ συγκαταριθμούμενον ἡμῖν. τὸ δὲ ἐξορχησάμενον τὸ μυστήριον καὶ ἐμ- B πομπεύσαντα τῇ μιαρᾷ αἱρέσει τῇ Ἀρτεμᾶ (τί γὰρ οὐ χρὴ μόλις τὸν πατέρα αὐτοῦ δηλῶσαι;) οὐδὲ δεῖν ἡγούμεθα τούτων τοὺς λογισμοὺς ἀπαιτεῖν. εἶτ' ἐπὶ τέλει τῆς ἐπιστολῆς ταῦτ' ἐπιλέγουσιν· ἠναγκάσθημεν ἀντιτασσόμενον αὐτὸν τῷ θεῷ καὶ μὴ εἴκοντα ἐκκηρύξαντες, ἕτερον ἀντ' αὐτοῦ τῇ καθολικῇ ἐκκλησίᾳ καταστῆσαι ἐπίσκοπον θεοῦ προνοίᾳ, ὡς πεπείσμεθα, τὸν τοῦ μακαρίου Δημητριανοῦ καὶ ἐπιφανῶς προστάντος πρὸ τούτου τῆς αὐτῆς παροικίας υἱὸν Δόμνον πᾶσι τοῖς πρέπουσιν ἐπισκόπῳ καλοῖς κεκοσμημένον. ἐδηλώσαμεν οὖν ὅπως τούτῳ C γράφητε καὶ παρὰ τούτου τὰ κοινωνικὰ δέχοισθε γράμματα, τῷ δὲ Ἀρτεμᾷ οὗτος ἐπιστελλέτω. καὶ οἱ τὰ Ἀρτεμᾶ φρονοῦντες τούτῳ κοινωνείτωσαν.

Τοῦ δὴ οὖν Παύλου σὺν καὶ τῇ τῆς πίστεως ὀρθοδοξίᾳ τῆς ἐπισκοπῆς ἀποπεπτωκότος Δόμνος, ὡς εἴρηται, τὴν λειτουργίαν τῆς κατὰ Ἀντιόχειαν ἐκκλησίας διεδέξατο. ἀλλὰ γὰρ μηδαμῶς ἐκστῆναι τοῦ Παύλου τοῦ τῆς ἐκκλησίας οἴκου θελήσαντος, βασιλεὺς ἐντευχθεὶς Αὐρηλιανὸς αἰσιώτατα περὶ τοῦ πρακτέου διείληφε, τούτοις νεῖμαι προστάττων τὸν οἶκον, οἷς οἱ κατὰ τὴν Ἰταλίαν καὶ τὴν Ῥωμαίων πόλιν ἐπίσκοποι τοῦ

1. ἄνδρα] τὸν ἄνδρα G. 3. τῇ Ἀρτεμᾶ] τοῦ Ἀρτεμᾶ G. 7. εἴκοντα] ἥκοντα G. 12. δέχεσθε G. 13. οὗτος] οὕτως G. 15. δὴ] δὲ G. καὶ τῇ] τῇ καὶ G. 19. ἐνταχθεὶς G. περὶ τοῦ] περὶ τούτου τοῦ G. 21. οἱ om. G.

uniusque nobiscum gregis corrigendo sufficerent; ab eo vero, qui mysterium fidei prodiderit, et de exsecranda Artemae haeresi visus fuerit ovare, (nihil enim eius patrem enunciare moror), rationes huiusmodi exposcendas nequaquam arbitramur. Ad calcem tamen epistolae subiungunt. Paulum sane deum ipsum hostiliter aggressum, nec, cum advocatus fuit, ad nos accedentem abdicavimus; alium vero ad dei placitum, ut opinamur, episcopi vices in ecclesia catholica subiturum Domnum, videlicet Demetriani felicis memoriae ante Paulum hanc eandem ecclesiam cum honore moderati filium, virum cunctis, quas in episcopo desideramus, virtutibus ornatum subrogavimus. Id vobis ideo significavimus, ut ad eum scribatis et mutuas ecclesiasticae communionis litteras testes reportetis. Ad Artemam, si lubeat, Paulus det litteras, Artemae sequaces, Artemae communionem quaerant. Et ista quidem hic scripta sint.

Paulo igitur fidei sincerae et episcopatus exsorte, Domnus, ut praemissum, Antiochenae ecclesiae suscepit onus. Ecclesiae vero aedibus Paulo cedere detrectante, Aurelianus Imperator sententiam dicere rogatus, quid facto opus, sanctissime pronunciavit; ei domum assignandam, qui-

τὰ ἄλλα ἁμαρτήματα ἀνίατα ὄντα συγκρύπτει συνειδὼς καὶ ἐλέγξας, ὅπως αὐτοὺς ὑπόχρεως ἔχει, περὶ ὧν λόγοις καὶ ἔρ-
D γοις ἀδικεῖ, μὴ τολμῶντας κατηγορεῖν τῷ καθ᾽ ἑαυτοὺς φόβῳ, ἀλλὰ καὶ πλουσίους ἀπέφηνεν, ἐφ᾽ ὃ πρὸς ταῦτα ζηλούντων φιλεῖται καὶ θαυμάζεται, τί ἂν ταῦτα γράφοιμεν; ἐπιστάμεθα δὲ, ἀγαπητοὶ, ὅτι τὸν ἐπίσκοπον καὶ τὸ ἱερατεῖον ἅπαν παράδειγμα εἶναι δεῖ τῷ πλήθει πάντων τῶν καλῶν ἔργων, καὶ οὐδὲ ἐκεῖνο ἀγνοοῦμεν ὅσοι ὑπὸ τοῦ συνεισάγειν ἑαυτοῖς γυναῖκας ἐξέπεσον, οἱ δὲ ὑπωπτεύθησαν, ὥστε εἰ καὶ δοίη τις αὐτῷ τὸ μηδὲν ἀσελγὲς ποιεῖν, ἀλλὰ τήν γε ὑπόνοιαν τὴν ἐκ τοῦ
P. 391 τοιούτου πράγματος φυομένην ἐχρῆν εὐλαβηθῆναι μή τινας σκανδαλίσῃ, τοὺς δὲ καὶ μιμεῖσθαι προτρέψῃ. πῶς γὰρ ἂν ἐπιπλήξειεν ἢ νουθετήσειεν ἕτερον μὴ συγκαταβαίνειν ἐπιπλέον εἰς ταὐτὸν γυναικὶ μὴ ὀλίσθῃ φυλαττόμενον, ὡς γέγραπται, ὅστις μίαν μὲν ἀπέστησεν ἤδη, δύο δὲ ἀκμαζούσας καὶ εὐπρεπεῖς τὴν ὄψιν ἔχει μεθ᾽ ἑαυτοῦ, κἂν ἀπίῃ που, συμπεριφέρει; καὶ ταῦτα τρυφῶν καὶ ὑπερεμπιπλάμενος, ὧν ἕνεκα στενάζουσι μὲν καὶ ὀδύρονται πάντες καθ᾽ αὐτούς· οὕτω δὲ τὴν τυραννίδα καὶ δυναστείαν αὐτοῦ πεφόβηνται ὥστε κατηγορεῖν μὴ τολμᾶν, ἀλλὰ ταῦτα μὲν, ὡς προειρήκαμεν, εὔθυνεν ἂν

4. ἐφ᾽ ὃ] ἐξ ὧν G. 14. Vulgo ἰολίσθη. ὀλίσθη A. ὡς accessit ex P. 16. ἀπίῃ Eusebius. ἀπείῃ P. ἀπὴν G. 18. ὀδύρωνται A. πάντες add. P. 20. εὔθυνεν Eusebius. Vulgo εὐθύνειν.

conorum contuberniis retentas, quorum criminum vel aliorum a medela certe longe positorum ipse conscius, alios in delictis, quae gestis verbisque perpetrat, deprehensos nulla tenus redarguit, (sed neque ipsi poenae sibi impendentis metu episcopum accusare ausi sunt), imo ut muneribus delinivit, ita vicissim apud horum sectatores in pretio est et admiratione, quid verbis referre necesse est? Hoc certe, dilecti, constat, episcopum et sacrum omnem coetum bonorum omnium operum exemplar populo propositum; neque nos latet aliquos ex tali mulierum societate lapsos, alios in criminis suspicionem venisse; quare quivis licet concedat, nihil eum impuritatis contrahere, suspicionem nihilo secius ex huiusmodi consortio natam, ne quosdam in ruinam impelleret, revereri; alios, ut virtutem imitarentur exemplis hortari necesse fuit. Qua namque fronte reprehendet alium vel admonebit, ne familiari cum muliere utatur convictu, ut iuxta scripturam etiam sibi cavens non labatur, qui nimirum unam legitimam ablegat, alias tamen duas aetate floridas, facie liberales adsciscit? Si eam abesse domo contingat, secum circumducit? Et haec quidem fastu plenus et iactabundus exerceat, quorum causa secreto gemunt cuncti; adeo vero hominis potentiam et atrocitatem pertimescunt, ut nullus in eum causam dicere audeat. Et haec quidem, ex praemissis, viro mentem habenti catholicam

τις ἄνδρα τὸ γοῦν φρόνημα καθολικὸν ἔχοντα καὶ συγκαταριθμούμενον ἡμῖν. τὸ δὲ ἐξορχησάμενον τὸ μυστήριον καὶ ἐμ- B πομπεύσαντα τῇ μιαρᾷ αἱρέσει τῇ Ἀρτεμᾶ (τί γὰρ οὐ χρὴ μόλις τὸν πατέρα αὐτοῦ δηλῶσαι;) οὐδὲ δεῖν ἡγούμεθα τούτων τοὺς λογισμοὺς ἀπαιτεῖν. εἶτ' ἐπὶ τέλει τῆς ἐπιστολῆς ταῦτ' ἐπιλέγουσιν· ἠναγκάσθημεν ἀντιτασσόμενον αὐτὸν τῷ θεῷ καὶ μὴ εἴκοντα ἐκκηρύξαντες, ἕτερον ἀντ' αὐτοῦ τῇ καθολικῇ ἐκκλησίᾳ καταστῆσαι ἐπίσκοπον θεοῦ προνοίᾳ, ὡς πεπείσμεθα, τὸν τοῦ μακαρίου Δημητριανοῦ καὶ ἐπιφανῶς προστάντος πρὸ τούτου τῆς αὐτῆς παροικίας υἱὸν Δόμνον πᾶσι τοῖς πρέπουσιν ἐπισκόπῳ καλοῖς κεκοσμημένον. ἐδηλώσαμεν οὖν ὅπως τούτῳ C γράφητε καὶ παρὰ τούτου τὰ κοινωνικὰ δέχοισθε γράμματα, τῷ δὲ Ἀρτεμᾷ οὗτος ἐπιστελλέτω. καὶ οἱ τὰ Ἀρτεμᾶ φρονοῦντες τούτῳ κοινωνείτωσαν.

Τοῦ δὴ οὖν Παύλου σὺν καὶ τῇ τῆς πίστεως ὀρθοδοξίᾳ τῆς ἐπισκοπῆς ἀποπεπτωκότος Δόμνος, ὡς εἴρηται, τὴν λειτουργίαν τῆς κατὰ Ἀντιόχειαν ἐκκλησίας διεδέξατο. ἀλλὰ γὰρ μηδαμῶς ἐκστῆναι τοῦ Παύλου τοῦ τῆς ἐκκλησίας οἴκου θελήσαντος, βασιλεὺς ἐντευχθεὶς Αὐρηλιανὸς αἰσιώτατα περὶ τοῦ πρακτέου διείληφε, τούτοις νεῖμαι προστάττων τὸν οἶκον, οἷς οἱ κατὰ τὴν Ἰταλίαν καὶ τὴν Ῥωμαίων πόλιν ἐπίσκοποι τοῦ

1. ἄνδρα] τὸν ἄνδρα G. 8. τῇ Ἀρτεμᾶ] τοῦ Ἀρτεμᾶ G. 7. εἴκοντα] ἥκοντα G. 12. δέχεσθε G. 13. οὗτος] οὕτως G. 15. δὴ] δὲ G. καὶ τῇ] τῇ καὶ G. 19. ἐνταχθεὶς G. περὶ τοῦ] περὶ τούτου τοῦ G. 21. οἱ om. G.

uniusque nobiscum gregis corrigendo sufficerent; ab eo vero, qui mysterium fidei prodiderit, et de exsecranda Artemae haeresi visus fuerit ovare, (nihil enim eius patrem enunciare moror), rationes huiusmodi exposcendas nequaquam arbitramur. Ad calcem tamen epistolae subiungunt. Paulum sane deum ipsum hostiliter aggressum, nec, cum advocatus fuit, ad nos accedentem abdicavimus; alium vero ad dei placitum, ut opinamur, episcopi vices in ecclesia catholica subiturum Domnum, videlicet Demetriani felicis memoriae ante Paulum hanc eandem ecclesiam cum honore moderati filium, virum cunctis, quas in episcopo desideramus, virtutibus ornatum subrogavimus. Id vobis ideo significavimus, ut ad eum scribatis et mutuas ecclesiasticae communionis litteras testes reportetis. Ad Artemam, si lubeat, Paulus det litteras, Artemae sequaces, Artemae communionem quaerant. Et ista quidem hic scripta sint.

Paulo igitur fidei sincerae et episcopatus exsorte, Domnus, ut praemissum, Antiochenae ecclesiae suscepit onus. Ecclesiae vero aedibus Paulo cedere detrectante, Aurelianus Imperator sententiam dicere rogatus, quid facto opus, sanctissime pronunciavit; ei domum assignandam, qui-

D δόγματος ἐπιστέλλοιεν. οὕτω δῆτα ὁ προδηλωθεὶς ἀνὴρ μετὰ τῆς ἐσχάτης αἰσχύνης ὑπὸ τῆς κοσμικῆς ἀρχῆς ἐξελαύνεται τῆς ἐκκλησίας.

1. οὕτω] οὕτως G. 3. ἕως ὧδε συγγέλλου in fine addit P.

bus Italiae Romanaeque urbis episcopi concedendam decernerent. Ita demum cum supremo dedecore principis iussu memoratus homo ecclesiae gremio excluditur.

# NICEPHORI
CONSTANTINOPOLEOS
ARCHIEPISCOPI
# CHRONOGRAPHIA
BREVIS.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ P. 395 V. 315

# ΝΙΚΗΦΟΡΟΥ

ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ

## ΧΡΟΝΟΓΡΑΦΙΑ ΣΥΝΤΟΜΟΣ

ΑΠΟ ΑΔΑΜ ΜΕΧΡΙ ΧΡΟΝΩΝ ΜΙΧΑΗΛ,
καὶ Θεοφίλου υἱοῦ αὐτοῦ ἔχουσα οὕτως.

SANCTI PATRIS NOSTRI

# NICEPHORI

CP. ARCHIEPISCOPI

## CHRONOGRAPHIA BREVIS:

AB ADAMO AD MICHAELIS ET THEOPHILI
eius filii tempora in hunc modum digesta.

ἈΔΑΜ γενόμενος ἐτῶν σλʹ γεννᾷ τὸν Σήθ· καὶ ἐπέζησεν ὁ αὐτὸς Ἀδὰμ ἔτη ψʹ.
Σὴθ γενόμενος ἐτῶν σεʹ ἐγέννησε τὸν Ἐνώς.
Ἐνὼς γενόμενος ἐτῶν ρϟʹ ἐγέννησε τὸν Καϊνᾶν.
Καϊνᾶν γενόμενος ἐτῶν ροʹ ἐγέννησε τὸν Μαλελεήλ.
Μαλελεὴλ γενόμενος ἐτῶν ρξεʹ γεννᾷ τὸν Ἰάρεδ.
Ἰάρεδ γενόμενος ἐτῶν ρξβʹ γεννᾷ τὸν Ἐνώχ.
Ἐνὼχ γενόμενος ἐτῶν . . . . . . . τὸν Μαθουσάλα.

1—4. om. R. 12. καινὰν R hic et alibi. 15. ἐτῶν . . . τὸν Μαθουσάλα om. R. ἐτῶν] „Ex Anastasio ἐτῶν ρξβʹ." Goar.

Adam aetatis 230 genuit Seth; et ipse Adam vixit superstes annis 700.
Seth annis 205 natus genuit Enos.
Enos annis 190 natus genuit Cainan.
Cainan annis 170 natus genuit Maleleel.
Maleleel annis 165 natus genuit Iared.
Iared annis 162 natus genuit Enoch.
Enoch annis 162 natus genuit Mathusala.

P. 396 Μαθουσάλα γενόμενος ἐτῶν ρπζʹ γεννᾷ τὸν Λάμεχ.

Λάμεχ γενόμενος ἐτῶν ρπηʹ γεννᾷ τὸν Νῶε.

Νῶε γενόμενος ἐτῶν φʹ γεννᾷ τὸν Σὴμ, τὸν Χὰμ καὶ τὸν Ἰάφεθ. καὶ ἐπέζησε μέχρι τοῦ κατακλυσμοῦ ἔτη ρʹ.

Ἔτει χʹ Νῶε ὁ κατακλυσμὸς ἐγένετο.

Ὁμοῦ τὰ πάντα ἀπὸ Ἀδὰμ ἕως τοῦ κατακλυσμοῦ κατὰ τοὺς οʹ ἔτη βσμβʹ, ὡς καὶ ἡ ἀλήθεια ἐπιμαρτυρεῖ καὶ αἱ ἀνέκαθεν πάσαις ταῖς ἐκκλησίαις ἐπικρατήσασαι παραδόσεις.

V. 316 Μετὰ τὸν κατακλυσμὸν Σὴμ υἱὸς Νῶε, γενόμενος ἐτῶν ρʹ γεννᾷ τὸν Ἀρφαξάδ.

B Ἀρφαξὰδ δὲ γενόμενος ἐτῶν ρλεʹ γεννᾷ τὸν Καϊνᾶν.

Καϊνᾶν γενόμενος ἐτῶν ρλγʹ γεννᾷ τὸν Σάλα.

Σάλα γενόμενος ἐτῶν ρλγʹ γεννᾷ τὸν Ἔβερ.

Ἔβερ γενόμενος ἐτῶν ρλγʹ γεννᾷ τὸν Φαλέκ.

Φαλὲκ γενόμενος ἐτῶν ρλγʹ γεννᾷ τὸν Ῥαγαῦ.

Ἐν δὲ ταῖς ἡμέραις Φαλὲκ διεμερίσθησαν. διὸ καὶ σημαίνει τὸ Φαλὲκ ὄνομα τῇ Ἑβραίων φωνῇ μερισμός· καὶ οὗτος πρὸ τοῦ πατρὸς τελευτᾷ. ἐπὶ τούτου ἡ πυργοποιία συνέστη· καὶ ἀπὸ μιᾶς τῆς πάλαι διαλέκτου πολυφωνία γέγονε καὶ ἡ καθ' ἕκαστον ἔθνος τῶν γλωσσῶν διαφωνία· φησὶν ἡ θεία γραφή.

C Μετὰ δὲ τὸν Φαλὲκ Ῥαγαῦ γενόμενος ἐτῶν ρλεʹ γεννᾷ τὸν Σερούχ.

Σεροὺχ γενόμενος ἐτῶν ρληʹ γεννᾷ τὸν Ναχώρ.

1. Μαθουσάλα γενόμενος om. R. 21. τὸν om. R.

Mathusala annis 187 natus genuit Lamech.

Lamech annis 188 natus genuit Noë.

Noë annis 500 natus genuit Sem, Cham et Iapheth; et ad diluvium usque annis 100 vixit superstes.

Anno Noë 600 diluvium factum est.

Annorum omnium ab Adam usque ad diluvium summa iuxta septuaginta Interpretes est 2242, quibus etiam suffragatur veritas et traditiones per cunctas circumquaque ecclesias pervagatae.

Post diluvium Sem filius Noë anno aetatis centesimo genuit Arphaxad.

Arphaxad vero annis 135 natus genuit Cainan.

Cainan annis 133 natus genuit Sala.

Sala annis 133 natus genuit Heber.

Heber annis 133 natus genuit Phalec.

Phalec annis 133 natus genuit Ragau.

In diebus Phalec homines divisi sunt ab invicem; unde et nomen Phalec *divisionem* Hebraeorum voce designat. Et hic prior patre moritur. Huius tempore turris substructio coepta, et ex uno antiquo sermone varia loquendi genera deducta, et per gentes singulas linguarum diversitas nata est, ut divina scriptura testatur.

At vero post Phalec, Ragau annis 135 natus genuit Seruch.

Seruch annis 138 natus genuit Nachor.

Ναχὼρ γενόμενος ἐτῶν οθʹ γεννᾷ τὸν Θάραν.
Θάρα γενόμενος ἐτῶν οʹ γεννᾷ τὸν Ἀβραάμ.
Ἀπὸ Ἀδὰμ ἕως Ἀβραὰμ κατὰ τοὺς οʹ ἔτη ͵γτκδʹ.
Ἀπὸ δὲ τοῦ κατακλυσμοῦ ἕως Ἀβραὰμ ἔτη ͵απ * *

Ἀβραὰμ ἑβδομηκοστὸν πέμπτον ἔτος ἄγων θείου χαρίσματος ἀξιοῦται καὶ τῆς πρὸς * * * μένης ἐπαγγελίας. ἀφʼ ἧς ἐπὶ D τὴν διὰ Μωϋσέως ἐξ Αἰγύπτου πορείαν γίνονται ἔτη υλʹ, ὡς καὶ ὁ ἀπόστολος μαρτυρεῖ λέγων· διαθήκην προκεκυρωμένην ὑπὸ τοῦ θεοῦ ὁ μετὰ υʹ καὶ λʹ ἔτη γενόμενος νόμος οὐκ ἀκυροῖ εἰς τὸ καταργῆσαι τὴν ἐπαγγελίαν. καὶ αὐτὸς ἐν ἐξόδῳ συνᾴδει Μωϋσῆς ἐν οἷς φησιν, ἡ δὲ κατοίκησις τῶν υἱῶν Ἰσραὴλ, ἣν κατῴκησαν ἐν Αἰγύπτῳ καὶ ἐν γῇ Χαναὰν αὐτοὶ καὶ οἱ πατέρες αὐτῶν ἔτη υλʹ. καὶ κατὰ μέρος δὲ οὕτως ἔχει.

Ἀβραὰμ γενόμενος ἐτῶν ρʹ γεννᾷ τὸν Ἰσαάκ.
Ἰσαὰκ γενόμενος ἐτῶν ξʹ γεννᾷ τὸν Ἰακώβ.
Ἰακὼβ γενόμενος ἐτῶν πζʹ γεννᾷ τὸν Λευί. P. 397
Λευὶ γενόμενος ἐτῶν μθʹ γεννᾷ τὸν Καάθ.
Καὰθ γενόμενος ἐτῶν ξʹ γεννᾷ τὸν Ἀμράμ.
Ἀμρὰμ γενόμενος ἐτῶν οεʹ γεννᾷ τὸν Μωϋσῆν.
Μωϋσῆς γενόμενος ἐτῶν πʹ ἐξάγει τὸν λαὸν ἐξ Αἰγύπτου.

4. ͵απ * *] ͵α . . . R. 6. πρὸς αὐτὸν γενομένης supplet Scaliger. 8. „προκεκυρωμένην ὑπὸ τοῦ θεοῦ desunt in MS." m. ὑπὸ θεοῦ tantum habet R. 9. ἔτη add. R. 10. συνᾴδει ex Anastasio addidit m. In RG lacuna. 18 et 19. ἄβραμ R. 19. ἐτῶν add. R.

Nachor annis 79 natus genuit Thara.
Thara annis 70 natus genuit Abraham.
Ab Adam usque ad Abraham ex Septuaginta calculis anni 3324 putantur.
A diluvio autem usque ad Abraham anni . . . . . .

Abraham annum agens 75 divinis augetur gratiis et facta ipsi promissione dignus habetur. A qua usque ad profectum ex Aegypto anni 430 decurrunt, ex apostoli testimonio dicentis: testamentum confirmatum a deo, quae post 430 annos facta est lex, non irritam facit ad evacuandam repromissionem. Et ipse in exode concinit Moses, in his quae scribit: habitatio autem filiorum Israël, qua habitaverunt in Aegypto, et in terra Chanaan, ipsi et patres eorum, anni sunt 430. Hi vero per partes ita colliguntur.

Abraham anno aetatis 100 genuit Isaac.
Isaac anno aetatis 60 genuit Iacob.
Iacob anno aetatis 87 genuit Levi.
Levi anno aetatis 49 genuit Caath.
Caath anno aetatis 60 genuit Amram.
Amram anno aetatis 75 genuit Mosen.
Moses anno aetatis 80 ex Aegypto populum educit.

Συνάγεται οὖν τὰ πάντα ἀπὸ μὲν πρώτου ἔτους Ἀβραὰμ ἐπὶ τὴν ἐξ Αἰγύπτου πορείαν ἔτη φβʹ.

Ἀπὸ δὲ τοῦ κατακλυσμοῦ ͵αφπʹ.

Ἀπὸ δὲ Ἀδὰμ κατὰ τοὺς οʹ ἔτη ͵αχπθʹ, κατὰ δὲ ἄλλους * *

B Μετὰ δὲ ταῦτα καθηγεῖται τοῦ λαοῦ Μωϋσῆς ἐπὶ τῆς ἐρήμου ἔτη μʹ.

Ἰησοῦ τοῦ Ναυῆ ἔτη κζʹ.

Πρεσβύτεροι ἔτη κγʹ.

Ἀλλόφυλοι ἔτη ηʹ.

Γοθονιὴλ ἐκ φυλῆς Ἰούδα ἔτη μʹ.

Ἀλλόφυλοι ἔτη ιηʹ, μεθʼ οὓς

Ἀὼδ ἐκ φυλῆς Ἐφραῒμ ἔτη πʹ.

Ἀλλόφυλοι ἔτη * *

Δεβῶρα καὶ Βαρὰκ ἔτη μʹ.

Μαδηναῖοι ἔτη ζʹ.

V. 317 Γεδεὼν ἔτη μʹ.

Ἀβιμέλεχ ἔτη γʹ.

Θωλᾶς ἔτη κγʹ.

C Ἰαὴρ ἔτη κβʹ.

Ἀμμανῖται ἔτη ιηʹ.

Ἰεφθάε ἔτη ϛʹ.

Ἐσβὼν ἔτη ζʹ.

9. ηʹ] In R primum fuit νʹ. 14. δεβόρα R.

Annorum itaque universorum ab anno primo Abraham ad profectionem ex Aegypto est 502.
A diluvio autem 1580.
Ab Adam vero secundum septuaginta Interpretes anni numerantur 1689, secundum alios . . . .
Postmodum autem praefuit populo Moses in deserto annis quadraginta.
Iesus Nave annis 27.
Seniores annis 23.
Alienigenae annis 8.
Gothoniel ex tribu Iuda annis quadraginta.
Alienigenae annis octodecim. Post quos
Aod ex tribu Ephraim annis octoginta.
Alienigenae annis . . . .
Debora et Barac annis 40.
Madianitae annis 7.
Gedeon annis 40.
Abimelech annis 3.
Tholas annis 23.
Iair annis 22.
Ammanitae annis 18.
Iephthae annis 6.
Esbon annis 7.

Ἀελὼν ἔτη γ′.
Λαμπαδὸν ἔτη η′.
Ἀλλόφυλοι ἔτη κ′.
Σαμψὼν ἔτη κ′.
Ἠλὶ ὁ ἱερεὺς ἔτη κ′.
Σαμουὴλ ς′.
Σαοὺλ ἔτη μ′.
Δαυὶδ ἐβασίλευσεν ἔτη μ′.
Ὁμοῦ τὰ πάντα ἀπὸ ἐξόδου υἱῶν Ἰσραὴλ ἕως Δαυὶδ τοῦ βασιλέως ἔτη χλ′.
Σολομὼν ἔτη μ′. D
Ῥοβοὰμ ἔτη ιζ′.
Ἀσὰ ἔτη μ′.
Ἰωσαφὰτ ἔτη κε′.
Ἐπὶ τούτου ἐπροφήτευον Μιχαίας, Ἠλίας καὶ Ἐλισσαιέ.
Ἰωρὰμ ἔτη * *
Ὀχοζίας ἔτος α′.
Γοθολία μήτηρ Ὀχοζίου ἔτη ζ′.
Ἰωᾶς ἔτη ις′.
Ἀμεσίας ἔτη κθ′.
Ἀζαρίας ὁ καὶ Ὀζίας ἔτη νβ′.

2. Λαμβδὼν m. 11. Ὁ Σολομὼν G. ὁ om. R. 13. μ′ R. β′. G. 21. ὁ om. R.

Aëlon annis 3.
Lambdon annis 8.
Alienigenae annis 20.
Sampson annis 20.
Heli Pontifex annis 20.
Samuel 6.
Saul annis 40.
David regnavit annis 40.
Colliguntur universi ab exitu Israël ex Aegypto usque ad David regem anni 630.
Salomon annis 40.
Roboam annis 17.
Asa annis 2.
Iosaphat annis 25.
Eius tempore Michaeas, Elias et Elissaeus vaticinabantur.
Ioram annis . . . .
Ochozias anno uno.
Gotholia mater Ochoziae annis septem.
Ioas annis 16.
Amesias annis 29.
Azarias, qui et Ozias, annis quinquaginta duobus.

P. 398 Ἐπὶ τούτου προεφήτευσαν Ὠσηὲ, Ἀμὼς, Ἡσαΐας, Ἰωνᾶς, Ἰωήλ.

Ἰωαθὰμ ἔτη ιζʹ.

Ἄχαζ ἔτη ιϛʹ.

Ἐζεκίας ἔτη κθʹ.

Μανασσῆς ἔτη νεʹ.

Ἐπὶ τούτου τὸ Βυζάντιον ἐκτίσθη.

Ἔτη ιβʹ Ἀμώς.

Ἰωσίας ἔτη λαʹ.

Καὶ ἀναρχίας ἔτη λʹ κατὰ τοὺς οʹ, κατὰ δὲ τὸ Ἑβραϊκὸν ἔτη νʹ.

B Ἐπὶ τούτων προεφήτευον Ἱερεμίας, Σοφονίας καὶ Βαρούχ.

Ἰωαχὰζ μῆνας γʹ.

Ἐλιακεὶμ ἔτη ιβʹ.

Ἰεχονίας μῆνας γʹ.

Σεδεκίας ἔτη ιαʹ.

Τοῦτον ἐκτυφλώσας Ναβουχοδονόσωρ ὁ βασιλεὺς αἰχμάλωτον ἦρε. καὶ ὁ ναὸς πυρπολεῖται μετὰ μῆνας εʹ διὰ Ναβουζαρδᾶν, διαρκέσας ἀφ' οὗ ἐκτίσθη ἔτη υλβʹ.

Ὁμοῦ τὰ πάντα ἀπὸ ἀρχῆς βασιλείας Σολομῶντος ἕως αἰχμα-
C λωσίας ἔτη υμηʹ. μετὰ δὲ τὴν αἰχμαλωσίαν τῶν Ἰουδαίων τὴν

1. προεφήτευον G. Ἡσαΐας ex R et Anastasio accessit. 7. ἐκτίσθη R. ἐκτίσθη ἔτη (ἔτει Scaliger p. 302) ιβʹ G. 8. ἀμώς R. ὁ Ἀμώς G. 9. Ἰωσίας] ἡσαΐας R. 10. κατὰ δὲ] καὶ κατὰ G. 12. ἰαχαζ R. 16. Ναβουχοδονόσορ G. 20. δὲ τὴν] τὴν om. G.

Eius tempore Osee, Amos, Esaias, Ionas, Ioël, prophetiae dono clari.

Ioatham annis 17.

Achas annis 16.

Ezecias annis 29.

Manasses annis 55.

Huius anno 12 Byzantium condi coeptum.

Amos annis 12.

Iosias annis 31.

Et interregnum annis triginta sequutum est, secundum septuaginta; secundum Hebraeum exemplar annis quinquaginta.

Huius Hieremias, Sophonias et Baruch prophetabant.

Ioachaz mensibus 3.

Eliacim annis 12.

Iechonias mensibus 3.

Sedecias annis 11.

Hunc effossis oculis Nabuchodonosor rex captivum tulit; et templum post menses quinque a Nabuzardan igne devastatur, cum a primo condita annis 432 stetisset.

A regni Salomonis exordio ad captivitatem usque anni 448 in universum cladem numerantur. Post captivitatem porro Iudaeorum in Baby-

εἰς Βαβυλῶνα καὶ ἐρημίαν τόπου ἔτη ο'. ἃ συμπληροῦνται κατὰ τὸ δεύτερον ἔτος Δαρείου τοῦ Περσῶν βασιλέως, ὃς τόν τε λαὸν ἀνῆκε τῆς αἰχμαλωσίας καὶ τὸν ἐν Ἱεροσολύμοις ναὸν ἀνήγειρε.

Πρῶτος Περσῶν βασιλεὺς Κῦρος ἔτη λ'.

Καμβύσης ἔτη β'.

Δαρεῖος ὁ υἱὸς Ὑστάσπου ἔτη λϛ'.

Τούτου ἔτει δευτέρῳ, ὡς ἤδη εἴρηται, ὁ ἐν Ἱεροσολύμοις ἀνενεώθη ναός.

Γίνονται οὖν τὰ λοιπὰ Δαρείου τοῦ Περσῶν βασιλέως ἔτη λδ'.

Ξέρξης Δαρείου ἔτη κη'.

Ἀρταβάνης ἔτος α', μῆνας ζ'. V. 318

Ἀρταξέρξης ὁ Μακρόχειρ ἔτη μα'. D

Τὰ κατὰ τὴν Ἐσθὴρ καὶ τὸν Μαρδοχαῖον ἐπὶ τούτου φασί.

Ξέρξης ἄλλος μῆνας ζ'.

Σογδιάνης μῆνας ζ'.

Δαρεῖος ἄλλος ἔτη ιθ'.

. . . . . . . . . . . . . .

Ἀρταξέρξης ὁ καὶ Ὦχος ἔτη κβ'.

Ἀρσῆς Ὤχου ἔτη δ'.

Δαρεῖος Ἀρσάμου ἔτη ϛ'.

1. ἐρημίας R. 8. ναός R. ζ' ναός G. 9. οὖν] λοιπὸν G. ἔτη om. G. 13. αἰσθήρ R. 15. σογδοάνης R. 17. „Ex Anast. Ἀρταξέρξης Μνήμων ἔτη μ'." m. In R lacuna nulla. 18. Ὦχος m. Ἄχος G. εὖχος R. 19. ἀρσὶς R.

loniam captivitate abductorum, et vastitatem sancto loco illatam anni sunt 70, quorum terminus completur anno secundo Darii regis Persarum, qui populum illum captivitate liberavit et instauravit templum Hierosolymitanum.

Persarum rex primus Cyrus annis triginta.

Cambyses annis 2.

Darius filius Hystaspis annis 36.

Huius, ut praemissum, anno secundo Hierosolymorum templum instauratum est.

Regis itaque Persarum Darii reliqui sunt anni 34.

Xerxes Darii annis 28.

Artabanes anno uno, mensibus septem.

Artaxerxes Longimanus annis 41.

Huius tempore, quae circa Esther et Mardochaeum gesta, accidisse narrantur.

Xerxes alter mensibus 7.

Sogdianes mensibus 7.

Darius alter annis 19.

Artaxerxes Memor annis 40.

Artaxerxes, qui et Ochus, annis viginti duobus.

Arses Ochi annis 4.

Darius Arsami annis 6.

Τοῦτον ἀνελὼν ὁ Ἀλέξανδρος ὁ Μακεδόνων βασιλεὺς καὶ καθελὼν τὴν τῶν Περσῶν ἀρχὴν ἐβασίλευσεν ἔτη ϛʹ, πρὸ τοῦ
P. 899 καθελεῖν τὸν Δαρεῖον βασιλεύσας φασὶν ἔτη ιβʹ, καὶ ἐτελεύτησεν ἐν Βαβυλῶνι, ὥς φασιν, ἐτῶν λεʹ, ὡς δὲ ἄλλοι, ἐτῶν λϛʹ. ἐβασίλευσεν ὁμοῦ ἔτη ιηʹ.

Ὑπέταξε δὲ βαρβάρων ἔθνη κβʹ καὶ φυλὰς Ἑλλήνων ιγʹ. καὶ ἐτελεύτησε βασιλεύων ἐν Περσίδι.

